Eulogikon
Ancient Greek Texts — Free & Open source

eul_wid: ppu-ab

*Πινδαρικὴ ὑπόμνησις* · Pindar Commentary

# Scholia and Glosses-Olympia and Pythia

*Σχόλια καὶ Γλῶσσαι εἰς Ὀλυμπιακὰ καὶ Πυθιακά*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα* Atticizing
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

sch metr t [Σχόλια μετρικά] Δημητρίου Τρικλινίου. Ἰστέον ὅτι πάντα τὰ μέτρα πλὴν τοῦ δακτυλικοῦ κατὰ διποδίαν μετρεῖται καὶ ἀνέρχεται μέχρι τοῦ πενταμέτρου.

sch metr 1 ἔστι δὴ μονόμετρον μὲν τὸ ἔχον πόδας δύο, δίμετρον τὸ ἔχον πόδας τέσσαρας, τρίμετρον τὸ ἔχον ἕξ, τετράμετρον τὸ ἔχον ὀκτώ, πεντάμετρον τὸ ἔχον δέκα, καὶ περαιτέρω οὐ πρόεισι. παντὸς δὲ μέτρου πλὴν τοῦ δακτυλικοῦ ἀποθέσεις ἤτοι καταλήξεις εἰσὶ τέσσαρες· βραχυκατάληκτον, καταληκτικόν, ἀκατάληκτον καὶ ὑπερκατάληκτον. καὶ βραχυκατάληκτον μέν ἐστιν, ὡς ἐν παραδείγματι ἐπὶ τοῦ μονομέτρου εἰπεῖν, ὅπερ ποδὸς ὅλου δεῖται πρὸς ἀπαρτισμόν, οἷον τὸ φεῦ, φεῦ, ἢ τὸ ἰώ, ἢ τὸ ἔα. ταῦτα γὰρ μονόμετρά ἐστι βραχυκατάληκτα διὰ τὸ ἔχειν μὲν τὸν ἕνα πόδα, τοῦ ἑτέρου δὲ λείπεσθαι. καταληκτικὸν δὲ τὸ δεόμενον μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν, οἷον τὸ ἰώ μοι, ἢ τὸ ὤμοι μοι. ταῦτα γὰρ μονόμετρά ἐστι καταληκτικὰ διὰ τὸ ἔχειν ὅλον πόδα καὶ μίαν συλλαβὴν ἤτοι ἥμισυ ποδός, λείπεσθαι δὲ μιᾶς συλλαβῆς πρὸς ἀπαρτισμόν. ἀκατάληκτον δὲ ὅπερ ἀπηρτισμένους ἔχει τοὺς πόδας, οἷον τὸ ἰοὺ ἰού, ἢ τὸ ἰὼ ἰώ, ἢ τὸ φεῦ φεῦ ἰώ· ταῦτα γὰρ μονόμετρά ἐστιν ἀκατάληκτα διὰ τὸ ἀπηρτισμένους ἔχειν τοὺς πόδας καὶ μὴ ἐλλιπεῖς ὡς τὰ εἰρημένα. ὑπερκατάληκτον δὲ τὸ ἔχον μὲν ἀπηρτισμένους τοὺς πόδας, ἔχον δὲ καὶ συλλαβὴν μίαν πλείονα. εἴρηται δὲ πλὴν τοῦ δακτυλικοῦ, ὅτι τοῦτο μόνον κατὰ μονοποδίαν μετρεῖται διὰ τὸ εἶναι τοὺς πόδας τρισυλλάβους. ὅτε μὲν οὖν ἀπηρτισμένους ἔχει τοὺς πόδας, λέγεται ἀκατάληκτον, ὅτε δὲ πλείονα συλλαβὴν ἔχει, λέγεται καταληκτικὸν εἰς συλλαβήν, ὅτε δὲ δύο, καταληκτικὸν εἰς δισύλλαβον. οὐκ ἔχει γὰρ ἐν τούτῳ χώραν τὸ βραχυκατάληκτον ἢ τὸ ὑπερκατάληκτον, ὡς οἱ μετρικοί φασι. ταῦτα καὶ ἐπὶ διμέτρου καὶ τριμέτρου καὶ τῶν λοιπῶν συμβαίνει τὰ πάθη. Τοῦ αὐτοῦ περὶ σημείων τῆς κοινῆς συλλαβῆς τῶν ἐντὸς κειμένων τῆς βίβλου. Ἐπειδήπερ οἱ πάλαι τὰ περὶ γραμματικῆς συνταξάμενοι σημεῖά τινα σοφῶς ἐπινοήσαντες παραδεδώκασιν, ἐξ ὧν τήν τε δύναμιν καὶ τήν, ὡς ἂν εἴποι τις, ποιότητα τῶν συλλαβῶν καὶ τὴν προφορὰν διαγινώσκειν ἔχοιμεν· συλλαβῶν δέ μοι καὶ οὐ στοιχείων εἴρηται· ἐπειδὴ τὰ μὲν στοιχεῖα καθ’ αὑτὰ κείμενα οὐδὲ μιᾶς τινος μετέχει δυνάμεως, συλληφθέντα δὲ καὶ οἷον ἑνωθέντα πρὸς ἄλληλα καὶ τὰς συλλαβὰς ἀποτελέσαντα δυνάμεις τέ τινας καὶ ποιότητας ἔχει· ἐπενόησαν δὲ ἄλλα τε σημεῖα, τόνους φημὶ καὶ πνεύματα καὶ τὰ λοιπά, ἃ δὴ καὶ προσῳδίας ὠνόμασαν, ὡς πρὸς τὴν ᾠδὴν καὶ τὴν ἐκφώνησιν τῶν συλλαβῶν συντελούσας, πρὸς τούτοις δὲ καὶ μακρᾶς μὲν σημεῖον τοδὶ –, τῆς δὲ βραχείας τουτὶ , τῆς δὲ κοινῆς οὐδαμῶς· ἐκείνων γὰρ καὶ ὅρους

ἔθεντο, ταύτης δὲ οὔ· καὶ τὰς αἰτίας αὐτοὶ λέγουσιν· ἐπενοήθη ἔμοιγε τῆς κοινῆς σημεῖον διὰ τὴν τῶν πολλῶν πλάνην, καὶ οἶμαι καλὸν ἂν δόξαι τοῖς εὖ φρονοῦσιν. ἐπενοήθη δὲ διπλοῦν τὸ σημεῖον διὰ τὸ διπλῆν τινα καὶ ταύτην ἔχειν τὴν δύναμιν. ὅτε μὲν οὖν ἀντὶ βραχείας ὀφείλει λαμβάνεσθαι, σημεῖον ἐπενοήθη τοδὶ · μακρὰ δηλονότι καταρχὰς ἄνω βλέπον τὸ τοῦ ι στοιχείου σημεῖον ἔχουσα· ὅτε δ’ ἀντὶ μακρᾶς, τοῦτο ἀντεστραμμένον οὑτωσὶ · μακρὰ δηλονότι ἐν τῷ τέλει κάτω νεῦον τὸ τοῦ ι σημεῖον ἔχουσα.

sch metr 1 (50) βέλτιον γὰρ ταῦτα τιθέναι καὶ διαγινώσκειν ποία ἐστὶν ἡ κοινὴ ἢ πλανωμένους τινὰς τὸ ποιεῖν γράφειν ποιεῖν ἀμαθῶς, καὶ φύσει βραχὺ φωνῆεν, ἔχον δὲ ἐπαγόμενα δύο σύμφωνα, ὧν τὸ δεύτερον ὑγρόν, ἀμετάβολον ἀεὶ ἀντὶ μακροῦ λαμβάνειν ἢ καὶ τὸ φύσει βραχὺ φωνῆεν ὅταν εἰς μέρος λόγου καταλήγῃ, τὴν μακρὰν ἐπιτιθέντας ἀντὶ μακροῦ λαμβάνειν. ἄτοπον γὰρ οἶμαι τοῦτό γε. Ταῦτά μοι πρὸς τοὺς συνετοὺς εἴρηται καὶ τῶν μέτρων ἔχοντας πεῖραν· εἰ δέ τινες εἶεν ὑπ’ ἀμαθείας μεμφόμενοι, βραχὺς τούτων λόγος. οὐδὲ γὰρ οὐδ’ οἱ πάλαι τὰ κάλλιστ’ ἐπινενοηκότες ταῦτα τοῖς τοιούτοις ἐκδεδώκασιν, ἀλλὰ τοῖς συνετοῖς, βραχὺν λόγον τῶν μὴ συνετῶν ἔχοντες, ὡς καί πού τις ἔφη· Ἀείδω ξυνετοῖσι· θύρας δ’ ἐπίθεσθε βέβηλοι (Orph. Fr. 42 ed. Abel). ἐγὼ δὲ καὶ ἀδικεῖν ἂν φαίην τοὺς συνετούς, ὃς ἂν ἐπινοήσας σοφόν τι τοῦτο λήθης βυθοῖς κατακρύψειε δεδιὼς ἴσως τὴν ἐκ τῶν ἀσυνέτων μέμψιν. ἵν’ οὖν μὴ καὶ αὐτὸς ἀδικεῖν δόξω τοὺς συνετούς, τὸ ἐπελθόν μοι κατὰ νοῦν τούτοις προὔθηκα, οὗτοι δ’ ἂν εἰδεῖεν εἰ καλῶς ἔχει ἢ μή· ἐπεὶ καὶ ἅ μοι περὶ τῶν χορικῶν μελῶν καὶ τῶν ἄλλων τῶν ἐν τοῖς δράμασι φερομένων εἰδῶν ἐπινενόηται θείᾳ τινὶ καὶ ἀποῤῥήτῳ ἐμπνεύσει πλεῖστα πονησαμένῳ, περί τε τούτων καὶ τῶν ἐν αὐτοῖς μέτρων, καὶ ταῦτ’ ἐν τοῖς δράμασιν ἐξετέθη, ὡς ἂν οἱ ἐντυγχάνοντες ἔχοιεν διαγινώσκειν τάς τε στροφὰς καὶ ἀντιστροφὰς τῶν μελῶν καὶ τὰς ἐπῳδούς, καὶ τίνος ἐστὶν εἴδους καὶ μέτρου τῶν μελῶν ἕκαστον, καὶ μὴ μάτην τὰ τῶν χορῶν ὁρᾶν μέλη τοῖς ὀφθαλμοῖς, μηδὲν δὲ τούτων εἰδέναι· ὥσπερ τινὲς μὴ γραμμάτων ἔχοντες πεῖραν καὶ βιβλίον ἀνὰ χεῖρας ἀράμενοι βλέπουσι μὲν τύπους γραμμάτων, οὐδὲν δὲ τῶν ἐγκειμένων ἴσασιν. Ἐπίνικοι Ὀλυμπιονίκαις.

O 1 t Ἱέρωνι Συρακοσίῳ κέλητι. Ὠιδὴ α′. [Δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῶν τε στροφῶν καὶ ἀντιστροφῶν τοῦ α′ εἴδους τῶν Ὀλυμπίων. Παλαιόν. Ἰστέον ὅτι οἱ λυρικοὶ ἐν τοῖς ποιήμασιν αὐτῶν ἐχρῶντο στροφῇ, ἀντιστροφῇ καὶ ἐπῳδῷ· στροφῇ μέν, ὅτι ἀπὸ τῶν δεξιῶν ἐστρέφοντο ἐπὶ τὰ ἀριστερά, ᾗτινι ἀναλογεῖ ἡ τοῦ παντὸς κίνησις ἡ ἀπὸ τῶν ἀνατολικῶν ἐπὶ τὰ δυτικά· δεξιὰ γὰρ καλεῖ ὁ Ὅμηρος τὰ ἀνατολικά, ἀριστερὰ δὲ τὰ δυτικά· ἀντιστροφῇ δέ, ὅτι ἐκινοῦντο ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιά, ᾗτινι ἀναλογεῖ ἡ τῶν πλανήτων κίνησις ἡ ἀπὸ δύσεως εἰς ἀνατολάς· ἐπῳδῷ δέ, ὅτι ἵσταντο ἐν ἑνὶ τόπῳ καὶ ἔλεγον τὰς ᾠδάς, ᾗτινι ἀναλογεῖ ἡ στάσις τῆς γῆς.

O 1 prae 1 ἐχρῶντο δὲ καὶ δυάσι καὶ τριάσιν, ὡς οὗτος ὁ ποιητής, ἤγουν στροφῇ, ἀντιστροφῇ καὶ ἐπῳδῷ, ἢ στροφῇ μόνῃ καὶ ἀντιστροφῇ· πολλοὶ δὲ καὶ τετράσιν, ἤγουν στροφῇ, ἐπῳδῷ, ἀντιστροφῇ καὶ πάλιν ἀνομοίῳ ἐπῳδῷ. πεντάσι δέ, ἤγουν ἐπῳδῷ, στροφῇ, ἐπῳδῷ, ἀντιστροφῇ, ἐπῳδῷ· ἅτινα ἐλέγετο προῳδικά, ἐπῳδικά, μεσῳδικὰ καὶ παλινῳδικά. Σύγκειται δὲ τὸ πρῶτον τουτὶ ᾆσμα καί τινα τῶν ἑξῆς ἐκ τριάδος ἐπῳδικῆς. ἔστι δὲ στροφῶν τεσσάρων, ἑκάστης δὲ στροφῆς καὶ ἀντιστροφῆς τὰ κῶλα ιζ′. Τὸ α′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καὶ ἀπὸ Γλύκωνος τοῦ εὑρόντος αὐτὸ Γλυκώνειον καλεῖται. Τὸ β′ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται Ἰθυφαλλικὸν ἀπὸ Ἰθυφάλλου τοῦ Διονύσου, ἔχον τὸν δεύτερον πόδα δάκτυλον. ἐμοὶ δὲ καὶ ἀντισπαστικὸν δοκεῖ δίμετρον καταληκτικόν, ὃ καλεῖται Φερεκράτειον ἀπὸ τοῦ εὑρόντος Φερεκράτους, ἐκ τροχαϊκῆς συζυγίας καὶ βακχείου. οἰκεῖα γὰρ τῷ μέτρῳ. Τὸ γ′ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς ἐκ παίωνος τετάρτου καὶ βακχείου ἢ ἀμφιβράχεος διὰ τὴν ἀδιάφορον. ἐμοὶ δὲ καὶ τοῦτο Ἰθυφαλλικὸν δοκεῖ τροχαϊκόν, τοῦ πρώτου ποδὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τριβράχεος ἤτοι χορείου. εἴη δ’ ἂν καὶ παιωνικόν. Τὸ δʹ ἀναπαιστικὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καὶ παροιμιακὸν καλεῖται ὅτι πολλαὶ παροιμίαι τούτῳ τῷ μέτρῳ εὕρηνται. Τὸ εʹ ὅμοιον τῷ βʹ, ἤγουν τροχαϊκὸν Ἰθυφαλλικόν, πλὴν τὸν δάκτυλον ἐν τῇ γʹ ἔχει οὐκ ἐν τῇ βʹ χώρᾳ. Τὸ ϛʹ ὅμοιον κατὰ πάντα τῷ βʹ. Τὸ ζʹ τροχαϊκὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον καὶ ληκύθιον ὡς ἐκ τοῦ ληκυθίου. τὸ γὰρ ληκύθιον, ὅπερ καὶ σίφωνα λέγομεν, ἦχον ἀποτελεῖ ἐκ τοῦ ἀνθρωπείου πνεύματος οἷον ὁ τροχαῖος πούς. Τὸ ηʹ τροχαϊκὸν μονόμετρον ὑπερκατάληκτον. ἐμοὶ δὲ καὶ ἀντισπαστικὸν δοκεῖ ἡμιόλιον ἐκ τροχαϊκῆς συζυγίας καὶ ἰάμβου διὰ τὴν ἀδιάφορον. Τὸ θʹ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ιʹ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται Φερεκράτειον, ὡς εἴρηται, ἐξ ἀντισπάστου καὶ δακτύλου ἢ κρητικοῦ ἤτοι ἀμφιμάκρου. Τὸ ιαʹ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ιβʹ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ δακτύλον ἢ κρητικοῦ. ἐμοὶ δὲ καὶ δακτυλικὸν δοκεῖ πενθημιμερές. Τὸ ιγʹ προκελευσματικὸν δίμετρον καταληκτικόν. ἐχρήσατο δὲ προκελευσματικῷ ἐνταῦθα, ὅς τετράβραχύς ἐστι, διὰ τὸ ταχὺ τῆς φήμης. φησὶ γάρ· ὅθεν ὁ πολύφατος, καὶ ἐν ἑτέρῳ· νόον ὑπὸ γλυκυτάταις, διὰ τὸ ταχὺ τοῦ νοῦ, καὶ ἐν ἑτέρῳ· ὁπότ’ ἐκάλεσε πατήρ, διὰ τὸ ταχὺ τῆς κλήσεως. τοιοῦτος γὰρ καὶ ὁ προκελευσματικός, ταχὺς ὡς ἐκ βραχέων συγκείμενος. εὐκίνητα γὰρ τὰ βραχέα, τὰ δὲ μακρὰ τῶν σωμάτων δυσκινητά.

O 1 prae 1 Τὸ ιδʹ τροχαϊκὸν ὅμοιον τῷ ζʹ. Τὸ ιεʹ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐξ ἀντισπάστου καὶ παίωνος αʹ καὶ συλλαβῆς. ἔν τισι δὲ τῶν κώλων καὶ πεντασύλλαβός ἐστιν ὁ ἀντίσπαστος. ἐμοὶ δὲ δίμετρον δοκεῖ ἀκατάληκτον ἔχον καὶ τὸν βʹ πόδα ἐπίτριτον πεντασύλλαβον. Τὸ ιϛʹ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, διτροχαίου καὶ ἀναπαίστου. καλεῖται δὲ τοῦτο Φαλαίκειον, ὅτε τὴν μὲν αʹ ἔχει ἀντισπαστικήν, τὰς δὲ λοιπὰς ἰαμβικάς. ἐνταῦθα δὲ ἀντιπαθής ἐστιν ἡ μῖξις αὐτοῦ. Τὸ ιζʹ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ὃ καλεῖται Φαλαίκειον ἀπὸ Φαλαίκου, ὡς εἴρηται. ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς μόνη παράγραφος· αὕτη γάρ ἐστι σημεῖον τοῦ τέλους τῶν τε στροφῶν καὶ ἀντιστροφῶν. Ἰστέον ὅτι πᾶσαι αἱ στροφαὶ καὶ ἀντιστροφαὶ τοῦ παρόντος ἐπινικίου ὅμοια καὶ ἰσόμετρα ἔχουσι τὰ κῶλα τῇ αʹ. ὁ αὐτός ἐστι λόγος καὶ ἐπὶ τῶν ἑξῆς πλὴν τοῦ ιδʹ. ἐκεῖνο γὰρ ἐνηλλαγμένας ἔχει τὰς στροφάς. Περὶ τῶν κώλων τῶν ἐπῳδῶν. Αἱ ἐπῳδοὶ κώλων ιγʹ. Τὸ αʹ παιωνικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος βʹ καὶ ἰαμβικῆς συζυγίας καὶ συλλαβῆς ἐγὼ δ’ ἀντισπαστικὸν τοῦτό φημι δίμετρον ἀκατάληκτον τοῦ αʹ ποδὸς ἀντισπάστου πεντασυλλάβου, τοῦ δὲ βʹ ἐπιτρίτου βʹ. Τὸ βʹ ἰαμβικὸν πενθημιμερὲς τοῦ αʹ ποδὸς ἀναπαίστου. Τὸ γʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας, ἀντισπάστου καὶ ἀναπαίστου ἢ βακχείου. καλεῖται δὲ τοῦτο Ἀλκαϊκὸν διὰ τὸ μέσον ἔχειν τὸν ἀντίσπαστον, ἑκατέρωθεν δὲ τὰς ἰαμβικάς. Τὸ δʹ, ὡς ἐμοὶ δοκεῖ, σύνθετον ἤτοι ἀσυνάρτητον ἐξ ἰαμβικοῦ διμέτρου βραχυκαταλήκτου, τὸν αʹ ἔχοντος πόδα τρίβραχυν ἤγουν χορεῖον, καὶ τροχαϊκοῦ πενθημιμεροῦς. εἴη δ’ ἂν καὶ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ὅμοιον τῷ γʹ, τὸν αʹ ἔχον πόδα πεντασύλλαβον διΐαμβον, τὸν βʹ ἀντίσπαστον, τὸν δὲ γʹ κρητικὸν ἤτοι ἀμφίμακρον. Τὸ εʹ παιωνικὸν τρίμετρον καταληκτικὸν ἐκ παίωνος βʹ, ἐπιτρίτου γʹ καὶ βακχείου. Τὸ ϛʹ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου, διϊάμβου καὶ αὖθις ἀντισπάστου ἢ διϊάμβου ἢ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον. καλεῖται δὲ τοῦτο Φαλαίκειον, ὡς τὴν αʹ χώραν ἔχον ἀντισπαστικήν, τὰς δὲ λοιπὰς ἰαμβικάς, ὡς εἴρηται. Τὸ ζʹ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον ἐξ Ἰωνικοῦ καὶ τροχαϊκῆς συζυγίας καὶ συλλαβῆς. Τὸ ηʹ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. Τὸ θʹ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἡμιόλιον καλεῖται ὡς ἔχον τὸν ὅλον πόδα καὶ τὸ ἥμισυ αὐτοῦ. Τὸ ιʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται Ἀνακρεόντειον. Τὸ ιαʹ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον ἐκ παίωνος βʹ οἰκείου τῷ μέτρῳ καὶ Ἰωνικοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ καλεῖται τοῦτο Κλεομάχειον, τὸ δίμετρον δηλονότι. Τὸ ιβʹ ἐπιωνικὸν ἐξ ἀντισπάστου τρίμετρον καταληκτικόν· ἡ κατακλεὶς δὲ ἐκ τροχαϊκῆς συζυγίας καταληκτικῆς ἤτοι κρητικοῦ· καλεῖται δὲ τοῦτο Ἀλκαϊκὸν ἑνδεκασύλλαβον. Τὸ ιγʹ χοριαμβικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς ἐκ χοριάμβου καὶ βακχείου. Ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ κορωνίς, εἶτα παράγραφος, ἐπὶ δὲ τῆς τελευταίας ἐπῳδοῦ ἤτοι ἐπὶ τῷ τέλει παντὸς τοῦ ᾄσματος μόνος ἀστερίσκος, ὃς δηλοῖ, ὡς τὸ ᾆσμα τετέλεσται.

O 1 prae 1 Ἰστέον ὅτι πᾶσαι αἱ ἐπῳδοὶ τοῦ παρόντος ἐπινικίου ὅμοια καὶ ἰσόμετρα ἔχουσι τὰ κῶλα τῇ αʹ. ὁ αὐτός ἐστι λόγος καὶ ἐπὶ τῶν λοιπῶν, εἰ καὶ μὴ ἔφθημεν κἂν τούτοις δηλώσαντες τὰ περὶ τούτου. χρὴ δὲ ἐν πᾶσιν ἐπινικίοις τὰ σημεῖα τιθέναι ἐπὶ τῷ τέλει τῶν τε στροφῶν καὶ ἀντιστροφῶν καὶ τῶν ἐπῳδῶν, ὡς ἐνταῦθα δεδήλωται. Γέγραπται ὁ ἐπινίκιος Ἱέρωνι τῷ Γέλωνος ἀδελφῷ νικήσαντι ἵππῳ κέλητι τὴν ογʹ Ὀλυμπιάδα, ἢ ὡς ἔνιοι ἅρματι· ὁ δ’ αὐτὸς καὶ τὴν οζʹ νικᾷ κέλητι, τὴν δὲ οηʹ τεθρίππῳ. ἦν δὲ Ἱέρων Δεινομένους παῖς. Δεινομένους γὰρ παῖδες τέσσαρες· Γέλων, Ἱέρων, Πολύζηλος καὶ Θρασύβουλος. οὗτος δὲ ὁ Ἱέρων τύραννος ἦν Συρακουσίων, ἔσχε δὲ υἱὸν Δεινομένην. νικήσας δὲ τὰ Ὀλύμπια ἀνεκήρυξεν ἑαυτὸν Συρακούσιον καὶ Αἰτναῖον· ἔκτισε γὰρ πόλιν ἐν Σικελίᾳ Αἴτνην ὁμώνυμον τῷ ὄρει. συνέβη δὲ νικήσαντα αὐτὸν τὴν οηʹ Ὀλυμπιάδα ἐν ταύτῃ τελευτῆσαι. τὸ δὲ ὄνομα τοῦ νικῶντος ἵππου Φερένικος. μέμνηται αὐτοῦ καὶ Βακχυλίδης (Fr. 6 ed. Bgk.)· Ξανθότριχα μὲν Φερένικον Ἀλφεὸν παρ’ εὐρυδίναν πῶλον ἀελλοδρόμον νικήσαντα. Th.

O 1 1 Ἐπειδὴ τέσσαρες ἀγῶνές εἰσι, Ὀλύμπια, Νέμεα, Ἴσθμια, Πύθια, οἱ μὲν τρεῖς ἐν τῇ Πελοποννήσῳ, ὁ δὲ τῶν Πυθίων εἰς Δελφοὺς γινόμενος, ὧν τὰ μὲν Ὀλύμπια καὶ Νέμεα εἰς τὸν Δία, εἰς Ποσειδῶ δὲ τὰ Ἴσθμια, τὰ δὲ Πύθια εἰς Ἀπόλλωνα ἐτελεῖτο, ἔστι δὲ καὶ τέσσαρα στοιχεῖα τὰ τὸ πᾶν συνιστῶντα, πῦρ, ἀήρ, ὕδωρ, γῆ· ἐπεὶ ταῦτα οὕτως ἔχει, βουλόμενος τὸν Ὀλυμπιακὸν ἀγῶνα κρείττω τῶν τριῶν ἀποδεῖξαι καὶ δέον οὕτως εἰπεῖν· ὥσπερ τὸ ὕδωρ κρεῖττον τῶν ἄλλων στοιχείων καθέστηκεν, οὕτω καὶ ὁ Ὀλυμπιακὸς ἀγὼν τῶν ἄλλων ἀγώνων· ὁ δὲ οὐχ οὕτως ἐποίησεν, ἀλλ’ ἄριστον μὲν ὕδωρ φησὶ τῶν ἄλλων στοιχείων. ἐπὶ δὲ τῇ συγκρίσει ταύτῃ ἑτέραν ποιεῖ λέγων· ὁ δὲ χρυσὸς διαπρέπει καὶ διαλάμπει ἔξοχα καὶ ἐξόχως καὶ ὑπερτάτως τοῦ μεγάνορος καὶ τοῦ τοὺς ἄνδρας μεγίστους κατά τε νοῦν καὶ ἰσχὺν ποιοῦντος νομίζεσθαι πλούτου. πλοῦτον δὲ ἐνταῦθα καλεῖ τὴν τῶν κτημάτων καὶ θρεμμάτων καὶ τῶν ἄλλων περιουσίαν. θέλων δὲ δεῖξαι, πῶς ὑπερέχει ὁ χρυσὸς τοῦ πλούτου, φησίν· ἅτε, καὶ καθά, πῦρ αἰθόμενον καὶ καιόμενον καὶ λαμπόμενον ἐν νυκτί. ἄριστον δέ ἐστι τὸ ὕδωρ τῶν ἄλλων στοιχείων οὕτω· φασὶ γὰρ οἱ φυσικοὶ αἴτιον τὸ ὕδωρ τῆς τῶν τριῶν οὐσίας εἶναι, καὶ τὸ μὲν λεπτομερέστερον αὐτοῦ ἀέρα γίγνεσθαι, τὸ δὲ παχύτερον εἰς ἑαυτὸ καθιστάμενον γῆν, ἀποτελεῖν δὲ ἀπολεπτυνόμενον τὸν διάπυρον αἰθέρα, ἤτοι τὸ πῦρ. εἰκότως δὲ εἶπε τὸ ἐν ἁμέρᾳ (9)· ἡλίου γὰρ ἐν ἡμέρᾳ λάμποντος οὐδὲν τῶν ἄστρων ὁρᾶται. M. Ἄριστον μὲν ὕδω ρ ] τῶν ἄλλων δηλονότι στοιχείων· τὰ γὰρ ὑπερθετικὰ ἐπὶ τὰ ὁμογενῆ ἀεὶ τὴν ὑπέρθεσιν ἔχει. M. Ἄριστο ν ] τὰ μὲν ὑπερθετικὰ χωρὶς ἐκείνων, πρὸς ἃ τὴν ὑπέρθεσιν ἔχει, πολλάκις λέγεται καὶ ἔχει ταῦτα συνυπακουόμενα, ὡς ἐνταῦθα τὸ ἄριστον. τὰ δὲ συγκριτικὰ χωρὶς ἐκείνων, πρὸς ἃ τὴν σύγκρισιν ἔχει, οὐ δύναται λέγεσθαι, εἰ μὴ ἐπὶ θεοῦ λαμβάνοιτο, ὡς τὸ κρεῖττον παρὰ τῇ θείᾳ γραφῇ. ** τὸ προοίμιον ἐκ συγκρίσεως.

O 1 1g — * ἐστί. —τῶν ἄλλων στοιχείων· πυρός, ἀέρος, γῆς. * καιόμενον, λαμπόμενον· — ** καιόμενον, λαμπόμενον ἐν νυκτί· ἐνταῦθα γὰρ σύναπτε τὸ νυκτ ί .

O 1 3 M. Ἅτε διαπρέπε ι ] τὸ διαπρέπει λέγεται μὲν μεταβατικῶς μεσιτευούσης ἀεὶ προθέσεως· οἷον διαπρέπει τόδε ἐπὶ τοῖσδε, ἤγουν διὰ πάντων τούτων πρέπει, τουτέστι παραβαλλόμενον πρὸς πάντα ταῦτα ἀποκρύπτει αὐτά, καὶ εὐπρεπὲς αὐτὸ μόνον δοκεῖ ἐν αὐτοῖς εἶναι. ἐπὶ πολλὰ δὲ ἀεὶ ἢ δυνάμει ἢ ἐνεργείᾳ ποιεῖται ταύτην τὴν ἑαυτοῦ μετάβασιν, καὶ οὐδέποτε ἐφ’ ἕν· ὑπερθετικοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ τρόπον τινὰ δύναμιν ἔχει. δυνάμει δὲ εἴρηται διὰ τὰ περιληπτικὰ τῶν ὀνομάτων, οἷον τὸ χορός, τὸ δῆμος, τὸ πλοῦτος. ταῦτα γὰρ ἑνικὰ ὄντα τῇ φωνῇ πληθυντικὰ τῇ δυνάμει εἰσί. λέγεται δὲ καὶ μόνον κατ’ ἐξαίρετον, καθὰ καὶ τὰ ὑπερθετικὰ ἐνίοτε, ὡς ἐνταῦθα· Αἰθόμενον πῦρ διαπρέπει νυκτί. οὐ γὰρ πρὸς τὴν νύκτα παραβαλλόμενον εὐπρεπές ἐστι· τοῦτο γὰρ ἀσύνετον λέγειν· ἀλλ’ ἐν νυκτὶ καιόμενον διαλάμπει, πρὸς τὰ ἄλλα δηλονότι παρατιθέμενον, ἃ λαμπρότητα ἔχει. διαλάμπει· λάμβανε δὲ συνεκδοχικῶς τοῦτο πρὸς τὸ χρυσό ς .

O 1 4 Th. Οἱ λαμβάνοντες εἰς τὸ πλούτου ἔξωθεν τὸ ἐπ ί , καὶ τὸ ἔξοχα ἀντὶ τοῦ λίαν λέγοντες ληροῦσιν. ἔστι γὰρ ἡ τοιαύτη γενικὴ πρὸς τὸ ἔξοχ α , τὸ δὲ ἔξοχα ἀντὶ τοῦ ἐπέκεινα. ὥσπερ οὖν ἐπέκεινα πάντων φαμέν, οὕτω καὶ ἔξοχα πάντων. * τοῦ τοὺς ἄνδρας μεγίστους κατά τε νοῦν καὶ ἰσχὺν δοκεῖν ποιοῦντος, ἢ τοῦ μεγαλαύχους ποιοῦντος· — ** τοῦ τοὺς ἄνδρας μεγίστους ποιοῦντος.

O 1 5 Th. Οὐ μόνον ἆθλον τὸ βραβεῖον, ἀλλὰ καὶ ὁ ἀγών, ὡς ἐνταῦθα. Μ Εἰ δ ’ ἄεθλ α ] ἆθλον καὶ βραβεῖον τὸ αὐτό, ὡς λῆμμα καὶ δῶρον. λέγεται δὲ οὕτω τὸ διδόμενον γέρας τῷ νικήσαντι ἀθλητῇ ἀπὸ μὲν τῶν διδόντων αὐτὸ βραβευτῶν βραβεῖον, ἀπὸ δὲ τῶν ἀθλούντων ἆθλον. ἐνταῦθα δὲ ἆθλα λέγει τοὺς ἀγῶνας. * ἀγῶνας.

O 1 5g — * ὑμνεῖν, φωνεῖν· — φωνεῖν ἀντὶ τοῦ ὑμνεῖν. Germ.

O 1 6 Ἕλδεα ι ] ἀπὸ τοῦ ἐθέλω τραπέντος τοῦ θ εἰς δ κατὰ Μακεδόνας γίνεται ἐδέλω, καὶ ὑπερθέσεως γενομένης ἐέλδω, καὶ κατὰ συγκοπὴν ἕλδω καὶ ἕλδομαι· οἷον θέλω, δέλω· καὶ ἀπὸ τοῦ ἐθέλω ἐδέλω, καὶ καθ’ ὑπέρθεσιν ἐέλδω καὶ κατὰ συγκοπὴν ἕλδω καὶ ἕλδομαι. § Ἄλλως. γῆρυς ἡ φωνὴ λέγεται, ἡ ἔναρθρος ἤχησις τῆς φωνῆς καὶ αὐτὴ ἡ ἔναρθρος φωνή· ὅπερ ἐστὶ λόγος ὁ προφορικός. λόγος καὶ ὁ ἐνδιάθετος, ὅ ἐστιν ὁ διακριτικός· ὅθεν ἄρα κατὰ μετάληψιν γαρύειν τὸ διακρίνειν. Germ. Διαφέρει ἦτορ καὶ κῆρ· ἦτορ μὲν κατὰ τοὺς δόξαντας τὴν ψυχὴν διαῤῥέουσαν καὶ φθινομένην ἀπὸ τοῦ ἄω τὸ πνέω· οὕτω γὰρ ἐδόξαζον πνεῦμα ταύτην εἶναι· κῆρ δὲ παρὰ τὸ καίω· κατὰ ἑτέρους γὰρ τὸ ζωτικὸν καὶ θερμὸν αἷμα ψυχή. ἐπιθυμεῖς.

O 1 6g —ὦ φίλη ψυχή. Germ.

O 1 7 Γερμανοῦ σχόλιο ν . Ἠέλιος σημαίνει τὰς δύο ἐνεργείας τοῦ πυρός. ἐτυμολογεῖται δὲ παρὰ τὸ αὔω τὸ φωτίζω καὶ τὸ ἕλη ἡ θερμασία, καὶ κατὰ τοῦτο ψιλοῦται. ἔκκοπτε οὖν τὰς αἱρέσεις τῶν χαριεστάτων φυσικῶν τῶν λεγόντων· οὐκ ἔστι φωτεινὸς φύσει οὔτ’ αὖ καυστικός, ἀλλ’ ἐκ τῆς ἄγαν κινήσεως αὐτοῦ καὶ τοῦ παντὸς τὴν θέρμην ἔχει. ἔστι δὲ ἡ λέξις Ὁμήρου, παρ’ οὗ καὶ ὁ νῦν ποιητὴς ἔλαβεν ὡς ἀπάνθισμα. Germ. Ἑτέρα εἰκασία πρὸς πλείονα σύστασιν τῆς ἀποδείξεως τοῦ ἀγῶνος. ** ἡλίου.

O 1 8g ποταπόν; φλογωδέστερον, λαμπρότερον. Germ.

O 1 9 Ἄστρον καλῶς εἶπεν ὀντοποιῶν, σεμνύνων τὸ πρᾶγμα, ὥσπερ καὶ Ὅμηρος τὸ πρόσωπον Αἴαντος πρόσωπά φησιν (Il. VIII. 212). Μ. Φαεινὸν ἄστρον ἀντὶ τοῦ ἀστήρ. διαφέρει ἀστὴρ καὶ ἄστρον. ἀστὴρ γὰρ ὁ μονομερής· ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων συγκείμενον. λαμπρόν· τοιαύτη γὰρ ἡ τῶν ἀστέρων φύσις.

O 1 10 Th. Τὸν αἰθέρα ἐνταῦθα θηλυκῶς εἶπε ποιητικῷ ἔθει. ἐρήμης δὲ δι’ αἰθέρος οἱ μέν φασι τοῦ οὐρανίου πυρός, ᾧπερ οὐ πλησιάζει τι τῶν πάντων διὰ τὸ αὐτοῦ δαπανητικόν· διὸ καὶ ἔρημόν ἐστιν· ἐγὼ δέ φημι τὸν ἀέρα, ὃς εἰ καὶ πέτονται ἐν αὐτῷ ζῶα, ἀλλὰ διὰ τὸ μὴ οἰκεῖν ἐνταῦθα ἔρημός ἐστιν. ἄλλως τε καί τι τῆς ἐκείνων ἀλογίας γένοιτ’ ἂν χεῖρον, ἐπεὶ τὸ μὲν πῦρ ἄνω ὂν ἡμῖν οὐχ ὁρᾶται, ἡμεῖς δὲ διὰ τοῦ ἐν τῷ μεταξὺ γῆς καὶ οὐρανοῦ ἀέρος διαφανοῦς ὄντος ἥλιον καὶ σελήνην καὶ ἀστέρας καταλαμβάνομεν. ὅτι δὲ καὶ τὸ αἰθὴρ ἀντὶ τοῦ ἀὴρ εὕρηται, μαρτυρεῖ καὶ Ἀριστοφάνης λέγων περὶ τῶν νεφελῶν οὕτως (Nub. 569)· Ἡμέτερον πατέρ’ αἰθέρα βιοθρέμμονα πάντων. ἐν γὰρ τῷ ἀέρι καὶ οὐ τῷ πυρὶ νεφέλαι συνίστανται, καὶ οὗτος πᾶσι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φυτοῖς καὶ ζώοις τὸ ζῆν παρέχει. M. Ἐρήμας δ ι ’ αἰθέρο ς ] παρὰ τοῖς Ἴωσιν οὕτω θηλυκῶς προφέρεται· ὡς ἡ κίων καὶ ἡ Μαραθών. οὐ πάντα δὲ τὰ τοιαῦτα Ἰωνικά εἰσιν· ἐπεὶ καὶ οἱ Ἀττικοὶ πολλὰ τῶν ὀνομάτων ἀρσενικὰ ὄντα θηλυκῶς ἐκφέρουσιν. τοῦ μὴ ὑπό τινος οἰκουμένου ἀέρος.

O 1 11 M. Μη δ ’ Ὀλυμπία ς ] Ὀλυμπία, Πίσα καὶ Ἦλις τὸ αὐτό· Ὀλύμπια δὲ οὐδετέρως ὁ ἐκεῖ τελούμενος ἀγών. M. Μη δ ’ Ὀλυμπίας ἀγῶν α ] εἰ μὲν ἱκόμενοι γράφεται, τὸ ἑξῆς ἔχει οὕτω· μηδὲ ἀγῶνα εἴπωμεν κρείττονα τοῦ ἐν Ὀλυμπίᾳ ἀγῶνος, ἀφικόμενοι εἰς τὴν πλουσίαν οἰκίαν τοῦ Ἱέρωνος τὴν εὐδαίμονα· τὸ δὲ ὅθεν ὁ πολύφατος μέχρι τοῦ Κρόνου παῖδ α , διὰ μέσου οὕτως· ὅθεν, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, ὁ ὕμνος, οὗ πολὺ κλέος, πλέκεται βουλαῖς σοφῶν, περιφραστικῶς ἀντὶ τοῦ ὑπὸ τῶν σοφῶν, ὥστε ὑμνεῖν τὸν παῖδα τοῦ Κρόνου, τουτέστι τὸν Δία, ὅς ἐστι δεσπότης τοῦ ἀγῶνος. εἰ δὲ ἱκομένοι ς , οὕτω· μηδὲ ἀγῶνα εἴπωμεν κρείττονα τοῦ ἀγῶνος τοῦ ἐν Ὀλυμπίᾳ· ὅθεν, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, ὁ ὕμνος, οὗ πολὺ κλέος, πλέκεται ἡμῖν νοήμασι σοφῶν, ὥστε ὑμνεῖν τὸν παῖδα τοῦ Κρόνου, ἀφικομένοις εἰς τὴν πλουσίαν οἰκίαν τοῦ Ἱέρωνος, τὴν μακαρίαν. τὸ δὲ πᾶν ἔχει οὕτω· κράτιστον μέν ἐστι τὸ ὕδωρ τῶν ἄλλων δηλονότι στοιχείων· ὁ δὲ χρυσὸς περιφανής ἐστιν ἐξόχως ἐπὶ τοῦ ὑπερηφανίαν ἐμποιοῦντος πλούτου, καθὰ πῦρ διάδηλόν ἐστιν ἐν νυκτὶ καιόμενον. εἰ δὲ (5) ἀγῶνας ἐθέλεις ὑμνεῖν, ὦ προσφιλὴς ἐμοὶ ψυχή, μὴ ζήτει ἰδεῖν ἐν ἡμέρᾳ ἄλλον ἀστέρα λαμπρὸν θερμότερον τοῦ ἡλίου, δι’ ἐρήμου τοῦ αἰθέρος, φερόμενον δηλονότι· ἤγουν μὴ ὑπὸ νεφελῶν κρυπτομένου· ὅτε γὰρ ἀσυννεφής ἐστιν ὁ οὐρανός, τότε ἡ τοῦ ἡλίου δείκνυται θερμότης· μηδὲ ἀγῶνα (11) εἴπωμεν κρείττονα τοῦ ἐν Ὀλυμπίᾳ ἀγῶνος· ὅθεν, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, πλέκεται ἡμῖν ὁ ὕμνος, οὗ πολὺ κλέος, νοήμασι σοφῶν, ὥστε ὑμνεῖν τὸν παῖδα τοῦ Κρόνου (16) ἤγουν τὸν Δία, ἀφικομένοις εἰς τὴν πλουσίαν οἰκίαν τοῦ Ἱέρωνος, τὴν εὐδαίμονα, τουτέστι τὴν Σικελίαν· ὅς, ἤγουν ὁ Ἱέρων, διέπει βασιλείαν (19) δικαίαν ἐν τῇ Σικελίᾳ τῇ πολυμήλῳ, ἀντὶ τοῦ τῇ πολυθρέμμονι, δρεπόμενος μέν, ἤγουν τρυγῶν, ἀπανθιζόμενος ἀπὸ πασῶν τῶν ἀρετῶν τὰ ἐξαίρετα. λαμπρύνεται δὲ (22) καὶ ἐν ἀώτῳ μουσικῆς, ἀντὶ τοῦ ἐν ἐξαιρέτοις μέλεσι μουσικῆς κατ’ ἐκεῖνο τὸ μέρος, ὃ παίζομεν οἱ ἄνθρωποι θαμά, ἀντὶ τοῦ πολλάκις, περὶ φίλην τράπεζαν, ἀντὶ τοῦ φιλικήν, ἤγουν φίλους συνεστιωμένους ἔχουσαν. ἤγουν τοῦ Ὀλυμπιακοῦ.

O 1 12 M. Αὐδάσομε ν ] ὁριστικὸν ἀντὶ ὑποτακτικοῦ, ὡς ἐν τῷ· ἵνα εἴδομεν (Il. I, 363). κρείττονα.

O 1 12g —λέξομεν. Germ.

O 1 13 Ὅθεν ὁ πολύφατο ς ] ὅθε ν , ἀπὸ τῆς Ὀλυμπίας, τελικοῦ αἰτίου· σοφῶν δὲ μητίεσσ ι , ποιητικοῦ αἰτίου. ἀπὸ τοῦ Ὀλυμπιακοῦ.

O 1 13g —πολυθρύλλητος· ἐκεῖνον γὰρ νικῶντες οἱ ἄνδρες πρὸς ἔπαινον αὐτῶν τοὺς σοφοὺς ἐπαίρουσιν. Germ.

O 1 14 Ἀμφιβάλλετα ι ] οἱονεὶ τοῦτο κατασκευάζεται τὸ ὑμνεῖσθαι τὸν Δία, οὗ οὐδείς ἐστιν ἕτερος αἴτιος ἢ ὁ Ἱέρων. ἐπέρχεται.

O 1 15g γνώμαις· — βουλαῖς, νοήμασι. —ὑμνεῖν αὐτούς. Th.

O 1 16 Κρόνου παῖδα οἱ μὲν πρὸς τὸ ἑστίαν συντάσσουσι ληροῦντες· ἐπλανήθησαν δὲ εἰς τοῦτο, διότι ἡ καταρχὰς τὴν οἰκίαν εὑροῦσα ἡ Ἑστία ἦν, ἥτις ἦν Κρόνου θυγάτηρ, ἀφ’ ἧς καὶ τὴν οἰκίαν ἑστίαν λέγομεν. ἐγὼ δὲ Κρόνου παῖδα λέγω τὸν Δία, ὃν δίκαιον ἐπαινεῖσθαι πρὸ τῶν νενικηκότων διὰ τὸ αὐτοῦ τὴν πανήγυριν εἶναι, εἰς ἣν οὗτοι ἐνίκησαν. πρῶτον δὲ καθολικῶς εἰπὼν ἀπὸ τῆς Ὀλυμπίας ἔρχεσθαι τοὺς ὕμνους ἐν τοῖς σοφοῖς ἐπαινεῖν τοὺς νικῶντας· ἐπειδὴ ὁ νῦν νενικηκὼς ὁ Ἱέρων ἦν, αὐτὸς δὲ ἦν ὁ πρὸς τοῦτον τὸν ἔπαινον ἐργαζόμενος, διὰ τοῦτο πρὸς τὸν Ἱέρωνα τὸν λόγον ἀπέτεινε, καὶ ἔστι τὸ ἱκομένους δι’ ἑαυτόν. Germ. Τὸ ἱκομένους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀντὶ τοῦ ἱκόμενοι καὶ παραγενόμενοι λέγει· τῇ γὰρ αἰτιατικῇ ἀντὶ ὀρθῆς κέχρηται· ὅπερ οὐκ οἶμαι λόγον ἔχειν. συντάσσεται δὲ καὶ μετὰ αἰτιατικῆς καὶ εὐθείας. τὸν Δία.

O 1 16g —πλουσίαν. μακαρίαν.

O 1 18 Germ. Ἀμφέπει τὸ περιέπει, οἱονεὶ θεραπεύει ἢ ἀντὶ τοῦ βασιλεύει τῆς εὐδαίμονος Σικελίας· ἡ γὰρ πολύμηλος εὐδαίμων ἀπὸ μέρους νοοῖτο. Germ. Θεμιστεῖο ν ] ὅτι τὸ σκῆπτρον τῆς Θέμιδος τοῖς βασιλεῦσιν ἐδέδοτο. M. Ὃς ἀμφέπε ι ] ἀντὶ τοῦ διέπει. περιέπειν γάρ ἐστι τὸ φίλον τινὰ κυβερνᾶν καὶ θάλπειν, διέπειν δὲ τὸ διοικεῖν· ἐνταῦθα δὲ ὁ λόγος τὸ δεύτερον ἀπαιτεῖ. M. Θεμιστεῖο ν ] τοῦτο ἡ μὲν ἀναλογία προπαροξύνει, ἡ συνήθεια δὲ περισπᾷ. ἐπικρατεῖ δὲ ἡ συνήθεια, ὡς καὶ ἐν τῷ χάριεν. κἀκεῖνο γάρ, ὅσον κατὰ τὴν ἀναλογίαν, ἐπὶ τῆς παραληγούσης ἂν εἶχε τὸν τόνον, ἀλλ' ἡ συνήθεια προπαροξύνασα αὐτὸ ἐπεκράτησε. δίκαιον, ἔννομον.

O 1 18g —διεξάγει, περιέπει. M.

O 1 19 Θεμιστεῖον σκῆπτρο ν ] σκῆπτρον ἡ βασιλικὴ ῥάβδος. ἀπὸ ταύτης δὲ ἐνταῦθα τὴν βασιλείαν θέλει δηλοῦν. τοῦτο δὲ καὶ παρὰ τῷ πεζῷ λόγῳ ἐστὶν ἐν χρήσει. Tr. Σκᾶπτον κατὰ Δωριεῖς τὸ σκῆπτρον, ἀποβολῇ τοῦ ρ γινόμενον. Germ. Πολυμάλ ῳ ] ἤγουν τῇ πολυθρεμμάτῳ, ἢ ἀπὸ τοῦ καρποῦ τῶν μήλων· ἐκεῖ γὰρ περισσῶς λέγεται φυῆναι· ἢ πολυκάρπῳ· καὶ Ὅμηρος (Il. IX. 542)· καὶ αὐτοῖς ἄνθεσι μήλων. ἀρχήν.

O 1 19g —τῇ πολυθρέμμονι ἢ τῇ πολυκάρπῳ. καρπούμενος, λαμβάνων.

O 1 21g τὰ ἀκρότατα. —ἤγουν εἰς πᾶσαν ἀρετὴν ἄκρος ὤν· — τῆς ἀνδρίας, τῆς δικαιοσύνης καὶ τῶν ἑξῆς. Germ.

O 1 22 Ἀγλαΐζετα ι ] ἢ ὅτι αὐτὸς μελικός ἐστιν, ἢ ὅτι φιλακροάμων ἐστὶ τῶν ᾠδῶν καὶ τῆς μουσικῆς· ἢ ὡς ὅτε πᾶν δένδρον, φησίν, ἀναπνέον ἀναφύει τὰ ἄνθη, ἢ ἀλλοπαθές. Th. Δέον ἀγλαϊζόμενος εἰπεῖν πρὸς τὸ δρέπων ἀγλαΐζεται εἶπεν. εὕρηται δὲ καὶ παρὰ πᾶσι λογοποιοῖς. φησὶ γὰρ ὁ Συνέσιος· τὰ μὲν ἄλλα σώφρων καὶ μέτριος ἐν τῷ καθ' ἑαυτὸν βίῳ γενόμενος, ἀλλ' ὑπὲρ εὐγενείας ἀμφισβητῶν τῷ Κέκροπι διετέλεσε. διὰ δὲ τοῦ εἰπεῖν· ἀγλαΐζεται δὲ καὶ μουσικῆς ἐν ἀώτ ῳ , ἤτοι μουσικῇ, περιφραστικῶς δείκνυσιν αὐτὸν εἰρήνης ἀπολαύοντα καὶ οὐ πολέμους ἔχοντα. εἰρηναίας γάρ ἐστι καταστάσεως μουσικῇ καὶ αὐλοῖς τὴν ψυχὴν θέλγειν. λαμπρύνεται, κοσμεῖται.

O 1 23 Germ. Ἐν ἀώτ ῳ , οἷα παίζομε ν ] οὐ σπουδαίων ἀνδρῶν καὶ ἐγρηγορότων καὶ νηφόντων τὸ ᾄδειν, ἀλλὰ λίχνων καὶ οὐδ' ἐν ἑτέρῳ καιρῷ ᾀδόντων ἀλλ' ἢ ἐν τῷ τῆς τραπέζης. φίλαν δὲ (24) ἀντὶ τοῦ φιλοποιόν, ἐν ᾗ συναθροίζονται πάντες οἱ φίλοι, οὐδεὶς δ' ἀπὸ τῶν ἐχθρῶν· ἢ ἐν ᾗ γίνονται οἱ φίλοι. τῷ ἀπανθίσματι· ἀπάνθισμα δὲ μουσικῆς ἡ ᾠδὴ καὶ ἡ ἐξ αὐτῆς ἡδονή.

O 1 24 M. Οἷα παίζομε ν ] ἀντὶ τοῦ κατ' ἐκεῖνο τὸ μέρος ὃ παίζομεν. ὁμοιωματικὸν ἀναφορικὸν δεικτικὸν ἀντὶ ἀναφορικοῦ δεικτικοῦ. τοῦτο δὲ καὶ παρὰ τοῖς κοινοῖς ἐστιν ἐν χρήσει. καθά.

O 1 25g συνεχῶς· τὸ δὲ ἀμφὶ καθ' ὑπέρβατον πρὸς τὸ τράπεζαν λάμβανε. Th.

O 1 26 Τὸ Δωρίαν οἱ μέν φασιν ἱστορικῶς διὰ τοῦτο ὅτι πρῶτοι οἱ ἐν Παρνασῷ Δωριεῖς λύραν ἐπήξαντο· οἱ δὲ μυθικῶς ὅτι πρῶτος Ἑρμῆς ταύτην πήξας Ἀπόλλωνι δῶρον ἔδωκεν· οὓς αὐτὸς χαίρειν ἐάσας Δωρίαν νόει τὴν Δώριον μέλος ᾄσασαν ἐν τῷ Ἱέρωνος ἐπινικίῳ, ἢ ὅτι ὁ ἐπινίκιος Δωριστὶ συνετέτακτο. εἰσὶ δὲ ἁρμονίαι τρεῖς· Δώριος, Φρύγιος, Λύδιος. ἀναλάμβανε δέ, ὦ Πίνδαρε, τὴν Δωρίαν φόρμιγγα καὶ ὕμνει τὸν Φερένικον ἵππον τοῦ Ἱέρωνος καὶ τὴν Πίσαν, εἰ ἄρα σοι ἡ τούτου χάρις τὸν νοῦν ηὔφρανε. κιθάραν.

O 1 27g — ἐν ᾧ ἦν κρεμαμένη. Th.

O 1 28 Πίσα χώρα καὶ Ἀλφειὸς ποταμὸς πλησίον Ἤλιδος ἐν Πελοποννήσῳ εἰσί. λέγουσι δέ τινες τὴν Πίσαν καὶ τὴν Ἦλιν πάνυ πλησίον εἶναι, ὅπερ οὐκ ἔστιν ἀληθές· πεντήκοντα γὰρ στάδια

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλήλων διέχουσι. Πίσα δὲ ἐκλήθη ἀπὸ Πίσης τῆς θυγατρὸς Ἐνδυμίωνος. ἐλέγετο δὲ ὁ τόπος τοῦ ἀγῶνος καὶ Πίσα καὶ Κρόνιος λόφος. τὸ δὲ Σύτο παρ’ Ἀλφεῷ, καταχρηστικῶς εἶπεν· οὐ γάρ ἐστιν ἐν τῷ τοῦ ἀγῶνος τόπῳ οὗτος ὁ ποταμός, ἀλλὰ πόῤῥω. ὦ ψυχή.

O 1 28g —ἐνταῦθα γὰρ ἐτελοῦντο τὰ Ὀλύμπια· ὠνόμασται δὲ ἀπὸ Πίσης τῆς Ἐνδυμίωνος θυγατρός. οὕτω γὰρ ἐκαλεῖτο ὁ τοῦ Ἱέρωνος ἵππος.

O 1 29g —ἡδονή. τὸν σόν.

O 1 30g —ἡδὺ γὰρ ἐμοὶ τὸ φροντίζειν περὶ αὐτῶν καὶ ὑμνεῖν. ** φροντίζειν ἐποίησε.

O 1 32 Germ. Τὸ σύτο δέμας ἀντὶ τοῦ ὅστις ὥρμησε τὸ δέμας πρὸς τὸν δρόμον. § ὥρμα πρὸς τὸν δρόμον. ὅστις ὁ ἵππος ἢ ὁπότε.

O 1 32g —ποταμῷ. —ὥρμητο· — ἀντὶ τοῦ ἐσεύετο αὐτὸς ὁ Φερένικος. αὐθόρμητον καὶ μὴ δεόμενον κέντρου πρὸς κίνησιν ὥσπερ οἱ ἄλλοι ἵπποι, ἤγουν ἄψογον· ὁ γὰρ ψόγος ὥσπερ τι κέντρον τοῖς ἐνδεχομένοις.

O 1 34 τῇ νίκῃ. —προσεπέλασε. —τὸν αὐτοῦ κύριον Ἱέρωνα. Th.

O 1 35 Ἱπποχάρμα ν ] τὸν τῇ ἱππικῇ χαίροντα. καλῶς δὲ τὸ ἐπίθεον τῷ βασιλεῖ διὰ τὸ ἱπποτροφεῖν, ἵνα δείξῃ ὅτι οὐ τύχης γέγονε τὸ τῷ Φερενίκῳ χρήσασθαι, ἀλλ’ ἐπιστήμης καὶ τῆς ἀερὶ τὸ πρᾶγμα ἐπιμελείας. Συράκουσα πόλις Σικελίας.

O 1 35g —τὸν ἐν τοῖς ἱππικοῖς χαίροντα ἢ τὸν ἱππικώτατον. — ** οὕτω χρὴ τὸ κῶλον τοῦτο γράφειν διὰ τὸ μέτρον. Germ.

O 1 37 Εὐάνορ ι ] τῇ ἀνδρειοτάτῃ, τῇ εὖ διδούσῃ τοῖς ἀνδράσιν. αὐτῷ τῷ Ἱέρωνι ἢ τῷ ἵππῳ· — αὐτῷ, ἤτοι αὐτοῦ τοῦ Ἱέρωνος.

O 1 37g — * τῇ εὐδαίμονας ἐργαζομένῃ τοὺς ἄνδρας διὰ τὰς ἐν Ὀλυμπίᾳ νίκας ἢ τῇ ἐχούσῃ καλοὺς ἄνδρας καὶ γενναίους. Tr.

O 1 38 Πέλοπος ἀποικί ᾳ ] ἤτοι τῇ Πελοποννήσῳ, ἣν ᾤκησεν ὁ Πέλοψ ἀποικισθεὶς τῆς ἑαυτοῦ πατρίδος τῆς Λυδίας. M. Μεγασθενή ς ] τὰ παρὰ τὸ σθένος καὶ τὸ γένος ὀνόματα σύνθετα κύρια μὲν ὄντα παροξύνεται· οἷον Δημοσθένης, Ἀντισθένης, Διογένης, Θεαγένης· ἐπίθετα δὲ ὀξύνεται· οἷον μεγασθενής, ἀσθενής, μονογενής, εὐγενής. κατὰ ταὐτὰ καὶ Ἀριστοφάνης καὶ Μητροφάνης παροξύνεται κύρια ὄντα· ἀφανὴς δὲ καὶ προφανὴς καὶ διαφανὴς ὀξύνεται ἐπιθετικῶς λεγόμενα· ὧν τὰ μὲν κύρια ἀπὸ τοῦ φαίνειν γίνεται, τὰ δὲ ἐπίθετα ἀπὸ τοῦ φαίνεσθαι. τὰ δὲ εἰς ος ἀπὸ τοῦ φαίνεσθαι πάντα προπαροξύνεται, εἴτε κύριά εἰσιν εἴτε ἐπίθετα, οἷον ἄφαντος, πρόφαντος, Διόφαντος. * ἤγουν ἐν τῇ Πελοποννήσῳ, εἰς ἣν ἀπὸ Λυδίας Πέλοψ ἀφῖκτο· ἀφ’ οὗ καὶ τοὔνομα ἔσχεν Ἀπία πρὶν καλουμένη.

O 1 39g * ἐπεθύμησεν, ἐφίλησε· — ** ἐπροθύμησεν, εἰς ἔρωτα ἦλθεν. Germ.

O 1 40 Λέβητο ς ] τὴν ἐργασίαν αὐτὴν ὀνομάζει λέβητα, ἤγουν τὴν πρᾶξιν. Th. Τάνταλος τιμώμενος πάνυ παρὰ θεοῖς καὶ βουλόμενος αὐτοῖς ἀνταμείψασθαι σφάττει τὸν αὐτοῦ παῖδα Πέλοπα καὶ δεῖπνον παρατίθησι τοῖς θεοῖς. τῶν ἄλλων οὖν θεῶν ἀποδεξαμένων αὐτὸν τῆς γνώμης καὶ μὴ φαγόντων, Δημήτηρ ἐλθοῦσα ἐκ τῆς τῆς θυγατρὸς ζητήσεως καὶ ἀγνοοῦσα τὸν ὦμον κατέβρωξεν. ἐμβαλόντες οὖν αὐτὸν οἱ θεοὶ εἰς λέβητα καὶ ὁλόκληρον αὖθις συμπήξαντες, ἐπεὶ ὁ ὦμος ἀπῆν, ἐλεφάντινον ἀντέθηκαν. διὸ καὶ οἱ ἐκ Πέλοπος καταγόμενοι τοιοῦτον εἶχον τὸν ὦμον. τὴν Κλωθὼ δὲ λέγει ἐξελεῖν αὐτὸν ἐκ τοῦ λέβητος, διότι συγκεκλωσμένον ἦν αὐτῷ παρὰ τῆς τύχης αὖθις ἀναζωωθῆναι· ὃ μὴ δεχόμενος Πίνδαρος ἐλέγξει μὲν προϊών, νῦν δέ φησιν· ἦ θαύματα πολλά· ὅπερ τριπλῶς νόει οὕτως· ὄντως θαῦμα ὑπάρχουσι τὰ πολλά· ὄντως πολλὰ θαύματά εἰσιν· ὄντως θαυματὰ καὶ θαυμαστά εἰσι πολλά. αὐτὸν τὸν Πέλοπα.

O 1 41

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Germ. Φαίδιμον ἐξήνεγκεν ἕτεροι, ὅτι καὶ καθαρὸς λέβης ἐκεῖνος· ἕτεροι δέ, ὅτι ζῶντα αὐτὸν ἐξήνεγκεν· ὅθεν καὶ καθαρὸν τὸν λέβητα ὀνομάζει. M. Φαίδιμον ὦμο ν ] περιττῶς κεῖται τὸ φαίδιμον · ἢ τὸ κεκαδμένον ἀντὶ τοῦ ἔχοντα. σύνηθες δὲ τούτοις τὸ τοιοῦτον. * μοῖρα· — ** ἡ τὰ τῶν ἀνθρώπων ἐπικλώθουσα τύχη. [5]

O 1 41g —ὀστῷ δηλονότι. —ποταπόν; λαμπρόν. * κεκοσμημένον· — κεκοσμημένον ἢ ἔχοντα.

O 1 43 Germ. Τὸ ἦ θαῦμα τὰ πολλὰ γράφεται καὶ οὕτως· ἦ θαυματὰ πολλ ά , ἀντὶ τοῦ ὄντως θαυμαστὰ καὶ ἄξια θαύματος. § ἦ θαῦμα ἀντὶ τοῦ ὄντως θαῦμα καὶ ἔκπληξις· ἔκπληξις δὲ καὶ φόβος ἐξ ἀσυνήθους φαντασίας. § ἢ ἐκπληκτικά τινα ὑπερβαίνοντα τὴν ἀλήθειαν καὶ πρὸς τὸ τερατωδέστερον νεύοντα. ἡ δὲ σύνταξις· φέρεται δὲ καὶ βροτῶν φήμη. * γρ. [5]

O 1 43g ἢ θαυματὰ πολλὰ ἀντὶ τοῦ ἄξια θαύματος· — ὄντως ἔκπληξις ὑπάρχει — ὄντως ἄξια θαύματος κατὰ πολύ. Th.

O 1 44 Ἐπειδὴ ἐκ πολλῶν ἀνθρώπων λόγων ἡ φήμη συνίσταται, διὰ τοῦτο φάτις εἰπὼν εἶτα πρὸς τὸ ταύτης σημαινόμενον τὸ μῦθοι ἐπήγαγε. μὴ συνάψῃς δὲ τὸ θνατοῖς πρὸς τὸ τεύχε ι , ὥς τινες οἴονται, ἀλλὰ πρὸς τὸ ἐπιφέρουσ α , οὕτως· ἐπὶ τοῖς θνατοῖς φέρουσα τιμήν, ἤτοι παρ' αὐτῶν τιμωμένη. τὸ γὰρ ἐν ἀνθρώποις φέρειν τιμήν, τιμᾶσθαί ἐστι. * ἡ φήμη. [5]

O 1 46g πεποικιλμένοι, ἐκ μεταφορᾶς τοῦ μηχανικωτάτου Δαιδάλου. ἐξαπατῶσι τοὺς ἀκούοντας καὶ πρὸς πίστιν ἄγουσιν.

O 1 48 Germ. Ἡ χάρις, ἡ ποιητικὴ δύναμις· τὸ αἰτιατὸν ἀντὶ τοῦ αἰτίου· τῇ ποιητικῇ γὰρ δυνάμει ἐνυπάρχει τὸ ἐνήδονα λέγειν· ἢ τὰ πράγματα δι' ὀνομάτων ἢ δι' ὁρισμῶν ἀποδεικνύονται· ἐνταῦθα δὲ ὁρισμῷ τὴν ποιητικὴν ἐδήλωσεν· ποιητικὴ γὰρ χάρις ἅπαντα τεύχει τὰ μείλιχα θνατοῖς κατὰ Πίνδαρον. τὸ δὲ ἐξαπατῶντι ἀντὶ τοῦ ἐξαπατῶσι. τὸ δὲ ψεύδεσι δοτικὴ ἀντὶ εὐθείας καὶ τὸ μῦθοι εὐθεῖα ἀντὶ δοτικῆς. τὸ δὲ ἐπιφέροισα τιμά ν , τοῦτο ἀξίωμα τοῦ λόγου, ἐπιδεικνύουσα τὴν ἑαυτῆς δόξαν, τουτέστιν ἰσχύν· ἑκάστου γὰρ δόξα ἡ ἰσχὺς αὐτοῦ. ἡ ποιητικὴ καλλιέπεια· — ἤτοι δύναμις, ποιητικῶν λόγων δηλονότι ἐπαγωγός. [5]

O 1 49g τὰ ἡδέα. — * ἀνθρώποις. ἔχουσα· — ἐπιτιθεῖσα αὐτοῖς ἢ ἑαυτῇ.

O 1 51g ** πρᾶγμά τι. —ἐσκέψατο. Th.

O 1 52 Τὸ τὸ οὐκ ἔστι κατὰ ἀντιστροφὴν πρὸς τὸ ἄπιστο ν , ὡς ληροῦσί τινες, ἀλλ' εἰπών· καὶ ἄπιστον ἐμήσατο πιστὸν ἔμμεναι, ἐπιφέρει τὸ, καὶ τοῦτο ὃ ποιοῦσι· καὶ ἔστιν ὅμοιον τῷ παρὰ Σοφοκλεῖ (Ai. 46)· Ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει. εὑρήσεις δὲ καὶ ἕτερα πολλὰ τοιαῦτα. τοῦτο ὃ ποιοῦσι. [5]

O 1 53 Germ. Ἁμέραι ἐπίλοιποι, ἤγουν ὁ μετὰ ταῦτα χρόνος καὶ ὁ ἐφεξῆς καιρὸς δεικνύει τὸ πρᾶγμα, ἐλέγχει, ἀπογυμνοῖ ἐκεῖνο καὶ φανεροῖ ὁποῖόν ἐστιν. ἤγουν ὁ μετὰ ταῦτα χρόνος δείκνυσι τὸ πρᾶγμα ὁποῖόν ἐστι, καὶ ἔλεγχός ἐστιν ἀκριβής.

O 1 54 Germ. Τὸ μάρτυρες σοφώτατοι ἀντὶ τοῦ· τὸ γὰρ συνεχῶς λεχθὲν λέγεται καὶ σοφόν. τῆς ἀληθείας.

O 1 54g — γίνονται ἔλεγχοι τοῦ ψεύδους καὶ τῆς ἀληθείας. παντί.

O 1 55g — * εἰπεῖν· — ** φάναι. πρέπον· — εἰκός.

O 1 56g —περὶ θεῶν. * ἤγουν οὐδεμία μέμψις τῷ καλὰ λέγοντι περὶ τῶν θεῶν, ἀλλὰ μᾶλλον εὐσέβεια.

O 1 26-57 M. Ἀλλὰ Δωρίαν ἀπὸ φόρμιγγ α ] πρὸς τὴν ἑαυτοῦ πάλιν ψυχὴν ἀποτείνει τὸν λόγον· ἀλλὰ τὴν τοῖς Δωρίοις μέλεσιν ἁρμόζουσαν φόρμιγγα ἀπὸ τοῦ πασσάλου λάμβανε, ἤγουν μὴ ἀργῶς αὐτὴν ἔα κεῖσθαι· ἀλλὰ λάμβανε καὶ κίνει πρὸς τοὺς ἐπαίνους, εἴ σοι κατά τι τὸν νοῦν (30) ὑπὸ γλυκυτάταις ἐποίησε φροντίσιν, ἤγουν τὴν γλυκυτάτην φροντίδα, τῶν ἐγκωμίων δηλονότι, φροντίζειν ἐποίησε, τὸ ἐπαγωγὸν τοῦ ἀγῶνος τοῦ ἐν τῇ Πίσῃ καὶ τῆς ἀρετῆς τοῦ ἵππου τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φερενίκου· ὅτε αὐτὸς ὁ Φερένικος σύτο, ἤγουν ἐσεύετο, ἔτρεχε, πλησίον τοῦ Ἀλφειοῦ ποταμοῦ, ἤγουν ἐν τῇ Ὀλυμπίᾳ, τὸ ἑαυτοῦ σῶμα διδοὺς ἐν τοῖς δρόμοις οὐ δεόμενον κέντρου· τῇ νίκῃ δὲ (34) ἥνωσε, τουτέστι νικῆσαι ἐποίησε, τὸν ἑαυτοῦ δεσπότην, τὸν Ἱέρωνα, τὸν βασιλέα τὸν Συρακούσιον, τὸν τῇ ἱππικῇ χαίροντα. διάδηλον δέ ἐστιν αὐτοῦ τὸ κλέος (37), ἤγουν τοῦ Ἱέρωνος, παρὰ τῇ ἀποικίᾳ τοῦ Πέλοπος τοῦ Λυδοῦ, ἤγουν ἣν ἀποικισθεὶς ὁ Πέλοψ τῆς ἑαυτοῦ πατρίδος τῆς Λυδίας ᾤκησε, τουτέστι τῇ Πελοποννήσῳ, τῇ καλῶς ἐχούσῃ ἕνεκα γενναιότητος ἀνδρῶν. οὗτινος, τοῦ Πέλοπος δηλονότι, ἔρωτα ἔσχεν ὁ Ποσειδῶν, ὁ μεγάλην ἔχων ἰσχύν, ὁ τὴν γῆν συνέχων· ἐπεὶ γὰρ ἐπ' αὐτῷ ἐστι τὸ κινεῖν αὐτήν, ἐπ' αὐτῷ δηλονότι ἐστὶ καὶ τὸ μὴ κινεῖν· διὸ οὐ μόνον Ἐνοσίχθων, ἀλλὰ καὶ Ἀσφάλειος ὁ αὐτὸς καὶ Γαιήοχος. ἠράσθη δὲ αὐτοῦ, ἀφ' οὗ (40) ἐξήνεγκεν αὐτὸν τοῦ ἱεροῦ διὰ τὴν θυσίαν λέβητος ἡ Κλωθώ, ἐλεφαντίνῳ ὀστῷ λαμπρὸν ἔχοντα τὸν ὦμον. ὄντως (43) ἔκπληξις τὰ πλείω τῶν πραγμάτων, καί που κατά τι παρασύρουσιν ἔξω τοῦ ἀληθοῦς λόγου τὰς φρένας τῶν ἀνθρώπων καὶ λόγοι ψεύδεσι ποικίλοις πεποικιλμένοι· ἡ ἐπαγωγὸς δὲ δύναμις (48) ἐστι τῶν ποιητικῶν δηλονότι λόγων· τῇ ποιητικῇ γὰρ ἐφεῖται τὰ τοιαῦτα· ἥτις ἅπαντα πρὸς τοὺς ἀνθρώπους κατασκευάζει τὰ μείλιχα, ἤγουν τὰ εὐπαράδεκτα, τὰ ἡδέα, ἐπιτιθεῖσα αὐτοῖς τιμήν, ἀντὶ τοῦ δύναμιν αἰδοῦς καὶ τιμῆς ἀξίαν· ἢ ἐπιφέρουσα τιμὴν ἑαυτῇ δηλονότι καὶ τὸ ἄπιστον ἀπὸ τῆς ἑαυτῆς φύσεως ἐμηχανήσατο πολλάκις πιστὸν τοῦτο εἶναι, ἀντὶ τοῦ δοκεῖν, αἱ ἡμέραι δὲ (53) αἱ ἔμπροσθεν γίνονται ἔλεγχοι σοφώτατοι τοῦ ἀληθοῦς καὶ τοῦ ψεύδους. ἔστι δὲ πρέπον τῷ ἀνθρώπῳ εἰπεῖν περὶ τῶν θεῶν καλά, τουτέστι λόγους ἀγαθὴν δόξαν ἔχοντας. ἐλάττων γὰρ οὕτω μέμψις, ἀντὶ τοῦ οὐδεμία, ἀλλὰ καὶ ἔπαινος μᾶλλον. προκατάστασις. [35]

O 1 58g — * Πέλοψ. —ἐναντίως. ἱστορικῶν, ποιητῶν.

O 1 59g —εἴπω· ἔχει δὲ τὴν δύναμιν πρὸς τὸ ἁρπάσα ι . Μ.

O 1 60 Ὁπότε κάλεσε πατή ρ ] ἀσαφὴς δοκεῖ ὁ λόγος οὐκ ἔχων, τίνα ἐκάλεσεν ὁ Τάνταλος· τὸ ἐπαγόμενον δὲ λύει τὴν αὐτοῦ ἀσάφειαν· ἐπάγεται γάρ· ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχω ν . ἀφ' οὗ δῆλον γίνεται, ὅτι τοὺς θεοὺς ἐκάλεσεν. εἶχε δ' ἂν σαφέστερον, εἰ οὕτως ἂν ἐλέγετο· ὁπότε κάλεσε πατὴρ τοὺς θεούς, ἀμοιβαῖα αὐτοῖς δεῖπνα παρέχων. Tr. Ἐλλειπτικὸν δοκεῖ εἶναι πρὸς τὴν σύνταξιν τὸ ὅλον χωρίον, καὶ ληπτέον ἔξωθεν τὸ ᾄδετα ι . ᾄδεται. [5]

O 1 60g —συνήγαγε. —ὁ Τάνταλος. δικαιότατον· ἐπειδὴ ἀντίδοσις ἦν ὧν ὑπὸ θεῶν ἀγαθῶν ἔπασχεν· * ἢ τοῦτο λέγει διὰ τὸ θεοὺς ἑστιάτορας εἶναι.

O 1 62 Germ. [Start of a diagram] δαίς ἔρανος ὁ ἐκ πολλῶν συναθροισθεὶς δώρων εἰλαπίνη τὸ ἐξ ἑνὸς γινόμενον δεῖπνον γάμος δὲ ὁ ἐκ νυμφίου καὶ νύμφης. [End of a diagram] Th. Ἀγνοοῦντές τινες εἰς πρὸς τὸ ἔρανον λαμβάνουσιν ἔξωθεν λέγοντες καὶ ἐν τῷ φίλαν τε τὸ τε ἀργόν. τὸ δὲ πᾶν ἐστι τοιοῦτον· ἀντία δὲ καὶ ἐναντίως τῶν προτέρων ἱστορικῶν, ὦ υἱὲ τοῦ Ταντάλου Πέλοψ, φθέγξομαι καὶ εἴπω, τότε ἁρπάσαι σε τὸν ἀγλαοτρίαιναν Ποσειδῶνα ἀνὰ ταῖς χρυσέαις ἵπποις δαμέντα καὶ τρωθέντα τὰς φρένας ἐν ἱμέρῳ καὶ τῇ σῇ ἐπιθυμίᾳ, ὥστε μεταβᾶσαι καὶ μετενεγκεῖν εἰς τὸ ὕπατον καὶ ὑπερεξοχώτατον δῶμα τοῦ εὐρυτίμου Διός· τότε ἁρπάσαι, ὅτε ἐκάλεσε καὶ συνήγαγεν ὁ σὸς πατὴρ Τάνταλος τὸν εὐνομώτατον ἔρανον, ἤτοι τὴν δικαιοτάτην συναγωγὴν τῶν θεῶν καὶ τὴν φίλην καὶ προσφιλῆ αὐτῷ, τῷ Ταντάλῳ, Σίπυλον, ἤτοι τοὺς ἐν αὐτῇ ὄντας θεούς, παρέχων τοῖς θεοῖς δεῖπνα ἀμοιβαῖα καὶ ἀντίδοτα. μὴ ξενίζου δέ, εἰ λέγεις ἐκάλεσε καὶ τὴν φίλην Σίπυλον · ὥσπερ γάρ φαμεν· κέκληκα τοὺς ἐμοὺς φίλους καὶ πᾶσαν τὴν πόλι ν , ἤτοι τοὺς ἐν αὐτῇ ὄντας πολίτας, οὕτω καὶ τοῦτο. Μ. Ἔρανο ς ] τὸ εἰσφερόμενον ὑφ' ἑκάστου τῶν φίλων εἰς κοινὴν ἀπόλαυσιν. Tr. Σίπυλο ν ] οἱ μὲν πόλεως ὄνομα ἔφασαν, οἱ δὲ ὄρος περὶ τὴν Λυδίαν. * τὴν συναγωγὴν τῶν θεῶν. [20]

O 1 62g

—ὄρος τὸ λεγόμενον Κουζινᾶς, ἔνθα ἡ Νιόβη λελάξευται. ἀντίδοτα· — κατὰ ἀμοιβὴν καὶ ἀντίδοσιν γινόμενα.

O 1 63g —διδούς. τὸν λαμπρὰν τρίαιναν ἔχοντα, τὸν Ποσειδῶνα.

O 1 65g τρωθέντα. — * τάς. — τῇ σῇ ἐπιθυμίᾳ. ἤγουν ἐν τῷ χρυσοῦς ἵππους ἔχοντι αὐτοῦ ἅρματι.

O 1 67g ὑπέρτατον. —τοῦ μεγίστως τιμωμένου παρὰ πάντων· — * γρ. ἐριτίμου. πρός.

O 1 68g —μετενέγκαι. ὅπου.

O 1 69g — * σοῦ· — ὑστέρῳ· πρότερος γὰρ Γανυμήδης Πέλοπος. τὸ δὲ ἔνθα καθ' ὑπέρβατον πρὸς τὸ ἦλθε ν . ὃν ἀετὸς ὁ Ζεὺς γεγονὼς ἐκ Φρυγίας ἥρπασεν.

O 1 71 Germ. Ζηνὶ τωὔ τ ' ἐπὶ χρέο ς ] ἐπὶ τοιοῦτο, ἤγουν ἐπὶ τοιαύτην χρείαν, οἷον διὰ τὴν αὐτὴν χρείαν καὶ ἐπιθυμίαν. τὸ δὲ υ ἀνεκφώνητον μετὰ τοῦ ω μεγάλου. ἐπὶ τὸ αὐτὸ χρέος· ἐπὶ συνουσίαν γὰρ καὶ αὐτὸς ὑπὸ τοῦ Διὸς ἡρπάγη τρωθέντος τῷ αὐτοῦ ἔρωτι.

O 1 72g * ἀφανής. — * ὑπῆρχες. * τῇ Εὐρυανάσσῃ· — τῇ Εὐρυανάσσῃ τοὔνομα.

O 1 73g —κατὰ πολύ. ἐψιθύρισε.

O 1 75g —κρυφίως· — κρυφίως· Δωρικῶς περισπᾶται. ** τῶν φθονούντων τὰ τοῦ πλησίου καλά.

O 1 77g ** καί. * βράζουσαν.

O 1 78g —σφοδρότητα. κατέκοψαν οἱ θεοί.

O 1 80 Germ. Δεύτατά τε καὶ ὑστέρως· ἢ τὰ ἔσχατα καὶ τὰ τελευταῖα μέρη τῶν κρεῶν, χεῖρας δηλονότι, πόδας καὶ κεφαλήν· ἢ τὰ βεβρεγμένα καὶ τὰ βεβαμμένα τῷ αἵματι, ἀπὸ τοῦ δεύω τὸ βρέχω. M. Ἀμφὶ δεύτατ α ] ἀπὸ τῆς πρὸ προθέσεως γίνεται συγκριτικὸν μὲν πρότερον, ὑπερθετικὸν δὲ πρῶτον. λέγεται γὰρ τὸ μὲν πρότερον, ὅταν ἓν μόνον ἐπάγηται ἢ πολλὰ ἐν μιᾷ τάξει ἢ ἐν ἑνὶ χρόνῳ. οἷον πρότερος ὅδε τοῦδε καὶ πρότερος ὁ δεῖνα ἡμῶν ἢ τῷ χρόνῳ ἢ τῇ τάξει, ἡμῶν δηλονότι ἐν ἑνὶ χρόνῳ ἢ μιᾷ τάξει ὄντων. τὸ δὲ πρῶτον, ὅταν πολλὰ ᾖ ἐπαγόμενα, ἄλλο ἄλλου πρότερον ἐφεξῆς ἢ κρεῖττον. ἀκολουθεῖ δὴ πρὸς μὲν τὸ πρότερον τὸ δεύτερον μόνον, ἢ πληθυντικῶς τὰ δεύτερα, κατὰ τὸν εἰρημένον λόγον· πρὸς δὲ τὸ πρῶτον δεύτερον, τρίτον καὶ ἑξῆς. ἀπὸ δὲ τῆς ὑπὸ προθέσεως γίνεται συγκριτικὸν μὲν ὕστερον, ὑπερθετικὸν δὲ ὕστατον, ὧν τὸ μὲν ἀπαντᾷ πρὸς τὸ πρότερον, τὸ δὲ ὕστατον πρὸς τὸ πρῶτον, ὅταν ἐπὶ χρόνου ταῦτα λαμβάνηται. ἐπὶ γὰρ τάξεως τὸ ἔσχατον ἀπαντᾷ καὶ τὸ δεύτερον, ὃ καὶ ἐπὶ χρόνου λαμβάνεται καὶ ἐπὶ τάξεως. ἔστι δὲ δύο ἐξ ἀνάγκης ὑπερθετικὰ χρονικά, τὸ πρῶτον καὶ τὸ ὕστατον, τὸ μὲν ἐπὶ τῆς ἀρχῆς, τὸ δὲ ἐπὶ τοῦ τέλους, καὶ δύο ὁμοίως τάξεως, τὸ πρῶτον καὶ τὸ ἔσχατον. τῶν δὲ μέσων τούτων μόνον τὸ δεύτερον συγκριτικῶς ἐξ ἀνάγκης προφέρεται. ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων οὐδεμίαν ἔχει χώραν οὔτε τὸ συγκριτικὸν οὔτε τὸ ὑπερθετικόν. ὁ δὲ Πίνδαρος καὶ ὑπερθετικὸν ἀπὸ τοῦ δευτέρου σχηματίζει, τὸ δεύτατον· θέλει δὴ τοῦτο σημαίνειν ταὐτὸν τῷ ὕστατον. ὁ δὲ ἐπὶ σμικρότητος τοῦτο τίθησι. διεδάσαντο γάρ, φησίν, ἀμφὶ δεύτατα, ἤγουν εἰς μικρότατα. τὸ δὲ τρίτατος παρὰ ποιηταῖς οὐχ ὑπερθετικῶς οὕτω σχηματίζεται, ἀλλ' ὡς τὸ ὀγδόατος παρ' αὐτοῖς καὶ ἑβδόματος· ἃ κατ' ἀκολουθίαν λέγεται τοῦ τέταρτος καὶ δέκατος καὶ πεντεκαιδέκατος καὶ τῶν ὁμοίων. τὰ περιβεβρεγμένα τῷ ἐντὸς τοῦ λέβητος ὕδατι ζέοντι, ἐν ᾧ ἥψοντο. [30]

O 1 81g διεμέρισαν πρὸς ἀλλήλους· — ** σοῦ. M.

O 1 58-81 Υἱὲ Ταντάλο υ ] ὦ Πέλοψ, υἱὲ τοῦ Ταντάλου, τὰ περὶ σοῦ δὲ ἐγὼ ἐναντίως τῶν προτέρων ἐρῶ ποιητῶν, ὁπότε (60) ἐκάλεσεν ὁ σὸς πατὴρ τοὺς θεοὺς εἰς τὴν προσφιλῆ αὐτοῖς Σίπυλον, δι' αὐτὸν καὶ τὸν εὐσεβέστατον ἔρανον, ἤγουν τὴν ἀμοιβαίαν δεξίωσιν, λέγω δεῖπνα διδοὺς αὐτοῖς ἀμοιβὴν ἔχοντα τῶν δείπνων, ὧν αὐτοὶ ἔδωκαν αὐτῷ· τότε (64) λέγω ἁρπάσαι σε τὸν Ποσειδῶνα, τὸν τῇ λαμπρᾷ τριαίνῃ χρώμενον, μαλαχθέντα τὸν λογισμὸν ὑπὸ ἔρωτος, ἐπὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἵππων χρυσῶν, ἀντὶ τοῦ ἐν ἅρματι χρυσῷ, ὥστε μεταβιβάσαι πρὸς τὸ ἔξοχον οἴκημα τοῦ Διὸς τοῦ πάνυ τιμίου· ὑστέρῳ χρόνῳ ἔνθα ἀπῆλθεν (70) ἀντὶ τοῦ ἀπηνέχθη καὶ ὁ Γανυμήδης, πρότερον δηλονότι, ἐπὶ χρείαν τοῦ Διὸς τὴν αὐτὴν τῇ τοῦ Ποσειδῶνος. ἐπεὶ δὲ ἀφανὴς ὑπῆρχες οὐδὲ πρὸς τὴν μητέρα τὴν σὴν ἤγαγόν σε οἱ πεμφθέντες ὑπ’ αὐτῆς ἄνδρες ἐπὶ σὴν ζήτησιν, πολλὰ μαιόμενοι, ἤγουν ζητοῦντες, εἶπέ τις (75) αὐτίκα ἀπὸ τῶν φθονερῶν γειτόνων κρυφίως, ὅτι τε ἐπὶ τὴν ἀκμὴν τοῦ ὕδατος τὴν ζέουσαν ὑπὸ πυρός, μαχαίρᾳ ταμόντες σε κατὰ μέλη οἱ περὶ τὸν Τάνταλον ἐμβεβλήκασι καὶ ἐν τῇ τραπέζῃ οἱ θεοὶ διεμερίσαντο εἰς μικρότατα καὶ ἔφαγον ἀπὸ τῶν κρεῶν τῶν σῶν. ἀμήχανον, ἀβούλητον.

O 1 82g — * φάγον. ** τῶν θεῶν.

O 1 84g τοῦ τοιαῦτα λέγειν. — ** οὐδεμία ὠφέλεια, ἀλλὰ μᾶλλον βλάβη. —ἔλαχεν, ἐκληρώσατο. Th.

O 1 85 Κακηγόρο ς ] ἀντὶ τοῦ κακηγόρους ἐκβολῇ τοῦ υ Δωρικῶς ὡς τὸ ἐπιτηδές (Hom. Il. A 141). Tr. Κακηγόρω ς ] Δωρικὴ ἡ ἀνάγνωσις· ἀεὶ γὰρ ἡ αἰτιατικὴ παρ’ αὐτοῖς διὰ τοῦ ω μεγάλου ἐκφέρεται· τὼς λύκως γὰρ ὁ Θεόκριτος λέγει (IV. 11). οὐ χρὴ τοίνυν μικρὸν γράφειν τὸ ρο ς , ὥς τισιν ἔδοξε· μακρὰ γὰρ ἡ τοιαύτη συλλαβὴ ὀφείλει εἶναι. Tr. Κακηγόρω ς ] τοῦτο λέγει ὅτι ὁ κακηγορῶν οὐδὲν ἄλλο κερδαίνει πλὴν τοῦ κακὸς εἶναι. * συχνή· ἤγουν ὁ κατηγορῶν οὐδὲν ἄλλο κερδαίνει πλὴν τὸ κακὸς εἶναι.

O 1 85g — ** συχνῶς. — ** ἤτοι τοὺς κατηγοροῦντας εἰς τοὺς θεούς. οἱ ἐπιτηρηταὶ θεοί.

O 1 87 Th. Τὸ οὗτος ἢ πρὸς τὸ Τάνταλος νόει ἢ πρὸς τὸ τιμηθέντα παρὰ θεῶν οὕτως· εἰ δέ τινα τῶν ἀνθρώπων οἱ θεοὶ ἐτίμησαν, οὐκ ἄλλος ἦν ὁ τιμηθεὶς ἢ ὁ Τάνταλος οὗτος. ἢ οὕτως· εἰ δέ τινα τῶν ἀνθρώπων οἱ θεοὶ ἐτίμησαν, ὁ Τάνταλος ἦν οὗτος, ἤτοι ὁ τιμηθείς. Germ. Καταπέψαι ἀντὶ τοῦ παρακατασχεῖν, καταχωνεῦσαι. τῇ γὰρ πέψει δύο τινὰ παρέπεται, ἡ κρύψις καὶ ἡ κατάσχεσις. μέγαν δὲ ὄλβον τὴν εὐδαιμονίαν καὶ τὴν τιμήν. ** ὁ Τάνταλος ἦν οὗτος ὁ τιμηθείς.

O 1 87g —κατασχεῖν· * οἱ γὰρ πέττοντες τὴν τροφὴν καὶ οὐκ ἐμοῦντες κατέχουσι ταύτην ἐντός. ὄλβον δὲ λέγει τὴν παρὰ τῶν θεῶν δεδομένην αὐτῷ τιμήν.

O 1 89 Germ. Ὥσπερ ὁ κόρῳ ἐσθίων δέεται ὑγιοῦς στομάχου, οὕτω καὶ ὁ κόρῳ τὴν εὐδαιμονίαν λαβὼν δέεται νοὸς ἀνδρείου. πλησμονῇ τῆς τιμῆς.

O 1 90 M. Ἄταν ὑπέροπλο ν ] ὑπέροπλός ἐστιν ἰσχὺς ἡ νικῶσα τὰ ὅπλα, ἤγουν πρὸς ἣν οὐ δύναται ἀντισχεῖν τὰ ὅπλα. ἐνταῦθα δὲ ὑπέροπλον λέγει βλάβην μεταφορικῶς τὴν ὑπερβολικὴν καὶ ἀμήχανον. βλάβην.

O 1 90g —μεγάλην. Th.

O 1 91 Ἐπειδὴ ὁ λίθος ἦν ἡ ἄτη, διὰ τοῦτο τὰν εἰπὼν ἐπήγαγε τὸ λίθο ς . ἄλλοι δὲ ἄλλως περὶ τῆς Ταντάλου κολάσεώς φασιν. οἱ μὲν γὰρ ἐπικεῖσθαι αὐτῷ τὸ Σίπυλον· Ζεὺς γὰρ ἀποστείλας Ἑρμῆν πρὸς αὐτόν, ἵνα τὸν κύνα λάβῃ, ὃν Πανδάρεως ὁ Μιλήσιος φύλακα καταστάντα τοῦ ἱεροῦ τῆς Κρήτης παρὰ Διὸς κεκλοφὼς ἤγαγεν αὐτῷ ἵνα φυλάσσῃ· ἐλθόντος οὖν Ἑρμοῦ πρὸς αὐτὸν καὶ μὴ λαβόντος τὸν κύνα· ἔφασκε γὰρ μὴ ἔχειν· ὀργισθεὶς ὁ Ζεὺς ἐπέθηκεν αὐτῷ τὸ Σίπυλον. οἱ δὲ λέγουσι, διὰ τὸ ἐξειπεῖν αὐτὸν τὰ τῶν θεῶν μυστήρια τοῖς ἀνθρώποις ἐν ᾅδου κολάζεσθαι, μέσον ἑστῶτα λίμνης μέχρι τοῦ πώγωνος· ἧς ὁπότε πιεῖν ἤθελε, τὸ ὕδωρ ἐξίστατο. μαρτυρεῖ δὲ καὶ Ὅμηρος λέγων (Od. λ 582)· Ἑσταῶτ’ ἐν λίμνῃ· ἡ δὲ προσέπλαζε γενείῳ· Στάτο δὲ διψάων, πιεῖν δ’ οὐκ εἶχεν ἑλέσθαι. ἑστὼς δὲ ἐν τῇ λίμνῃ καὶ λίθον ὑπὲρ κεφαλῆς εἶχεν αἰωρούμενον. Εὐριπίδης δὲ λέγει (Orest. 2) μέσον ἀέρος αὐτὸν τὸν Τάνταλον ἀοράτως κρέμασθαι καὶ λίθον ὑπὲρ τῆς αὐτοῦ κεφαλῆς αἰωρεῖσθαι. ἀσφαλέστερος δὲ πάντων Ὅμηρος. καὶ μαρτυρεῖ ἡ παροιμία· Ταντάλου δίψα. δέον δὲ εἰπεῖν τοῦτ ο , λέγω δὴ τὸ τὸν ὑπὲρ κεφαλῆς λίθον πειρᾶσθαι φυγεῖν καὶ μὴ δύνασθαι· ὁ δὲ τοῦτον εἶπε, πρὸς τὸ βίο ν . τὸ δὲ ἐμπεδόμοχθον ἢ

πρὸς τὸ βίον συναπτέον ἢ πρὸς τὸ πόνο ν . φασὶ δὲ ἕτεροι τὸ μετὰ τριῶν, ἀντὶ τοῦ μετὰ Ἰξίονος, Σισύφου καὶ Τιτυοῦ. καὶ οὗτοι γὰρ ἐν ᾅδου κολάζονται, Ἰξίων μὲν ἐν τροχῷ περιφερόμενος διὰ τὸ ἐρασθῆναι τῆς Ἥρας καὶ πρὸς νεφέλην παρεικασθείσῃ προσδραμεῖν καὶ μιγῆναι, ὅθεν καὶ Ἱπποκένταυρος γέγονε· Σίσυφος δὲ πέτρον μέγιστον εἰς ἀνάντη τόπον βίᾳ κομίζων καὶ ὁπότε εἰς ἄκρον ἔλθῃ τοῦ τόπου, ἀπολισθαίνοντα τὸν λίθον αὖθις ἀνάγων, καὶ τοῦτο πάσχων διὰ τὴν ἀπάτην, ἣν ἠπάτησε Πλούτωνα· ὁπότε γὰρ τέθνηκε, παρήγγειλε τῇ γυναικὶ μὴ θάψαι αὐτόν· τῆς δὲ οὕτω πεποιηκυίας κατελθὼν αὐτὸς κατηγόρει πρὸς Πλούτωνα ὡς ἀμελησάσης αὐτοῦ καὶ αὐτὸν αἰτήσας ἀνελθεῖν καὶ κολάσαι αὐτήν, ἐπεὶ ἀνῆλθε, μὴ βουλόμενος αὖθις εἰς ᾅδου παραγενέσθαι, ὑφ' Ἑρμοῦ καταχθεὶς ἄκων οὕτω κεκόλασται· Τιτυοῦ δὲ ὡς κατὰ θεῶν μανέντος ὄφεις τὰ σπλάγχνα αὐτοῦ ὑπτίου κειμένου κατεσθίουσιν ἀνακαινιζόμενα ἀεὶ κατὰ τὸ Προμηθέως ἧπαρ. ** βλάβην.

O 1 91g —ἤγουν ὁ Ζεύς. —ὑπεράνω. * μέγαν.

O 1 93g λίθον. — * προθυμούμενος ὁ Τάνταλος. —ἀποῤῥίψαι. M.

O 1 82-94 Ἐμοὶ δ ' ἄπορ α ] ἀντὶ τοῦ ἄπορον, τουτέστιν ὑπ' οὐδενὸς λογισμοῦ ἐνδεδομένον, εἰπεῖν τινα ἀπὸ τῶν θεῶν μάργον τὴν γαστέρα, ἤγουν μαινόμενον, τουτέστιν ἀκρατῆ τῆς γαστρός. ἀφίσταμαι (84) τούτου τοῦ σκοποῦ. βλάβη ἐκληρώσατο κατὰ πολὺ τοὺς κακηγόρους, τουτέστι τοὺς βλασφημοῦντας εἰς τοὺς θεούς, ἤγουν βλάβην κληρονομοῦσιν οἱ βλασφημοῦντες εἰς τοὺς θεούς. ἐὰν δὲ (85) ἐτίμησάν τινα ἄνθρωπον θνητὸν οἱ ἔφοροι τοῦ οὐρανοῦ, τουτέστιν οἱ θεοί, ὁ Τάνταλος ἦν οὗτος· ἀλλ' οὐκ ἠδυνήθη καταπέψαι τὴν μεγάλην ταύτην εὐδαιμονίαν, ἀντὶ τοῦ διοικῆσαι ἐπ' ὠφελείᾳ ἑαυτοῦ· ἀπὸ μεταφορᾶς τῶν ἐν τῷ στομάχῳ σιτίων, ἃ πεφθέντα μὲν ὀνίνησι τοὺς μεταλαμβάνοντας αὐτῶν, ἄπεπτα δὲ μείναντα τοῦ στομάχου μὴ δυνηθέντος κατεργάσασθαι αὐτὰ βλάβην οἶδεν ἐπάγειν. ὑπὸ τοῦ κόρου δέ (89), ἀντὶ τοῦ τοῦ ὄγκου τῆς τιμῆς ἔλαβε βλάβην ὑπερβολικὴν ἁμαρτὼν εἰς τοὺς θεούς· δι' ἣν ὁ πατὴρ αὐτοῦ ὁ Ζεὺς ὑπερκρέμασέν οἱ, αὐτῷ, τουτέστι κατ' αὐτοῦ, λίθον ἰσχυρόν, ἀντὶ τοῦ μέγαν· ὃν (93) ἀεὶ προθυμούμενος ἀπώσασθαι τῆς κεφαλῆς πόῤῥω ἡδονῆς στρέφεται, μὴ δυνάμενος δηλονότι ἀπαλλαγῆναι αὐτοῦ. χαρᾶς.

O 1 94g —ἐξίσταται καὶ πικρίᾳ σύνεστι. εἰς ὃν οὐκ ἔστι μηχανὴν ἀπαλλαγῆς εὑρεῖν.

O 1 96g κεκρατημένον μόχθῳ καὶ λύπῃ. * τοῦ πεινῆν, διψῆν, ἑστάναι.

O 1 99g τοῖς ὁμοτρόποις ἀνθρώποις· — ** τῷ Σισύφῳ, τῷ Τιτυῷ καὶ τῷ Ἰξίονι. ** πόμα θεῖον.

O 1 100g — ** τροφὴν θεῶν. τῷ νέκταρι καὶ τῇ ἀμβροσίᾳ· — δι' ὧν, ἤγουν τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας.

O 1 102g * οἱ θεοί· — ἐποίησαν, αὐτὸν δηλονότι. Germ.

O 1 104 Ἁμαρτάνε ι ] ἀντὶ τοῦ ἁμαρτάνει καὶ πράττει κακῶς. ὅταν καὶ γὰρ ἁμαρτάνῃ τις, κυριεύεται ὑπ' ἐκείνου τοῦ πάθους ἡ λογιστικὴ γνῶσις, καὶ ὡς ἄνους ἄτοπα καὶ μωρὰ πράττων ἁμαρτάνει. * πράττων τι κακόν.

O 1 104g —ἀστοχεῖ, σφάλλει. M.

O 1 95-104 Ἔχει δὲ βίον τοῦτον τὸ ὑπὸ τῷ λίθῳ ἀπάλαμον, ἤγουν ἀμήχανον, πρὸς ὃν οὐκ ἔστι τι μηχανήσασθαι ἐμπεδόμοχθον, τουτέστιν ἰσχυρὰν κάκωσιν ἔχοντα, πόνον τέταρτον μετὰ τριῶν ἄλλων, ἤγουν τοῦ πεινῆν, τοῦ διψῆν, τοῦ ἑστάναι· διότι (98) κλέψας τὸ νέκταρ καὶ τὴν ἀμβροσίαν τῶν θεῶν ἡλικιώταις αὐτοῦ καὶ συμπόταις ἔδωκε, δι' ὧν ἀθάνατον αὐτοὶ τοῦτον ἐποίησαν. εἰ δ' ἀνήρ τις (102) ἐλπίζει θεὸν λήσειν πράττων τι, ἀποτυγχάνει τοῦ πρέποντος λογισμοῦ. διὰ τοῦτο, λέγω τὸ μεταδοῦναι ἀνθρώποις τῆς ἀμβροσίας καὶ τοῦ νέκταρος καὶ ἐξειπεῖν τὰ θεῖα μυστήρια.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 1 105g — προῆκαν πάλιν ἀντὶ τοῦ ἐπανέστρεψαν· — ** κατήγαγον ἐκ τοῦ οὐρανοῦ. — * τὸν Πέλοπα. ** οἱ θεοί.

O 1 106g — ** αὐτῷ. * εἰς.

O 1 107g —τὸ ταχυθάνατον. ** πάλιν.

O 1 109 Germ. Εὐάνθεμο ν ] τὴν ἀνθηρὰν κατὰ τὴν διάπλασιν τοῦ σώματος ἢ πρὸς τὴν εὐθεσίαν. καὶ τὸ μελανθησόμενον (οὔπω γὰρ ἦν μέλαν) πρὸς τὴν συνθεσίαν τῶν μελῶν. ἀνθηράν· — εὐανθῆ, θαλεράν.

O 1 109g —ἡλικίαν. Th.

O 1 110 Τὸ νὶν καὶ τὸ γένειον ὅλον καὶ μέρος. τὸ μὲν νὶν ὅλον, τὸ δὲ γένειον μέρος· ὥσπερ ἐστὶ καὶ τό· Ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων (Il. Δ 350). — Tr. Ἔρεφον δὲ ἀντὶ τοῦ ἐστεφάνουν. ὥσπερ γὰρ ὁ στέφανος κύκλῳ τῆς κεφαλῆς ἐστιν, οὕτω καὶ αἱ τοῦ πώγωνος τρίχες κύκλῳ εἰσίν. ἤγουν ὅτε εἰς τοιαύτην ἡλικίαν ἦλθεν ὡς ἐξανθῆσαι γένειον.

O 1 110g —τρίχες. —αὐτόν. —πώγωνα. —ἐστεφάνουν. Germ.

O 1 111 Ἑτοῖμο ν ] παρὰ τῶν Μοιρῶν αὐτῷ, ἢ τὸν πᾶσι τοῖς θέλουσι προκείμενον. πρόχειρον· — ** τοιοῦτος γὰρ ἦν ὁ τῆς Ἱπποδαμείας γάμος ἐν κοινῷ προκείμενος ἤτοι προτεθειμένος τῷ βουλομένῳ.

O 1 111g — * ἐμελέτησε. τοῦ Οἰνομάου τοῦ ἐν τῇ Πίσῃ κατοικοῦντος.

O 1 113g ἀρίστην. Th.

O 1 114 Οἰνόμαος, ὁ πατὴρ Ἱπποδαμείας, ἐρῶν αὐτῆς διὰ τὴν τοῦ κάλλους ὑπερβολὴν καὶ οὐκ ἐθέλων ἐκδοῦναι ταύτην εἰς γυναῖκά τινι, προὐκαλεῖτο πάντας εἰς ἅμιλλαν δρόμου τοὺς θέλοντας αὐτὴν ἐγγυήσασθαι, θαῤῥῶν τῷ αὐτοῦ ἅρματι ταχυτάτῳ ὄντι καὶ μηδένα οἰόμενος ὑπερβαλέσθαι ἂν αὐτὸ δυνηθῆναι. οὕτω δὲ ἐποίει τὴν ἅμιλλαν. τῷ μὲν μνηστῆρι ἐδίδου τὴν Ἱπποδάμειαν ἐν τῷ αὐτοῦ ἅρματι φέρειν καὶ προηγεῖσθαι τοῦ δρόμου, αὐτὸς δὲ ὄπισθεν ἰὼν καὶ τῇ χειρὶ φέρων ἔγχος, ὁπότε ἔμελλε τὸν μνηστῆρα παρελθεῖν ἔβαλλέ τε τῷ ἔγχει καὶ ἀνῄρει. τρεῖς οὖν πρὸς τοῖς δέκα ὀλωλεκὼς ἡττήθη ὑπὸ Πέλοπος. ὁ γὰρ ἡνίοχος αὐτοῦ τοῦ Οἰνομάου Μυρτίλος ἐφθάρη χρήμασιν ὑπὸ Πέλοπος, ἵνα περὶ τὰς χοινικίδας τοῦ ἅρματος πανουργεύσῃ τι καὶ τὸν Οἰνόμαον ἐντεῦθεν ἡττηθῆναι παρασκευάσῃ· οὗ γενομένου Πέλοψ Ἱπποδάμειαν ἔσχε. τῶν δὲ ἀνῃρημένων τὰ ὀνόματά εἰσι ταῦτα· Μέρμνης, Ἱππόθοος, Πέλοψ Ὀπούντιος, Ἀκαρνάν, Εὐρύμαχος, Εὐρύλοχος, Αὐτομέδων, Λάσιος, Χάλκων, Τρικόρωνος, Ἀλκάθους ὁ Παρθάωνος, Ἀριστόμαχος, Κρόκαλος· ὧν ταῖς κεφαλαῖς ἔμελλε ναὸν ἀνεγερεῖν τῷ Ἄρει. λαβεῖν.

O 1 114g —ἄγχι δ’ ἐλθών] ** οὕτω γράφε διὰ τὸ μέτρον. Th.

O 1 115 Τὸ πολιᾶς ἁλὸς ἢ ἀντὶ τοῦ γεραιᾶς νόει, διὰ τὸ εἶναι προγενέστερον τὸ ὕδωρ τῶν ἄλλων στοιχείων, ὡς ἔφαμεν· ἢ ἀντὶ τοῦ λευκῆς· λευκαίνεται γὰρ τῇ τῶν κυμάτων περιφορᾷ καὶ δινήσει. M. Ὄρφνη ἡ νὺξ βαρυτόνως· ὀρφνὴ δὲ νὺξ ἀντὶ τοῦ σκοτεινὴ ἐπιθετικῶς, ὀξύνεται. ** μόνος.

O 1 115g — ** ἐν νυκτί. M.

O 1 116 Βαρύκτυπο ς ] ὁ βαρεῖς κτύπους ἐργαζόμενος. βαρὺ ἐπὶ ὄγκου, ᾧ ἐναντίον τὸ κοῦφον· λέγεται τὸ βαρὺ καὶ ἐπὶ φωνῆς καὶ ἔχει ἐναντίον τὸ ὀξύ. ἐνταῦθα ἐπὶ φωνῆς λέγεται τὸ βαρὺ ἐν τῇ συνθήκῃ τοῦ βαρυκτύπου. κτύπος δέ ἐστιν ὁ συγκρούσεως ἦχος. ἐπεβοᾶτο.

O 1 116g —τὸν Ποσειδῶνα δηλονότι. —μεγαλόκτυπον. * τρίαιναν ἀπὸ τοῦ τρία καὶ τοῦ αἰνόν, τὸ χαλεπόν.

O 1 117g

Eulogikon public reading copy · View original HTML at eulogikon.org

— * μεγάλην τρίαιναν ἔχοντα Ποσειδῶνα· — ** τὸν μεγάλην τρίαιναν ἔχοντα Ποσειδῶνα· τρίαινα δὲ ἀπὸ τοῦ τρία καὶ τοῦ αἰνόν, τὸ χαλεπόν. — ** ὁ Ποσειδῶν. —τῷ Πέλοπι. Th.

O 1 118 Τὸ σχεδὸν ὥσπερ ἑρμηνεία ἐστὶ τοῦ πὰρ ποδ ί . τὸ γὰρ παρὰ ποδὶ στῆναι πλησίον ἐστὶ στῆναι. ** παρά.

O 1 118g —πλησίον. — ** πλησίον ἐφάνη. ** τῷ γράφε διὰ τὸ μέτρον.

O 1 119 —τῷ Ποσειδῶνι. — * ὁ Πέλοψ. τῆς Ἀφροδίτης τῆς ἐμῆς.

O 1 120g — ** κατά τι. * ὦ· — ** ὦ Πόσειδον.

O 1 121g — ** σοὶ δηλονότι. * ὑπάρχει σοι· — ** ὑπάρχει.

O 1 122g —ἄμβλυνον, ἐξασθένησον. ** τὸ σιδηροῦν.

O 1 125g πορευθῆναι ποίησον. * πόλις Πελοποννήσου· — πόλιν Πελοποννήσου.

O 1 126g —νίκῃ. — πλησίασον ἐμέ· — ἕνωσον ἐμέ, ἀπὸ κοινοῦ. ἤτοι τρεῖς πρὸς τοῖς δέκα.

O 1 128 Tr. Οἱ μνηστῆρας γράφοντες οὐκ ἴσασι τὰ περὶ μέτρων. χρὴ τοίνυν ἐρῶντας γράφειν, ἵν’ οἰκεῖον ᾖ τὸ κῶλον τῷ τῆς στροφῆς. ἀπαξιοῖ καὶ ἀπολέγει.

O 1 105-129 M. Τοὔνεκα προῆκα ν ] διὰ τοῦτο ἐπανέστρεψαν τὸν υἱὸν αὐτοῦ οἱ θεοὶ ἐπὶ τὸ γένος αὖθις τῶν ἀνθρώπων, τὸ ἐπ’ ὀλίγον ἐν τῇ ζωῇ διαρκοῦν. ὅτε δὲ (109) πρὸς θαλερὰν ἀναδρομὴν σώματος τριχώσεις αὐτὸν σκέπουσαι ἐποίουν αὐτῷ δηλονότι μέλαν γένειον, γάμον ἀναπολήσας κατὰ νοῦν ἐζήτησε προτεθειμένον, τῷ βουλομένῳ λέγω, σχεθέμεν, ἤγουν σχεῖν, λαβεῖν, τὴν ἀγαθὸν κλέος ἔχουσαν Ἱπποδάμειαν, παρὰ τοῦ πατρὸς αὐτῆς τοῦ Οἰνομάου, τοῦ βασιλεύοντος ἐν τῇ Πίσῃ. πλησίον δ’ ἐλθὼν (114) τῆς λευκῆς θαλάσσης μόνος ἐν νυκτὶ ἐκάλει τὸν Ποσειδῶνα τὸν βαρύκτυπον, τὸν τῇ καλῇ τριαίνῃ χρώμενον. ὁ δὲ εὐθέως (117) παρὰ τοῖς ποσὶν αὐτοῦ ἐφάνη. τούτῳ μὲν εἶπεν ὁ Πέλοψ (119)· ἄγε, ὦ Πόσειδον, ἐὰν κατά τι εἰς χάριν σοι ὦσιν, ἤγουν κεχαρισμένα, ἀρεστὰ ὦσι τὰ προσφιλῆ δῶρα τῆς Ἀφροδίτης· τοῦτο δὲ ἴσως ὡς ἐρώμενος αὐτοῦ λέγει· κατάσχες (122), ἀνενέργητον ποίησον τὸ ἔγχος τὸ Οἰνομάου τὸ σιδηροῦν, ᾧ τοὺς μνηστῆρας συμποδίζων ἀναιρεῖ· ἐμὲ δὲ (124) ἐπὶ ταχυτάτου ἅρματος παράπεμψον εἰς τὴν Ἦλιν· τῇ νίκῃ δὲ ἕνωσον, τουτέστι μετ’ ἐμοῦ δὲ τὴν νίκην ποίησον· ἐπεὶ (127) τρεῖς καὶ δέκα ἄνδρας ἀποκτείνας ὁ Οἰνόμαος ἐρῶντας εἰς τὸ ἐπιὸν παραπέμπει τὸν τῆς θυγατρὸς αὐτοῦ γάμον. οἶος οὗτος. [20]

O 1 130g δειλόν. * ἀνθρώποις.

O 1 131g —ἀπαραίτητον ὑπάρχει. M.

O 1 132 Τί κέ τι ς ] τὸ τὶς ἀορίστως λεγόμενον πληθυντικοῦ δύναμιν ἔχει. διὸ πρὸς πληθυντικὸν ἀποδίδοται νῦν. * δέ] γρ.

O 1 132g κεν. —διατί ἄν. — * ποταπόν; ἀκλεές· —ἤγουν ἐντὸς οἴκου· — ** ἐν ἀκινησίᾳ. δαμάζοι· τὰ γὰρ ἑψόμενα κρέα οἱονεὶ τῷ πυρὶ δαμάζεται· — ἤτοι ἑαυτῷ ἐφέλκοι ματαίως.

O 1 134g * ἀμέτοχος. —τῷ Πέλοπι. —ὁ πρὸς Οἰνόμαον. ** ἄεθλος] ἀγών· — ** συνίζησις.

O 1 135g —ὑποτεθήσεται καὶ ἀγωνισθήσεται. —σὺ Δωρικῶς. M.

O 1 136 Πρᾶξιν φίλα ν ] ἀντὶ τοῦ ἀπόβασιν πράξεως προσφιλῆ. πρᾶξις γὰρ ἡ ἐνέργεια καὶ τὸ ἀποτελούμενον ἀπὸ τῆς ἐνεργείας. M.

O 1 129-136 Ὁ μέγας δὲ κίνδυνο ς ] ἀντὶ τοῦ τὸ πρᾶγμα, ἐφ’ ᾧ μέγας ἐστὶ κίνδυνος, οὐ δέχεται ἄνδρα οὐ γενναῖον τὴν ψυχήν, τουτέστι δειλόν. ἐκείνοις δέ, (131) οἷς ἐστιν ἀνάγκη ἀποθανεῖν ὁπωσδήποτε, διατί ἄν τις ἐν ἀφανείᾳ καθήμενος ἀκλεὲς γῆρας ματαίως ἕψοι, τουτέστι τῷ χρόνῳ πεπαίνων ἑαυτῷ ἐφέλκοιτο, πάντων τῶν καλῶν ἀμέτοχος ὤν; ἀλλ’ ἐμοὶ μὲν (134) οὗτος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ ἀγὼν ὑποκείμενος ἔσται εἰς τὸ ἀγωνίσασθαί με αὐτόν· σὺ δ’ ἀπόβασιν πράξεως δίδου προσφιλῆ. λέγω δὴ τὸ αὐτὸν νικῆσαι, ὃ πάντων ἐμοὶ φίλτατον.

O 1 137 Germ. Ἄκραντον γίνεται ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ κραίνω τὸ τελειῶ· τὸ δὲ κραίνω ἀπὸ τοῦ κάρα, ἡ κεφαλή· διότι παντὸς πράγματος τὸ τέλος λέγεται κορυφή. Th. Δέον ἀκράντων ἐπῶν εἰπεῖν, ὁ δὲ πλαγιάσας ἀκράντοις ἔπεσιν εἶπε πρὸς τὸ ἐπί. οὕτως.

O 1 137g — * εἶπεν ὁ Πέλοψ. ἀνηνύτοις· — ἀδυνάτοις.

O 1 138g — οὖν. — λόγοις. Germ.

O 1 139 Ἀγάλλων αὔξων. εὐφυῶς πάνυ καὶ ἁρμονίως συντέθειται τοῦτο τῷ ποιητῇ. ὃν γὰρ τρόπον ὁ λυπούμενος μειοῦται καὶ καταβάλλεται, τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ χαιρόμενος αὔξει καὶ οἱονεὶ θάλλει. διὸ καὶ σοφός τις ἔλεγε· ψυχῆς γὰρ ἀγαλλομένης θάλλει πρόσωπον. τὸν Πέλοπα.

O 1 139g —κοσμῶν καὶ σεμνύνων. —ὁ Ποσειδῶν. * ἰστέον, ὅτι τὸ μὲν ἅρμα Πέλοψ πρῶτος ἔδειξεν ἐκ Ποσειδῶνος λαβών· τὸν δὲ κέλητα Βελλεροφόντης διὰ τὴν πρὸς τὸν Πήγασον ἀνάβασιν.

O 1 141 Germ. Πτεροῖσι ν ] ὥσπερ ἡ θάλασσα τὴν ναῦν ὑπόπτερον κέκτηται (πτερὰ δὲ λέγω τὰ ταύτης ἄρμενα ἢ τὰς κώπας), οὕτω καὶ ὁ ἵππος πτερὰ κέκτηται τὴν ταχύτητα τῶν ποδῶν· ἀρετὴ γὰρ ἵππου τὸ τρέχειν. μηδέποτε πρὸς τὸν δρόμον ὀκλάζοντας.

O 1 142 Th. Τὸ ἕλεν εἰ καὶ πρὸς τὸ παρθένον κατὰ κοινοῦ εἴποις, ἀλλ’ ἐνταῦθα μὲν ἀντὶ τοῦ ἔλαβεν ἐρεῖς, πρὸς δὲ τὸ βίαν ἀντὶ τοῦ ἐκράτησε καὶ ἐνίκησεν. ἐκράτησε.

O 1 142g — * ἰσχύν· ἤγουν τὸν Οἰνόμαον. Ἱπποδάμειαν.

O 1 143 — εἶχεν ἀπὸ κοινοῦ, ἔλαβεν. —ποταπήν; — ** σύνοικον. * ἥτις.

O 1 144g —ἡγεμόνας λαῶν· Ἀτρέα, Θυέστην, Πυτθέα, Ἀλκάθουν, Πλεισθένην, Χρύσιππον. Germ.

O 1 145 Τὸ ἀρεταῖσι μεμαότας ἀντὶ τοῦ ἐπιθυμοῦντας τῆς ἀρετῆς καὶ ταύτης ἀντεχομένους· ἢ προθυμουμένους· ἢ ἐφαπτομένους καὶ χαιρομένους. ταῖς ἀνδρὶ προσηκούσαις.

O 1 145g — * προθυμουμένους· — ** ἤγουν φροντίδα ποιουμένους τῶν ἀρετῶν. Th.

O 1 146 Κατ’ ἐνιαυτὸν πάντες οἱ ἐν τῇ Πελοποννήσῳ ἔφηβοι ἐν τῷ τοῦ Πέλοπος τάφῳ ταῖς μάστιξι ξαινόμενοι ὥσπερ τινὰ σπονδὴν τὸ αὑτῶν αἷμα τούτῳ παρεῖχον. τοῦτο δὲ ἐποίουν δεικνύντες τὴν τοῦ ἥρωος δύναμιν καὶ νομίζοντες μηδὲν ἄλλο πρὸς αὐτὸν εἶναι δίκαιον ἢ τοῦτο τελεῖσθαι. Tr. Βοιωτικὴ φωνὴ τὸ αἱμακουρίαις· οὗτοι γὰρ αἱμακουρίας τὰ τῶν νεκρῶν ἐναγίσματα λέγουσιν. θυσίαις ἐξ αἵματος κούρων.

O 1 147g εἰς κόσμον αὐτοῦ γιγνομέναις. —ἤτοι σύνεστιν. ἤτοι ἐν τῇ Πελοποννήσῳ· ἀπὸ μέρους τὸ πᾶν.

O 1 148g —πεσών, ἤτοι θανών. Th.

O 1 149 Τινές φασι μὴ μνῆμα, ἀλλ’ ἱερὸν εἶναι Πέλοπος καὶ πρὸ τοῦ Διὸς ἐν αὐτῷ τοὺς ἀγωνιζομένους θύειν τοῦ Ἡρακλέους πρῶτον κατὰ τιμὴν τοῦτο πεποιηκότος. ἀμφίπολον δὲ λέγει ἢ τὸν περιπολούμενον διὰ τὸ ἐν μέσῃ εἶναι τῇ πόλει· ἐνταῦθα γὰρ οἱ οἰκισταὶ ἐθάπτοντο· ἢ τὸν περιπολούμενον ὑπὸ τῶν ἀγωνιστῶν· φασὶ γάρ, ὡς ἐν μέσῳ τῷ σταδίῳ ἦν. ** τάφον.

O 1 149g —περιπολούμενον. ἔνθα πολλοὶ ξένοι συνάγονται.

O 1 151g τῷ ἐν Ὀλυμπίᾳ τοῦ Διός. — ἡ δόξα. Germ.

O 1 152 Τὸ τηλόθεν χρονικῶς ἀκουστέον καὶ οὐ τοπικῶς. τὸ δὲ δέδορκεν ἐνέργειαν ἀντ’ ἐνεργείας λαμβάνει, ἀντὶ τοῦ πίπτει. Ὀλυμπιάδων δέ, ἤγουν τῶν Ὀλυμπιακῶν ἀγώνων· ἀπὸ γὰρ τῶν ἀγωνισμάτων καὶ ἀπὸ τῆς νίκης πρῶτος ὁ Πέλοψ ἐνίκησεν Ὀλύμπια. ἄνωθεν καὶ ἐξ ἀρχῆς.

O 1 152g —βλέπει, ἤγουν ἐκλάμπει. ἤτοι τοῦ Ὀλυμπιακοῦ ἀγῶνος· ἐνταῦθα γὰρ ἡμιλλήσατο Πέλοψ πρὸς Οἰνόμαον.

O 1 154g ὅπου. * ἁμιλλᾶται.

O 1 156g ἀκρότητες, μεγέθη. — ** δυνάμεως. * ἐκεῖσε· — ** ἐκεῖ.

O 1 157g — * ἐπίλοιπον. —αὐτοῦ. γλυκεῖαν.

O 1 158 — * ἡσυχίαν, τουτέστι βέλτιστος παρὰ πάντων νομίζεται. εὐδίαν δὲ εἶπεν ἐκ μεταφορᾶς τῶν ἐν θαλάσσῃ χειμαζομένων καὶ πεπαυμένων τοῦ κλύδωνος· — ** ἡσυχίαν. Th.

O 1 159 Τὸ δ ’ ἀεὶ τοῦτο λέγει, ὅτι εἴ τις τὸν τῆς ζωῆς αὐτοῦ χρόνον καθ’ ἑκάστην ἡμέραν παρὰ πάντων τιμᾶται, οὐκ ἔστι τούτου μεῖζον οὐδέν. ὧν ἠγωνίσατο ἀγώνων.

O 1 160g παρ’ ἡμέραν ἑκάστην, ἤτοι διηνεκές. ἐξοχώτατον καὶ εὐδαιμονίας ἀκρότατον.

O 1 162 Th. Ἐμὲ δὲ χρὴ καὶ πρέπει Αἰοληΐδι μολπᾷ καὶ ὕμνῳ στεφανῶσαι ἐκεῖνον τὸν ἐξ Ὀλυμπίας ἐν νόμῳ ἱππείῳ, τουτέστι διότι ἵππῳ ἐνίκησε κατὰ νόμους. νενομισμένον γάρ ἐστι μὴ μόνον τοῖς οἰκείοις ποσὶν ἀγωνίζεσθαι πεζῇ, ἀλλὰ καὶ ἱππικῶς· λέγω δὴ ἐν κέλητι καὶ δίφρῳ καὶ τετρώρῳ. λέγει δὲ διὰ τὸν Ἱέρωνα. τὸ δὲ Αἰοληΐδι ἢ ἀντὶ τοῦ ποικίλῃ· ποικίλοι γὰρ οἱ ἐκ λύρας ὕμνοι· ἢ Θηβαίᾳ· οἱ γὰρ Αἰολεῖς ᾤκησάν ποτε Θήβας· ἢ διότι καὶ ὁ Πίνδαρος ἐξ Αἰολέων κατήγετο, ὥς φασί τινες. τὸν ἐν τῇ Ὀλυμπίᾳ νικῶντα. [5]

O 1 164g ποικίλῃ ἢ Θηβαϊκῇ. Germ.

O 1 165 Τοῦ Γερμανο ῦ . Πέποιθα δὲ μή τινα ποιητὴν ἀπὸ τῶν νῦν ποιητῶν ὑπάρχειν ἀμφότερα ἴδριν τε τῶν καλῶν ἅμα καὶ τὴν δύναμιν κυριώτερον ὡς ἐμέ. ἔξωθεν δὲ προσληπτέον τὸ λοιπὸν πρέπει δαιδαλωσέμεν καὶ ὑμνεῖν τὸν ξένον καὶ φίλον, τὸν Ἱέρωνα δηλονότι. ἐλπίζω, θαῤῥῶ. [5]

O 1 167g ἀγαθῶν. —ἐπιστήμονα. ἀνθρώπων.

O 1 169g —ἐνδόξοις. —κοσμῆσαι, ὑμνῆσαι. ** ἐπαίνων.

O 1 170g —μεθόδοις. ὁ Ἑρμῆς ἢ ὁ ἀγαπῶν σε δαίμων.

O 1 171g —ἐπιτηρητὴς τῆς ἐμῆς τέχνης ἢ σοῦ. * νόει δὲ καὶ τὸ ἐπίτροπος καθολικόν· ὁ θεὸς ὁ ἐπίτροπος πάντων. ** ταῖς σαῖς.

O 1 173g τὸ ὑπὲρ ἐμοῦ ἢ σοῦ βουλεύεσθαι. ** φροντίσιν.

O 1 174g — ἐμὸς ὁ βίος δηλονότι. εἰς τὸ ἑξῆς.

O 1 175g —τῆς νῦν. — ** ἄν. ἐν ᾧ τότε νικήσεις.

O 1 176g —κοσμήσειν σε. * βοηθὸν τῇ σῇ νίκῃ.

O 1 178g μεταχείρησιν. —φανερὸν διὰ τὸ ὑψηλὸν τοῦ τόπου. Th.

O 1 165-179 Τοῦτο καὶ ἐπὶ τοῦ Πινδάρου ὑπὲρ ἑαυτοῦ λέγοντος νοοῦσι, καὶ ἐπὶ τοῦ Ἱέρωνος. καὶ ἐπὶ μὲν τοῦ Ἱέρωνος οὕτω· πέποιθα δὲ καὶ θαῤῥῶ μή τινα ἄλλον ξένον καὶ φίλον ἐμὸν δαιδαλωσέμεν καὶ κοσμῆσαι ἐμὲ ἐν κλυταῖς καὶ ἐνδόξοις πτυχαῖς καὶ περιβολαῖς ἐπαίνων, ἴδριν τε καὶ ἐπιστήμονα καλῶν καὶ ἀγαθῶν ἅμα καὶ ὁμοῦ καὶ κυριώτερον καὶ κρείττονα τῶν νῦν ἀνθρώπων κατὰ δύναμιν σώματός τε καὶ πλούτου, ἀμφότερα· τουτέστιν ἐλπίζω, ὡς οὐδένα ἄλλον ὕμνησα ἐμπειρίαν τε ἀγαθῶν ἔχοντα καὶ κρείττονα τῶν νῦν ἀνθρώπων κατὰ δύναμιν. ἐπὶ δὲ τοῦ Πινδάρου οὕτω· πέποιθα δὲ μή τινα ξένον δαιδαλωσέμεν καὶ κοσμεῖν ἐν κλυταῖς πτυχαῖς ἐπαίνων, ἴδριν τε καὶ ἐπιστήμονα καλῶν, ἅμα καὶ κυριώτερον καὶ κρείττονα τῶν νῦν ἀνθρώπων κατὰ τὴν τοῦ λόγου δύναμιν, ἀμφότερα· τουτέστιν ἐλπίζω ὡς οὐδεὶς τῶν ἀνθρώπων ἐπίσταται οὕτως ἐγκωμιάζειν τοὺς φίλους ὥσπερ ἐγὼ καλλίστους ἐγκωμίων τύπους εἰδὼς καὶ κατὰ τὴν τοῦ λόγου δύναμιν πάντας ὑπερέχων. ἔστι δὲ τὸ καλῶν ἴδριν καὶ τὸ δύναμιν κυριώτερον ἰσοδυναμοῦντα πρὸς τὸ ἀμφότερ α . διὸ καὶ μετ’ ἐκεῖνα τοῦτο λέγω κατὰ τὴν σύνταξιν, εἰ καὶ προηγεῖται κατὰ τὴν φράσιν. ἀγνοοῦντες δὲ πάντες ὄντα ἔξωθεν λαμβάνουσιν. ἔστι δὲ καὶ τὸ θεός πρὸς ἀμφότερον νοούμενον, ὥσπερ καὶ τὸ λίποι · ὁ θεός, ἤτοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁ Ἑρμῆς, ἐὼν καὶ ὑπάρχων ἐπίτροπος τῆς ἐμῆς τέχνης, μήδεται καὶ βουλεύεται τὰ ὑπὲρ ἐμοῦ, ἐν τεαῖς καὶ ἰδίαις μερίμναις, ἔχων τοῦτο τὸ βουλεύεσθαι κῆδος καὶ φροντίδα. καὶ πάλιν· ὁ ἐὼν καὶ ὁ ὑπάρχων ἐπίτροπος σὸς θεὸς ἐν τεαῖς καὶ ἰδίαις μερίμναις μήδεται καὶ βουλεύεται τὰ ὑπὲρ σοῦ. εἰ δὲ μὴ ταχὺ καὶ ταχέως λίποι, ἐμὲ μὲν ὁ Ἑρμῆς, σὲ δὲ ὁ σὸς φροντιστὴς θεός, ἤγουν εἰ μὴ ταχέως τοῦ βίου ἀπέλθωμεν, ἔλπομαι καὶ ἐλπίζω ἔτι καὶ εἰς τὸ ἑξῆς, ἐλθὼν παρὰ τὸν εὐδείελον καὶ φανερὸν Κρόνιον λόφον, ἤτοι παρὰ τὴν Ὀλυμπίαν, κλεΐξειν καὶ ὑμνήσειν σε σὺν ἅρματι θοῷ, εὑρὼν ὁδὸν καὶ μεταχείρησιν λόγων γλυκυτέραν τῆς νῦν ἐπίκουρον καὶ βοηθόν. οὐ γὰρ ἐάσει τὴν σὴν νίκην ὑπὸ λήθης ἀφανισθῆναι. κρεῖττον δέ ἐστιν ὑπὲρ τοῦ Ἱέρωνος μόνου ταῦτα λέγεσθαι. λόφον ἔξωθεν.

O 1 179g —οὖν. —ἰσχυρώτατον· ἤγουν πολλὰ δύναται ἐν ἐμοὶ ἡ Μοῦσα. Germ.

O 1 180 Ἐγὼ μὲν τιμῶμαι ἐν τῷδε τῷ τόπῳ καὶ τῇδε τῇ χώρᾳ, ἄλλοι ποιηταὶ δὲ ἐν ἄλλοις· ὁ δὲ βασιλεὺς ἐν παντὶ τόπῳ τιμᾶται. τὸ δὲ βέλος ἀλκᾷ τρέφει ἀντὶ τοῦ τὴν ἀλκὴν τρέφει καὶ αὔξει. Germ. Ἄλλοι δ ’ ἄλλοισι μεγάλο ι ] ἐν ἄλλοις δὲ τόποις καὶ χώραις ἄλλοι ποιηταὶ τυγχάνουσι μεγάλοι καὶ ἔνδοξοι. ** ἀντὶ τοῦ λόγον.

O 1 180g —δυνάμει. —αὔξει· — ** φυλάττει. —πράγμασι. Tr.

O 1 181 Τὸ δ ’ ἔσχατο ν ] τὸ ἐξοχώτατον, ἤγουν τὸ τῆς δυνάμεως καὶ εὐδαιμονίας ἀκρότατον οἱ βασιλεῖς ἔχουσιν. ** ὡς ἐγώ, εἰς λόγον δηλονότι· τοῦτο γὰρ νοεῖται.

O 1 181g — ἤτοι τὸ μέγιστον τῶν ἄλλων. Germ.

O 1 182 Πόρσιο ν ] μακρότερον καὶ μεῖζον καὶ ὑψηλότερον τῆς βασιλείας. ** μηδαμῶς.

O 1 183g σκόπει. —προσωτέρω, ἤγουν μὴ ζήτει δύναμιν μείζονα· — ** ἤγουν περαιτέρω, τὴν βασιλείαν ἔχων. Germ.

O 1 184 Ἐπίλογος, εὐχὴ δευτέρα. § εἴη σέ τε τοῦτον τὸν χρόνον. οὐχὶ τὸν ἐνεστῶτα δηλοῖ, ἀλλ’ ὅλον τὸν χρόνον τῆς ζωῆς τοῦ Ἱέρωνος. ** εἴθε.

O 1 184g —τὸν τῆς σῆς ζωῆς. ** ἐπὶ μετεώρου σχήματος.

O 1 185g —βαίνειν. τοσοῦτον.

O 1 187 Th. Τὸ σοφίᾳ προφαντὸν οὐχ ὁμολογουμένως λέγει, ἀλλ’ εὔχεται τοῦτο δοκεῖν, καὶ ἔχει τὴν δύναμιν πρὸς τὸ τοσάδ ε . δέον γὰρ οὕτως εἰπεῖν· ἐμὲ δὲ εἴη τοσοῦτον ὁμιλεῖν τοῖς νικηφόροις, τουτέστι τοιούτους τοὺς ὑπὲρ αὐτῶν ὕμνους ποιεῖν, ὡς εἶναι προφαντὸν καὶ ὑπέρτατον πανταχοῦ εἰς τοὺς Ἕλληνας ἐν τῇ σοφίᾳ· δέον οὕτως εἰπεῖν πρὸς μετοχὴν τὸν λόγον ἔτρεψε καὶ ἀντὶ τοῦ εἰπεῖν εἶναι, ὄντα εἶπεν. συνεῖναι δι’ ἐγκωμίων.

O 1 187g — * φανερώτατον καὶ ὑπέρτατον. ** ὄντα.

O 1 188g —πανταχοῦ. M.

O 1 137-188 Ὣς ἔννεπεν ἀντὶ τοῦ εἶπεν οὐδὲ λόγων ἐφήψατο ἀδυνάτων τελεσθῆναι. τὸν μὲν (139) τιμῶν ὁ θεὸς ἔδωκεν ἅρμα χρυσοῦν καὶ ἵππους ὑποπτέρους ἀντὶ τοῦ ταχυτάτους· οὐ γὰρ πτερωτοὶ ἦσαν· ἀκαμάτους ἤγουν οὐ κοπιῶντας. ἕλεν δέ (142), ἀντὶ τοῦ καθεῖλε τὴν ἰσχὺν τοῦ Οἰνομάου, περιφραστικῶς ἀντὶ τοῦ τὸν Οἰνόμαον. ἕλεν, ἤγουν ἔλαβε καὶ τὴν παρθένον τὴν Ἱπποδάμειαν σύνευνον. ἔτεκε δέ (144), ἀντὶ τοῦ ἐγέννησεν υἱοὺς ἕξ, λαῶν ἡγεμόνας, ἀνδραγαθίαις ἐν φροντίδι ὄντας· ἀντιστρόφως ἀντὶ τοῦ οἷς ἀνδραγαθίαι ἦσαν ἐν φροντίδι. νῦν δὲ (146) ἥνωται ἐν περιφανέσιν αἱμακουρίαις, ἤγουν χοαῖς δι’ αἱμάτων, ἃς συνήθως ἐτέλουν τοῖς ἀποθανοῦσι, πεσών (148), τουτέστι ταφεὶς παρὰ τῷ ῥεύματι τοῦ Ἀλφειοῦ, τύμβον ἔχων περιπολεῖσθαι δυνάμενον διὰ τὸ μὴ πλησιάζειν τινί, παρὰ βωμῷ, ἔνθα πλεῖστοι ξένοι ἀθροιζόμενοι ἠγωνίζοντο. τὸ δὲ κλέος (151) τῶν Ὀλυμπιάδων δέδορκεν ἀντὶ τοῦ βλέπεται, περιφανές ἐστιν ἐκ μακροῦ, ἐν τοῖς δρόμοις, οὓς ἔδραμεν ὁ Πέλοψ ἐρίζων τῷ Οἰνομάῳ, ὅπου (154) ταχυτὴς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποδῶν ἁμιλλᾶται καὶ ἀκμαὶ ἰσχύος γενναῖα καὶ ἀνδρικὰ ἐργαζόμεναι. τοῦτο γὰρ τὸ θρασύπονο ι . ὁ δὲ νικῶν (157), ἐν τούτῳ δηλονότι τῷ ἀγῶνι, περὶ τὸν ἐπίλοιπον αὐτοῦ βίον ἔχει εὐδίαν, ἤγουν ἠρεμίαν γλυκεῖαν ἕνεκα βραβείων τούτου τοῦ ἀγῶνος, τουτέστιν ἡσυχάζει μετὰ γλυκύτητος, οὐ ζητῶν βραβεῖα ἑτέρου ἀγῶνος, ἅτε δὴ τῶν μεγίστων τετυχηκώς. ἀεὶ δὲ τὸ ἀγαθὸν (159) τὸ κατὰ τὴν παρεστῶσαν ἡμέραν, ἤγουν τὸ ἐνεστώς, κράτιστον ἔρχεται, ἀντὶ τοῦ δοκεῖ, παντὶ ἀνθρώπῳ. ἐμὲ δὲ (162) χρὴ ἐγκωμιάσαι ἐκεῖνον ὃν ὑπεθέμην δηλονότι, τουτέστι τὸν Ἱέρωνα, κατὰ τὸν νόμον τὸν ἁρμόζοντα τοῖς ἱππικοῖς διὰ μολπῆς, ἤγουν ᾠδῆς, Αἰολίδος, ἤγουν Θηβαϊκῆς ἢ Πινδαρικῆς. πέποιθα δὲ (165) μηδένα ἄλλον φίλον ἀπὸ τῶν νῦν κατὰ τὰ ἀμφότερα καὶ καλῶν ἔμπειρον καὶ κατὰ ἰσχὺν ἐπικρατέστερον, κοσμήσειν στροφαῖς ὕμνων κλυταῖς, τουτέστι μετεώρῳ φωνῇ ᾀδομέναις καὶ ἐξακουομέναις. ὁ θεός (171), ὦ Ἱέρων, ἐπίτροπος ὤν, ἤγουν τὴν φροντίδα ἀναδεδεγμένος τῶν σῶν μεριμνῶν, τουτέστι τῶν περὶ σοῦ, ἃς ἐγὼ δηλονότι φροντίζω περὶ σοῦ βουλεύεται ἔχων ταύτην τὴν φροντίδα. εἰ δὲ μὴ ταχέως λίποι (174), ἔτι ἂν ἐλπίζω δοξάσειν σε σὺν ἅρματι ταχεῖ, δι' οὗ σὺ δηλονότι νικήσεις, ἀπελθὼν διὰ τῶν ἐγκωμίων παρὰ τὸν Κρόνιον λόφον τὸν εὐδείελον, ἤγουν τὸν μετέωρον καὶ καλῶς ἔχοντα τοῦ ἡλίου κατὰ τὰ πρὸς ἑσπέραν καὶ τὰ περὶ δείλην ἑώαν, εὑρὼν βοηθὸν ὁδὸν λόγων γλυκυτέραν. ἐμοὶ (179) μὲν οὖν ἡ Μοῦσα βέλος, ἀντὶ τοῦ λόγον, τρέφει, τουτέστι περιέπει, φυλάττει, κρατερώτατον κατὰ τὴν ἰσχύν· ἐπ' ἄλλοις δὲ πράγμασίν εἰσιν ἄλλοι μεγάλοι· τὸ δὲ μέγιστον τῶν ἄλλων μέγεθος ἐπὶ τοῖς βασιλεῦσίν ἐστιν ηὐξημένον τὴν ἔξοχον αὐτοῦ αὔξησιν. μὴ ἀπόβλεπε (183) πόρσιον, ἤγουν περαιτέρω, τὴν βασιλείαν δηλονότι ἔχων. εἴθε εἴη σέ τε ταύτην τὴν ἐνισταμένην ζωὴν διέρχεσθαι ὑψοῦ, τουτέστιν ἐπὶ μετεώρου σχήματος καὶ κράτος ἁπάντων ἔχοντος, καὶ ἐμὲ τοσσάδε, ἀντὶ τοῦ τοιάδε, ὁμιλεῖν τοῖς νικηφόροις, προφανῆ ὄντα κατὰ σοφίαν πανταχοῦ κατὰ τοὺς Ἕλληνας. Ἐπίνικοι Ὀλυμπιονίκαις.

O 2 t Θήρωνι Ἀκραγαντίνῳ ἅρματι. Ὠιδὴ β′. [Δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῶν τε στροφῶν καὶ ἀντιστροφῶν τοῦ β′ εἴδους. Ἔστι δὲ τὸ ᾆσμα στροφῶν ε′. Παλαιόν. Τοῦ β′ εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ιδ′ Τὸ α′ περιοδικόν, ἤτοι β′ ἴαμβοι καὶ β′ τροχαῖοι.

O 2 prae 1 καλεῖται δὲ περιοδικόν, ὅτι οὐκ ἔστι μέτρου τι εἶδος ἢ ἰαμβικοῦ ἢ τροχαϊκοῦ ἢ ἑτέρου τινός, ἀλλ' ἁπλῶς περίοδος καλεῖται τὸ ὑπεράνω τῶν δ′ συλλαβῶν σύστημα· μέχρι γὰρ δ′ συλλαβῶν γνώριμοι οἱ πόδες, τὸ δὲ πλέον περίοδος. Τὸ β′ Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαίων, διαλελυμένου τοῦ α′ εἰς γ′ βραχείας. Τὸ γ′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, πλὴν ὁ α′ ἀντίσπαστος διαλύεται εἰς β′ βραχείας καὶ μακρὰν α′, καὶ ἡ κατακλεὶς ἰαμβική. ἐμοὶ δὲ δοκεῖ ὡς Ἰωνικόν ἐστι δίμετρον ἀκατάληκτον τῆς α′ μακρᾶς τοῦ Ἰωνικοῦ διαλυθείσης εἰς β′ βραχείας, τοῦ δὲ β′ ποδὸς παίωνος ὄντος β′ ἀντὶ Ἰωνικοῦ, ἔν τισι δὲ καὶ διϊάμβου διὰ τὴν ἀδιάφορον. Τὸ δ′ χοριαμβικὸν δίμετρον καταληκτικὸν ἀπὸ ἰαμβικῆς συζυγίας, ἤτοι τοῦ α′ σπονδείου. Τὸ ε′ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ β′ ποὺς χορεῖος. Τὸ ς′ ἀντίσπαστος καὶ συλλαβή. ἔν τισι δὲ διαλύεται ὁ ἀντίσπαστος κατὰ τὴν β′ μακρὰν καὶ γίνεται πεντασύλλαβος, Τὸ ζ′ Ἰωνικὸν ἀπ' ἐλάσσονος δίμετρον καταληκτικὸν ἀπὸ τροχαίων· τοῖς Ἰωνικοῖς γὰρ οἰκεῖοι οἱ τροχαῖοι. Τὸ η′ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· ὁ β′ δὲ ποὺς διΐαμβός ἐστι πεντασύλλαβος. ἐντεῦθεν δὲ μανθανέτω πᾶς, ὡς καὶ ἐν τοῖς Ἰωνικοῖς εὕρηνται ἴαμβοι, ἀλλ' οὐ μόνον τροχαῖοι. Τὸ θ′ παιωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος δ′ καὶ Κρητικοῦ. Τὸ ι′ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν· τετρασύλλαβοι γὰρ οἱ πόδες. ἡ τελευταία ἀδιάφορος· ἔν τισι μὲν γάρ ἐστιν ὁ β′ ποὺς τρίβραχυς, ἔν τισι δὲ ἀνάπαιστος. Τὸ ια′ ὅμοιον τῷ ς′. Τὸ ιβ′ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον. Τὸ ιγ′ ἰαμβικὸν ἑφθημιμερές· ὁ γ′ ποὺς τρίβραχυς. Τὸ ιδ′ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ γ′ ποὺς τρίβραχυς ἢ ἀνάπαιστος. ἑξῆς δὲ ἐφ' ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος. Περὶ τῶν κώλων τῶν ἐπῳδῶν. Αἱ ἐπῳδοὶ κώλων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

η′. Τὸ α′ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον. ἡ α′ συζυγία ἰαμβικὴ ἐκ σπονδείου· συγγενεῖς γὰρ τῷ χοριάμβῳ οἱ ἴαμβοι. Τὸ β′ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον, ἀρχόμενον ἀπὸ τροχαίων, ὃ μᾶλλον ἐπιχοριαμβικὸν καλεῖται διὰ τὸ τῶν τροχαίων ἀνοίκειον. Τὸ γ′ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἡμιόλιον λέγεται διὰ τὸ ἔχειν τόν τε ὁλόκληρον πόδα καὶ τὸ ἥμισυ τούτου. Τὸ δ′ παιωνικὸν δίμετρον ἀκατάληκτον, ὅμοιον τῷ θ′ τῆς στροφῆς. Τὸ ε′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον· ὁ β′ ποὺς τρίβραχυς. Τὸ ς′ μικτὸν τροχαϊκὸν ἀπὸ ἰαμβικῆς συζυγίας τρίμετρον ἀκατάληκτον· εἰς τὸ Λάϊον (v. 70) συνίζησις. Τὸ ζ′ Ἰωνικὸν δίμετρον ἀκατάληκτον. ἔν τισι δὲ καὶ ἐκ παίωνός ἐστι καὶ διϊάμβου. Τὸ η′ ἰαμβικὸν μικτὸν ἀπὸ τροχαίων τρίμετρον καταληκτικόν. ἐμοὶ δὲ δοκεῖ ἀντισπαστικὸν εἶναι ἐξ ἐπιτρίτου β′ καὶ διϊάμβων. οἰκεῖοι γὰρ οἱ πόδες ἀντισπάστῳ. Ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ τὰ ῥηθέντα σημεῖα. Th. Γέγραπται ὁ ἐπινίκιος Θήρωνι Ἀκραγαντίνῳ ἐν ἅρματι νικήσαντι τὴν οζ′ Ὀλυμπιάδα. ἦν δὲ ὁ Θήρων ἀνέκαθεν ἀπὸ Οἰδίποδος.

O 2 prae 1 ἐξέδευσε δὲ Γέλωνι τῷ τυράννῳ ἐπιδοὺς αὐτῷ τὴν θυγατέρα Δημαρέτην, ἀφ’ ἧς καὶ τὸ Δημαρέτειον προσωνομάσθη νόμισμα. καὶ αὐτὸς δὲ ὁ Θήρων τὴν Πολυζήλου ἀδελφὴν καὶ Ἱέρωνος ἔγημε, καθά φησι Τίμαιος. ἦν δὲ ὁ Θήρων υἱὸς Αἰνησιδάμου. τοῦτον οὖν τὸν Θήρωνα τεθρίππῳ νικήσαντα ὑμνήσομεν. καὶ οὗτος δὲ νοῦς αὐτοῦ. Germ.

O 2 1 Ἀναξιφόρμιγγε ς ] ἀναξιφόρμιγγα τὸν ἀνάσσοντα τῆς φόρμιγγος καὶ τὸν ἀνασσόμενον ὑπ’ αὐτῆς. λέγει δὲ ὁ ποιητὴς πρὸς τοὺς ὕμνους καὶ πρὸς τὰ ποιήματα, πρὸς τὴν ἑαυτοῦ ψυχήν. Th. Ἀναξιφόρμιγγες ὕμνο ι ] οἱ τῆς φόρμιγγος ἀνάσσοντες· πρῶτον γὰρ τὰ ᾄσματα συντίθενται, εἶτα οὕτω καὶ πρὸς αὐτὰ ἡ λύρα ἁρμόζεται· ἢ οἱ ὑπὸ τῆς φόρμιγγος ἀνασσόμενοι· πρῶτον γὰρ ἔκρουον, εἶτα τὰ ᾄσματα ᾖδον, ὥς φησιν Ὅμηρος (Od. α 155)· Ἤτοι ὃ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν. M. Ἀναξιφόρμιγγε ς ] ἤγουν ἄνακτες τῆς φόρμιγγος· ὑπουργὸς γὰρ ἡ φόρμιγξ τῶν ὕμνων καὶ πρὸς αὐτοὺς αὐτὴ ἁρμόζεται. καὶ τοὔνομα δὲ ἐνέργειαν δηλοῖ ἀεὶ καὶ οὐδέποτε πάθος, ὡς τὸ ἀλεξίκακος καὶ παυσίκακος καὶ πλήξιππος, καὶ ἀλεξιάρη παρ’ Ἡσιόδῳ (ἐ κ ἡ 464). οἱ τῆς φόρμιγγος ἀνάσσοντες.

O 2 1g — ** ὦ. M.

O 2 2 Τίνα θεό ν ] θεὸν βουλόμενος καὶ ἥρωα καὶ ἄνθρωπον ὑμνῆσαι, ἵν’ εὐπορίαν σχῇ φανερὰν τὴν ἑαυτοῦ καταστῆσαι γνώμην, ἐν ἐρωτήσει σχηματίζει τὸν λόγον· ποιεῖται δὲ τὴν ἐρώτησιν πρὸς τὴν ἑαυτοῦ Μοῦσαν τὴν συντιθεῖσαν τοὺς ὕμνους· τοὺς ὕμνους γὰρ τίθησιν ἀντὶ τῆς δυνάμεως τῆς συντιθείσης αὐτούς. εἶτα οὐ γυμνὰ ἐπάγει τὰ ὀνόματα τῶν ὑμνηθησομένων, ἀλλὰ μετὰ τῶν αἰτιῶν, δι’ ἃς αὐτοὺς ὑμνεῖν βούλεται, ἵνα καὶ τὸ προσῆκον ἀποδιδοῖτο τοῖς ἐγκωμιαζομένοις. φησὶ γάρ· ὦ ὕμνοι ἄνακτες τῆς φόρμιγγος, τίνα θεὸν μέλλομεν ὑμνήσειν, τίνα ἥρωα, τίνα δὲ ἄνθρωπον; ἡ Πίσα (4) μὲν δή ἐστι τοῦ Διὸς ἱερά, ὥστε δηλονότι ὑμνητέον ἐστὶ θεὸν τὸν Δία· τὴν Ὀλυμπιάδα δέ, ἤγουν τὸν ἀγῶνα τὸν ἐν τῇ Πίσῃ ὁ Ἡρακλῆς ἔστησε, τουτέστι συγκροτεῖσθαι ἐποίησεν, ἀκρόθινα (7) πολέμου, ἀντὶ τοῦ ἐξαίρετον ἀνάθημα ὃ παρέσχεν ὁ πόλεμος, ὃς ἐπολεμήθη δηλονότι αὐτῷ πρὸς Αὐγείαν, ἐπεὶ οὐκ ἐδίδου αὐτῷ ὁ Αὐγείας τὸν συμπεφωνημένον τῆς ἐξαιρέσεως τῆς κόπρου τῶν θρεμμάτων αὐτοῦ μισθόν. πρέπον δὴ οὖν δηλονότι καὶ ἥρωα ὑμνεῖν τὸν Ἡρακλέα. ** ἄνθρωπον.

O 2 3g —ὑμνήσομεν. Germ.

O 2 4 Ἤτοι Πίσα μέ ν ] τὴν μόνην πρότασιν τίθησιν ὁ ποιητὴς καὶ τὴν κατασκευὴν ἐᾷ, πρὸς τὸ ξενίζον ἐναποβλέπων καὶ τὴν κοινὴν ὡς ποιητὴς ἐκφεύγων γραφήν. § Ἡ μὲν Πίσα τοῦ Διός. οἷον ἐν συννοίᾳ γεγονὼς πρὸς ἑαυτὸν λέγει, δι’ ἣν αἰτίαν ὑμνεῖν τὸν θεὸν δεῖ. παρίστησι δὲ μόνας τὰς αἰτίας ἁπλᾶς· ὅθεν συλλογιστέον πᾶς ὁ ἀναγινώσκων· ὁ γὰρ ποιητὴς ἐκφεύγει τὴν συνήθη γραφήν, πρός τι τερατωδέστερον καὶ ξενίζον ἐναποβλέπων. δή.

O 2 4g —ἐνταῦθα γὰρ ὁ Ὀλυμπιακὸς ἀγών, εἰς ὃν ἀνεφέρετο. Th.

O 2 5 Ἡρακλῆς στερηθεὶς τῶν μισθῶν, οὓς ὑπέσχετο αὐτῷ δοῦναι Αὐγείας ὁ τῆς Ἤλιδος βασιλεὺς διὰ τὴν τοῦ κόπρου ἐκφόρησιν, ἐστράτευσε κατ’ αὐτοῦ μετὰ τὸ τετελευτηκέναι τοὺς δώδεκα ἄθλους. καὶ πόλεμον συνάψας καὶ τοῦτον ἀνῃρηκὼς τήν τε πόλιν Ἦλιν λαμβάνει καὶ ἐκ τῶν σκύλων πανήγυριν ἔστησε πρὸς τὸν Δία. ταῦτα δὴ τὰ Ὀλύμπια ἐτελεῖτο οὖν κατὰ πέντε χρόνους. τὸν Ὀλυμπιακὸν ἀγῶνα.

O 2 5g — ** ἀντὶ μιᾶς συλλαβῆς οἱ δύο. Germ.

O 2 7 Ἀκρόθιν α ] ὑπερευχαριστήρια καὶ ἀπάργματα· ἐνταυθοῖ δ’ ἐναντίως διδάσκων, ὡς γινώσκω μέν, ἐπαφῆκα δὲ διὰ τὸ ξενίζον τὴν κατασκευὴν ἐκεῖ. ἀπαρχάς.

O 2 7g —τοῦ πρὸς Αὐγείαν τὸν βασιλέα Ἤλιδος. ἤγουν τῆς νίκης τῆς διὰ τετρώρου ἅρματος γενομένης αὐτῷ.

O 2 9g ** τῆς νίκην φερούσης. Germ.

O 2 10 Τὸ γεγωνητέον ἀντὶ τοῦ ἄξιον ὑμνῆσαι, μεγαλῦναι. εἰς τὸ γεγωνητέον καὶ ὑμνητέον στικτέον. καὶ τὸ ὀπὶ ἀντὶ τοῦ ὅπως καὶ καθά, ἢ τῷ ἐμμελεστάτῳ ᾄσματι. ὑμνητέον ἐν λόγοις.

O 2 10g —φωνῇ. * τόν.

O 2 11g — * ξενοδόχον. στήριγμα· — ** ἑδραίωμα.

O 2 12g —τῆς ἐν Σικελίᾳ πόλεως. Germ.

O 2 13 Εὐωνύμων τε πατέρω ν ] ἐνδόξων· ἐπεὶ ὁ Θήρων ἀπὸ Κάδμου τὸ γένος. ἢ οὕτω. πάνυ ὑπερβαλλόντως ἐπαίρει τὸ ἐγκώμιον ἐνδόξων προγόνω ν , ὅτι κατ’ ἐπίτασιν αὐτὸν ἄνθος λέγει· ἄωτον γάρ ἐστι τὸ ἄνθος καὶ ἀπάνθισμα ἐξαίρετον. εὐγενῶν καὶ ἐνδόξων καὶ παρὰ πάντων εὐφημουμένων.

O 2 14g ἀπάνθισμα, καλλώπισμα. — * τῇ δικαιοσύνῃ τὰς πόλεις ὀρθοῦντα· — ** τὸν ὀρθοῦντα καὶ στηρίζοντα τὰς πόλεις διὰ τῆς δικαιοσύνης. Th.

O 2 15 Φασὶν Αἵμονα τὸν Κάδμου ἔκγονον ἀποκτείναντά τινα ἐμφύλιον ἐκ Θηβῶν Ἀθήναζε παραγεγενῆσθαι, τοὺς δὲ ἀπὸ τούτου πάλιν ἐξ Ἀθηνῶν μεταστάντας Ῥόδον σὺν Ἀργείοις οἰκῆσαι. καὶ μετὰ ταῦτα στάσεως αὐτοῖς ἐνταυθοῖ γενομένης εἰς Σικελίαν ἐλθόντας Ἀκράγαντα κτίσαι, πολλὰ καμόντας περὶ τὴν κτίσιν διὰ τὸ ὑπὸ τῶν ἐκεῖ κωλύεσθαι. ἄρχοντες δὲ τῶν τὴν ἀποικίαν στειλαμένων Ἀντίφημος καὶ Ἔντιμος ἦσαν, ὧν μετὰ ἑβδόμην καὶ εἰκοστὴν γενεὰν Θήρων οὗτος γέγονεν. ἱερὸν δὲ οἴκημα ποταμοῦ λέγει τὴν Σικελίαν, ἐπειδὴ ἐντὸς αὐτῆς ποταμὸς Ἀκράγας ὁμώνυμος τῇ πόλει, ἢ Γέλλας ὁμώνυμος τῇ ἐκεῖ πόλει Γέλλᾳ ῥέει. ἱερὸν δὲ ἢ τὸ μέγα ἢ τὸ ἔχον ἱερά, ἢ ὅτι ἡ ἐν Σικελίᾳ Ἀκράγας Περσεφόνῃ παρὰ Διὸς ἐδόθη εἰς τὰ ἀνακαλυπτήρια. * οἱ πατέρες.

O 2 15g — * τῇ ψυχῇ. μέγα ἢ θεῖον· — διὰ τὸ εἶναι αὐτόθι νεὼν τῆς Ἀθηνᾶς.

O 2 17g * τοῦ Ἀκράγαντος ἢ Γέλλα· — ** τοῦ Ἀκράγαντος. — ** ἦσαν, ὑπῆρχον. ἀσφάλεια, φυλακή, ὥσπερ ὀφθαλμὸς τῷ σώματι.

O 2 19g ** μεμοιρασμένος. εὐφροσύνην· ταύτης γὰρ δεῖ τῷ πλούτῳ.

O 2 20g — ** ἄγων] ἀντὶ μιᾶς. οὐ γὰρ ἐκ πατέρων, ἀλλὰ τοῖς αὐτῶν ἔργοις τιμὴν καὶ πλοῦτον ἐκτήσαντο.

O 2 8-21 Μ. Θήρωνα δ έ ] τὸν Θήρωνα δὲ ἐνδέχεται μέλεσιν ὑμνεῖν· τοῦτο γὰρ τὸ γεγωνητέον ὀπί · ἕνεκα τετραορίας, ἀντὶ τοῦ ἀγῶνος δι’ ἅρματος νικηφόρου· δίκαιον ξένον (11) τουτέστι δίκαιον ὄντα κατὰ τὴν φιλίαν τῶν ξένων· ἔρεισμα, ἤγουν στήριγμα, ἀσφάλειαν τῆς Ἀκράγαντος καὶ εὐκλεῶν πατέρων υἱὸν ἐξαίρετον· ἀπὸ τοῦ Κάδμου γὰρ κατήγετο· ὀρθόπολιν, τουτέστι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνιστᾶν καὶ ἀνορθοῦν πόλεις ἐπιτήδειον. καμόντες οἳ πολλά (15), οἵτινες, οἱ πατέρες αὐτοῦ δηλονότι, πολλὰ κατὰ τὴν ψυχὴν καμόντες, ἤγουν πολλὰ λυπηθέντες, πολλὰ ἀγωνιάσαντες πρότερον ἐν ταῖς ἀπὸ Ῥόδου εἰς Γέλλαν, εἶτα ἐκεῖθεν εἰς Ἀκράγαντα μετοικήσεσιν, ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, ἤγουν τὴν Ἀκράγαντα, ἣν παρὰ τῷ ποταμῷ ἱδρύσαντο τῷ Ἀκράγαντι· τῶν ἐν τῇ Σικελίᾳ τε ἦσαν ὀφθαλμὸς (17), ἀντὶ τοῦ οἱ περιφανέστατοι καὶ ἡγεμονικώτατοι, βίος τε ἐπηκολούθει εὐτυχὴς πλοῦτόν τε καὶ ἐπαγωγὸν δύναμιν ἐπάγων ἀρεταῖς γνησίαις (21), ἤγουν οἰκείαις τῷ γένει αὐτῶν. ἤτοι Κρόνου υἱέ. [15]

O 2 23g ἤγουν ὁ τὸν οὐρανὸν οἰκῶν ἢ διεξάγων. τῶν γὰρ ἄλλων ἀγώνων κορυφὴ τὰ Ὀλύμπια· ἢ ὅτι ἐν τῇ Ὀλυμπίᾳ λόφος ἦν ὁ καλούμενος Κρόνος.

O 2 25g τὴν Πίσσαν· ἐνταῦθα γὰρ οὗτος ἦν. * εὐφρανθείς.

O 2 27g εὐμενής, εὐφραντικός. γῆν δὲ λέγει, ὅσης ὁ Θήρων ἄρχει ἢ οἱ αὐτοῦ πρόγονοι. Germ.

O 2 28 Τὸ κόσμησον ἀντὶ τοῦ καὶ κοσμεῖσθαι ποίησον, ἤτοι ἄρξασθαι ἀπὸ τοῦ νῦν ἐν ἀταραξίᾳ. Th. Ἐπειδὴ τὸ γένος πλῆθός ἐστι, διὰ τοῦτο εἶπε τὸ σφίσι ν . ἔστιν οὖν τὸ μὲν κόμισον πρὸς τὸ λοιπῷ γένε ι , τὸ δὲ πατρίαν πρὸς τὸ σφίσι ν , ἵν’ ᾖ· τὴν πατρικὴν αὐτοῖς γῆν. τῷ λοιπῷ δὲ γένει νόει ἢ τοῖς ἀπογόνοις τοῦ Θήρωνος, ἢ τῷ Θήρωνι καὶ τοῖς περὶ αὐτόν, ὃ καὶ κρεῖττον. δέον δὲ εἰπεῖν εὔφρονα πρὸς τὸ ἄρουρα ν , εὔφρων εἶπε πρὸς τὸ κόμισο ν . λέγει δὲ ὅτι εἰ καὶ οἱ πατέρες τοῦ Θήρωνος πολέμοις καὶ στάσεσιν ἐχρήσαντο, ἀλλ’ εἰρηναίαν τὴν ζωὴν Θήρωνι καὶ τοῖς περὶ αὐτὸν ποίησον. * τὴν πατρικήν. [10]

O 2 28g — ** αὐτοῖς. —ἄγαγε· — ἤτοι πλείονος ἀξίωσον τῆς ἐπιμελείας. Th.

O 2 29 Ὁ Θήρων οὗτος Ἀκραγαντίνων βασιλεύων Γέλωνι τῷ Ἱέρωνος ἀδελφῷ ἐπικηδεύσας γάμῳ συνάπτει τὴν αὐτοῦ θυγατέρα Δημαρέτην. τοῦ δὲ Γέλωνος τελευτήσαντος Πολύζηλος ὁ ἀδελφὸς αὐτοῦ τὴν βασιλείαν καὶ τὴν γαμετὴν αὐτοῦ διαδέχεται. λαμπρῷ δὲ ὄντι αὐτῷ κατὰ τὴν Σικελίαν Ἱέρων ὁ ἀδελφὸς φθονήσας καὶ προφασισάμενος τὸν πρὸς Συβαρίτας πόλεμον, ἐξάγει τῆς νήσου τοῦτον. κατωρθωκότος οὖν καὶ τοῦτον τὸν πόλεμον Πολυζήλου, Ἱέρων οὐκ ἔχων ὅ τι καὶ γένοιτο πρὸς αὐτὸν ἐπειρᾶτο νεωτερίζειν. Θήρων οὖν ὑπεραγανακτήσας θυγατρὸς ἅμα καὶ γαμβροῦ συῤῥάξαι πρὸς Ἱέρωνα ἠβούλετο πόλεμον, ὃν Σιμωνίδης ὁ λυρικὸς καταπαύει διαλλάξας πρὸς ἀλλήλους αὐτούς, ὡς καὶ κηδείαν τινὰ πρὸς ἀλλήλους ποιήσασθαι Ἱέρωνα λαβόντα τὴν Θήρωνος ἀδελφήν. φασὶ δέ τινες τὸ πεπραγμένων ἀντὶ τοῦ συμβάντων τοῖς προγόνοις καμάτων. ἄνω γὰρ εἶπε (v. 15)· Καμόντες οἳ πολλὰ θυμῷ. * τοῖς ἑξῆς ἀπογόνοις τοῦ Θήρωνος ἢ τῷ Θήρωνι· — ** τοῦ Θήρωνος· τοῖς ἑξῆς ἀπογόνοις ἤτοι τῷ Θήρωνι. [15]

O 2 29g — * τοῖς προγόνοις· — τὸν πόλεμον αἰνίττεται τὸν πρὸς Ἱέρωνα. δικαιοσύνῃ.

O 2 30g —ἐκτὸς δικαιοσύνης. ὅμοιον τῷ παρὰ Σοφοκλεῖ (Ai.

O 2 31g 378)· οὐ γὰρ γένοιτ’ ἂν ταῦθ’ ὅπως οὐχ ὧδ’ ἔχειν. οὗτος γὰρ πάντα γεννᾷ καὶ πάντ’ ἀναλίσκει.

O 2 33g παῦσιν καὶ ἀφανισμόν. τούτων.

O 2 34g —τύχῃ. ἀγαθῶν.

O 2 35g —ἡδονῶν ὕστερον ἐπιγενομένων. βλάβης προηγούμενον δυστύχημα.

O 2 36g —παύεται. —ποταπόν; ὀπισθόρμητον καὶ εἰς ἀφανισμὸν ἰόν. τὸ δὲ δαμασθὲν ἀντὶ τοῦ φθαρέν. Th.

O 2 37 Τὸ θεοῦ ἢ πρὸς τὸ ὄλβον οὕτω· τὸν ὄλβον τοῦ θεοῦ, ἤτοι τὴν παρὰ θεῶν ἀνθρώποις εὐδαιμονίαν· ἢ πρὸς τὸ μοῖρα · οἱ γὰρ θεοὶ τοῖς ἀνθρώποις τὴν μοῖραν ἐκπέμπουσιν. ** τότε.

O 2 37g — * ἤγουν ἡ τύχη. — ** εὐτυχία. ἄνω εἰς ὕψος· * μακρὰν γὰρ τὸ ὕψος.

O 2 22-38

Μ. Ἀλλ’ ὦ Ζεῦ ἐν τῷ Κρονίῳ λόφῳ τιμώμενε, παῖ τῆς Ῥέας, ὁ διοικῶν τὸ ἔδαφος τοῦ οὐρανοῦ, περιφραστικῶς, ἤγουν τὸν οὐρανόν, καὶ τὴν κορυφὴν τῶν ἄθλων, τουτέστι καὶ τὰ ἐξαίρετα ἆθλα τὰ ἐν Ὀλυμπίᾳ διδόμενα, καὶ τὸ ῥεῦμα (25) τοῦ Ἀλφειοῦ, ἤγουν τὸν Ἀλφειόν, τερφθεὶς τοῖς παροῦσιν ὕμνοις, εὔφρων, ἀντὶ τοῦ ἀσμένως, ἐπὶ πλέον ἐπιμελείας ἀξίωσον τὴν πατρικὴν αὐτῶν ἄρουραν, ἀντὶ τοῦ τὴν γῆν, χάριν τοῦ ἐπιλοίπου γένους αὐτῶν. τὸ δὲ τέλος τῶν πεπραγμένων ἔργων ἐν δίκῃ τε (30) καὶ παρὰ δίκην, ἤγουν δικαίως, καὶ ἀδίκως, τουτέστι παντὶ τρόπῳ, ἀποίητον, ἤγουν μὴ γεγενημένον, οὐδὲ ὁ χρόνος ὁ πάντων πατὴρ δύναιτο ἂν ποιῆσαι· λήθη δὲ τοῦ πεπραγμένου γένοιτο ἂν σὺν τύχῃ εὐτυχεῖ. ὑπὸ γὰρ (35) τέρψεων ἀγαθῶν βλάβη δαμασθεῖσα θνήσκει, ἀντὶ τοῦ ἀποκρύπτεται, ἐκπίπτει τῆς μνήμης, παλίγκοτος γινομένη δηλονότι, ἤγουν εἰς τοὐπίσω τὴν ἐπιμονὴν τῆς λύπης τοῦ κακοῦ τρέπουσα, ὅταν (37) θεοῦ μοῖρα ἤγουν εὐτυχία, τουτέστιν ὁ θεὸς ὅταν πέμπῃ μεγάλην εἰ δαιμονίαν ἀνεκάς, ἤγουν εἰς παράτασιν χρόνου μακράν. Th.

O 2 39 Ὁμηρικὸς ζῆλος τὸ εὐθρόνοι ς . ἐκεῖνος γὰρ τοιούτοις ἐπιθέτοις κοσμεῖ τὰς γυναῖκας, οἷον Λευκώλενος Ἥρα καὶ Γλαυκῶπις Ἀθάνα καὶ Ἀργυρόπεζα Θέτι ς . * ᾄδεται, ἐπακολουθεῖ.

O 2 39g —φήμη. —καλὸν θρόνον ἐχούσαις. Σεμέλη καὶ Ἰνοῖ, ἃς προϊὼν ἐρεῖ.

O 2 40g — ** ὑπέστησαν. πρὶν κακά.

O 2 41g —δυστυχία προτέρα. Germ.

O 2 42 Πένθος δὲ πιτνε ῖ ] κρύπτεται, ἀφανίζεται, καταφέρεται, καταβάλλεται. * καταβάλλεται· — ** καταβάλλεται, ἀφανίζεται.

O 2 42g — ** μέγα. * ἐπικρατεστέρων· — ** ἐπικρατεστέρων, μεγαλωτέρων.

O 2 43g —ὕστερον ἐπιόντων. Th.

O 2 44 Ἡ τῆς Σεμέλης ἱστορία δήλη, ὅτι ἐγκυμονοῦσα Διόνυσον Ἥρας ὑποβολαῖς εἰποῦσα τῷ Διῒ μετὰ κεραυνοῦ ἐλθεῖν πρὸς αὐτὴν κατεκαύθη καὶ πρὸς τὸν οὐρανὸν ἀνῆλθε, Διὸς ἐῤῥαψαμένου τῷ μηρῷ τὸν Διόνυσον, ἄχρις ἂν ὁ προσήκων ἔλθῃ καιρός. λέγει δὲ φιλεῖσθαι αὐτὴν ὑπὸ τῆς Ἀθηνᾶς ἢ ὅτι εἰς οὐρανοὺς ἀνῆλθεν, ἢ ὅτι Θηβαία ἐστίν, ἐν δὲ Θήβαις ἱερὸν Ἀθηνᾶς Ὄγκας καλουμένης γλώσσῃ. καὶ τὸ φιλεῖσθαι αὐτὴν ὑπὸ τῶν Μουσῶν διπλοῦν· ἢ ὅτι ἐν τοῖς ποιηταῖς τὰ Σεμέλης ᾄδεται πάθη, οἱ δὲ ποιηταὶ μουσόληπτοι, ἢ ὅτι Θηβαία· πλησίον δὲ τῶν Θηβῶν ὁ Ἑλικών, ἔνθα Μοῦσαι χορεύουσιν. οὐρανίοις θεοῖς.

O 2 45g ἤχῳ, φθορᾷ. μακρόθριξ καὶ εὐπλόκαμος.

O 2 47g τὴν Σεμέλην. — ** ἡ Ἀθηνᾶ. Δημητρίου τοῦ Τρικλινίο υ .

O 2 48 Περισσὸν ἦν ἐνταῦθα κῶλον τὸ Φιλέοντι δὲ Μοῖσα ι . τῶν γὰρ ἄλλων στροφῶν καὶ ἀντιστροφῶν ἀνὰ ιδ′ ἐχουσῶν κῶλα αὕτη μόνη εἶχεν, ὅπερ ἦν ἄτοπον. οὐ γὰρ ἐν ἑτέροις τοιοῦτόν τι εὕρηται. διὸ ἐξεβλήθη παρ’ ἐμοῦ, ὡς καὶ ἐν τοῖς βιβλίοις τῶν ἄλλων ποιητῶν πολλὰ περιττὰ ὄντα. οἶμαι δέ, ὡς οὐδεὶς ἡμᾶς μέμψαιτο τοιαῦτα πεποιηκότας, ἀλλ’ ἐννοήσας, ὡς οὕτω ταῦτα βέλτιόν ἐστιν ἔχειν, θαυμάσειεν ἂν μάλιστα τῆς σπουδῆς. * φιλοῦσι.

O 2 49g ** ὁ πατὴρ πάντων. Germ.

O 2 50 Παῖς ὁ κισσοφόρο ς ] ... ὅθεν καὶ Εὐριπίδης (Phoen. 652 sqq.)· κισσὸς ὃν περιστεφὴς ἑλικτὸς βρέφος εὐθὺς χλοηφόροις ἔρνεσι κατάσκιον ὀλβίσας ἐνώτισε. αὐτῆς.

O 2 50g —ὁ κισσὸν ἐστεφανωμένος Διόνυσος. λέγουσι.

O 2 52g σὺν ταῖς θυγατράσιν ἤτοι ταῖς Νηρηίσιν. θαλασσίαις.

O 2 53g —ζωήν. —ἀθάνατον. τῇ καὶ Λευκοθέῃ καλουμένῃ.

O 2 39-55

Eulogikon public reading copy · View original HTML at eulogikon.org

M. Ἀκολουθεῖ δὲ αὖτος ὁ λόγος, ἤτοι ἁρμόζει, ταῖς θυγατράσι τοῦ Κάδμου ταῖς νῦν ἐν ἐνδόξῳ τάξει ἱδρυμέναις, αἵτινες ἔπαθον συμφορὰς μεγάλας (41). τὸ πένθος δὲ τὸ μέγα ἠφανίσθη τῆς μνήμης ὑπὸ τῶν ἀγαθῶν τῶν ἐπικρατεστέρων. ζῇ μὲν (44) ἡ Σεμέλη ἡ ἐπὶ πολὺ τεταμένας ἔχουσα τὰς τρίχας ἐν τοῖς θεοῖς τοῖς τὸν Ὄλυμπον οἰκοῦσι, τουτέστιν ἐν τῇ μετὰ τῶν θεῶν διατριβῇ, ἀποθανοῦσα τῷ βρόμῳ τοῦ κεραυνοῦ, ἀντὶ τοῦ τῷ κεραυνῷ. φιλεῖ (47) δὲ αὐτὴν ἡ Ἀθηνᾶ ἀεὶ διὰ τὸ τὸν πατέρα αὐτῆς τὸν Κάδμον ἱδρύσασθαι αὐτῇ ἄγαλμα ἐν Ὄγκαις κώμῃ τῆς Βοιωτίας, ὅθεν Ὀγκαία Ἀθηνᾶ λέγεται, ὡς Κυλλήνιος Ἑρμῆς, καὶ ὁ Ζεὺς (49) ὁ πατὴρ πάντων φιλεῖ αὐτὴν κατὰ πολύ· φιλεῖ δὲ αὐτὴν καὶ ὁ παῖς αὐτῆς ὁ κισσοφόρος, ἤγουν ὁ Διόνυσος, ᾧ ἐστιν ὁ κισσὸς ἀφιερωμένος. λέγουσι (50) δὲ τετάχθαι, ἤγουν κεκυρῶσθαι, καὶ τῇ Ἰνοῖ τῇ ἀδελφῇ αὐτῆς κατὰ πάντα τὸν χρόνον διατριβὴν ἄφθαρτον ἐν τῇ θαλάσσῃ σὺν ταῖς θυγατράσι τοῦ Νηρέως ταῖς θαλασσίαις. * δή.

O 2 55g — ** ὄντως. πεφανέρωται· ἤγουν οὐδεὶς οἶδεν, εἰ χρηστὸν ἢ τοὐναντίον τὸ τῆς ζωῆς πέρας ἐπέλθοι, ἀλλ' οἱ μὲν πρὶν εὐτυχοῦντες ἐγγὺς θανάτου δεδυστυχήκασιν, οἱ δὲ τοὐναντίον· — ** πεφανέρωται.

O 2 57g ** πέρας. — * οὐδαμῶς. Germ.

O 2 58 Ἡμέραν ἡσύχιμον τὴν τοῦ θανάτου, ἐπεὶ ἐν ταύτῃ θανόντες ἡσυχάζομεν. Tr. Ἡμέραν ἡσυχίας τὸν θάνατον λέγει, ἐπεὶ ἐν αὐτῷ θανόντες ἡσυχάζομεν· παῖδα δὲ ἡλίου τὴν ἡμέραν καλεῖ, ἐπεὶ ὁ ἥλιος ἀνατέλλων τὴν ἡμέραν γεννᾷ. ποταπήν; εἰρηναίαν καὶ εὐτυχῆ.

O 2 59 Germ. Παῖδα ἡλίου τὴν ἡμέραν, ἐπεὶ ὁ ἥλιος τὴν ἡμέραν γεννᾷ ἀνατέλλων καὶ φωτίζων τὸ περιέχον, ἤτοι τὸν ἀέρα· ἀὴρ γὰρ ὑπὸ ἡλίου φωτιζόμενος ποιεῖ τὴν ἡμέραν, ὡς δ' αὖ γεννᾷ τὴν νύκτα ἡ σκιὰ τῆς γῆς μελαίνουσα τὸν ἀέρα ὄντος ὑπὸ γῆν τοῦ ἡλίου. Ὁπότ ε ] νόει κατὰ κοινοῦ τὸ οὔ τι κέκριτα ι .

O 2 59g — ἀνατέλλων γὰρ καὶ τὸν ἀέρα φωτίζων ἡμέραν ποιεῖ. ἀπαθεῖ καὶ ἀδυστύχῳ.

O 2 61g * πληρώσομεν. Germ.

O 2 62 Τοῦτο κατασκευάζει, ὥστε καθὸ ἄνθρωποι πάντες ἄλλοτε ἄλλαις ἡμέραις περιπίπτομεν τοῖς δεινοῖς. * αἱ δίκην ῥεύματος μεταβολαί· — ** δίκην ῥεύματος μεταβολαὶ παρατρέχουσαι.

O 2 63g ἡδονῶν. M.

O 2 55-64 Ὄντως τὸ τέλος τοῦ θανάτου τῶν ἀνθρώπων, ἤγουν ὃ ὁ θάνατος ἐπάγει, οὐδαμῶς ἐστι διακεκριμένον, τουτέστι γνώριμον, ὁποῖον ἔσται δηλονότι· οὐδὲ (58) ὁπότε ἀνύσομεν ἡμέραν, ἡλίου παῖδα, ἡσυχίας, ἤγουν ἀναπαύσεως μετέχουσαν, λέγω, σὺν ἀγαθῷ μὴ ὑπὸ κακοῦ τινος καταπονουμένῳ, κέκριται δηλονότι. ῥεύματα δὲ τύχης (62) ἄλλοτε ἄλλα εἰς τοὺς ἀνθρώπους ἔβησαν, ἀντὶ τοῦ ἔρχονται, καὶ μετὰ τέρψεων καὶ μετὰ λυπῶν. θλίψεων.

O 2 64g —ἐπῆλθον. * καθά· — ** ἥτις.

O 2 65g —πατρικόν. τῶν σῶν προγόνων.

O 2 66g —εὐφραντικόν. —εὐδαιμονίαν. Germ.

O 2 67 Θεόρτῳ τῷ θεορμήτῳ, ὃν κρίνει καὶ διεγείρει ἢ δίδωσιν ὁ θεός· ἢ ἀσφαλεῖ, θεοδωρήτῳ. θεοπέμπτῳ.

O 2 67g — * εὐδαιμονίᾳ. δυστύχημα.

O 2 68g — ** φέρει. ποταπόν; ἐναντίον, ἀντίστροφον.

O 2 69g — * ἐ ν . Germ.

O 2 65-69 Οὕτω δὲ μοῖρα τῶνδε καὶ τούτων, ἥτε πατρώϊον καὶ πατρικὴ ὑπάρχουσα ἔχει τὸν εὔφρονα καὶ εὐτυχῆ πότμον καὶ εὐδαιμονίαν παραγενομένη σὺν ὄλβῳ καὶ τύχῃ θεόρτῳ ἐπάγει καί τι πῆμα

παλιντράπελον ἐν ἄλλῳ καὶ ἐν ὑστέρῳ χρόνῳ. Th. Οὕτω δὴ ἡ μοῖρα καὶ ἡ τύχη ἄγει καὶ φέρει ἐπὶ ἄλλῳ χρόνῳ τὸν εὔφρονα καὶ εὐφραντικὸν πότμον καὶ εὐδαιμονίαν τῶνδε, ἤτοι τῶν σῶν προγόνων σὺν ὄλβῳ καὶ εὐδαιμονίᾳ θεόρτῳ καὶ θεοπέμπτῳ· ἐκ γὰρ θεῶν τὰ ἀγαθὰ τοῖς ἀνθρώποις παραγίνεται· ἄγει παλιντράπελον τοῦτον τὸν πότμον καὶ ἐπί τι πῆμα πατρώιον καὶ πατρικόν· λέγω δὴ τὸ τοῦ Οἰδίποδος. τὸ δὲ ἅτε ἔχει διὰ μέσου ἀντὶ τοῦ καθὼς ἔχει φύσεως ἡ μοῖρα μεταβάλλειν τὰ πράγματα. λέγει δέ, ὅτι ἡ μοῖρα ἡ φύσιν ἔχουσα μεταβάλλειν ἅπαντα τὴν ἄνωθεν ἐκ θεῶν ἐπελθοῦσαν τοῖς σοῖς προγόνοις εὐδαιμονίαν ἐπὶ δυστυχίαν μετέβαλεν. οὕτω τὸ παλιντράπελον πρὸς τὸ πότμον νόει, τὸ δὲ πατρώιον πρὸς τὸ πῆμ α . ἔχει δὲ λόγον καὶ πρὸς τὸ πότμον νοεῖσθαι, ἵν' ᾖ· τὸν πατρώιον πότμον τῶνδε, ἤτοι τὴν πατρικὴν αὐτῶν εὐδαιμονίαν. Tr. Οὕτω δὲ μοῖρ α ] οὕτω δὲ ἡ μοῖρα καὶ ἡ τύχη, ἥτις ἔχει καὶ συνέχει τὸν εὔφρονα καὶ εὐφραντικὸν πατρώιον πότμον καὶ τὴν εὐδαιμονίαν τῶνδε, ἤτοι τῶν σῶν προγόνων, σὺν ὄλβῳ καὶ εὐδαιμονίᾳ θεόρτῳ καὶ θεοπέμπτῳ· ἐκ γὰρ θεῶν τὰ ἀγαθὰ τοῖς ἀνθρώποις παραγίνεται· ἄγει καὶ ἐπί τι πῆμα παλιντράπελον ἐν ἄλλῳ χρόνῳ· λέγω δὴ τὸ τοῦ Οἰδίποδος. λέγει δέ, ὅτι ἡ μοῖρα ἡ φύσιν ἔχουσα μεταβάλλειν ἅπαντα τὴν ἄνωθεν ἐκ θεῶν ἐπελθοῦσαν τοῖς σοῖς προγόνοις εὐδαιμονίαν ἐπὶ δυστυχίαν μετέβαλεν. ἔχει δὲ λόγον τὸ πατρώιον καὶ πρὸς τὸ πῆμα συνάψαι, ἤγουν πρὸς πατρικὸν ἄγει πῆμα, διὰ τὸ τοῦ Οἰδίποδος πάθος, ὃ καὶ ἐπάγει. ἐξ ἐκείνου τοῦ καιροῦ. [30]

O 2 70g — ** Λάϊον] συνίζησις. — μεμοιρασμένος· ὁ Οἰδίπους. συναντῶν αὐτῷ κατὰ τὰς τριπλᾶς ὁδοὺς τῆς Φωκίδος· — ** διὰ τὸ μέτρον.

O 2 72g μαντευθὲν τῷ Λαΐῳ ὑπ' Ἀπόλλωνος. —τὸ πάλαι λεχθὲν αὐτῷ, ὅτε ἀπῆλθε ζητῶν παίδων γένεσιν. M.

O 2 65-72 Οὕτω δὲ ἡ μοῖρα, ἥτις συνέχει τὴν πατρῴαν τύχην τούτων τὴν ἡδεῖαν σὺν ὄλβῳ, ἤγουν εὐδαιμονίᾳ ὑπὸ θεοῦ ὡρμημένη, ἄλλῳ χρόνῳ, ἀντὶ τοῦ κατά τινα χρόνον, καὶ ἐπί τινα βλάβην ἄγει παλιντράπελον, ἤγουν ἐπὶ τὸ ἐναντίον τετραμμένην, ἐξ ἐκείνου τοῦ χρόνου (70), ἀφ' οὗ ἔκτεινε τὸν Λάϊον ὁ υἱὸς αὐτοῦ ὁ ἐκ μοίρας δαίμονος τεταγμένος ἀποκτενεῖν αὐτὸν συναντήσας, τὸν παλαιὸν δὲ χρησμὸν τὸν χρησθέντα ἐν τῇ Πυθῶνι τελεσθῆναι ἐποίησεν. θεασαμένη τὸν ἄνομον τοῦτον φόνον. [5]

O 2 73g — * ταχεῖα. —αὕτη γὰρ τοὺς πατροκτόνους τε καὶ φονεῖς τιμωρεῖ. τῷ Οἰδίποδι.

O 2 75g Ἐτεοκλέα καὶ Πολυνείκην. — * πολεμικὸν ἢ τὸ ἐξ Ἄρεος καταγόμενον· ἐξ Ἀφροδίτης γὰρ καὶ Ἄρεος Ἁρμονία ἡ προμήτωρ αὐτῶν. ἐναπέμεινε.

O 2 77g καταβληθέντι, θανόντι. προσήκουσι νέῳ.

O 2 78g —παλαίστρᾳ, ἱπποσύνῃ καὶ τοῖς ἄλλοις. παρὰ πάντων διὰ τὸ εὐδοκιμεῖν.

O 2 80g —τῆς τοῦ Ἀδράστου θυγατρὸς Ἀργείας, ἣν Πολυνείκης ὁ τούτου πατὴρ ἔγημεν. Germ.

O 2 81 Θάλος ἀρωγὸν δόμοι ς ] σεμνότης, ἄνθισμα, καλλώπισμα, ἡδονή. βοηθόν.

O 2 81g — * τοῖς πατρικοῖς, ἤτοι ταῖς Θήβαις· * ὕστερον γὰρ μετὰ Διομήδους στρατεύσας αὐτὰς παρεστήσατο ἐκδικήσας πατέρα· ἢ ἀρωγὸν δόμοις, ἤτοι τῆς αὐτοῦ βασιλείας ὑπέρμαχον. Th.

O 2 82 Ἐκ Λαΐου Οἰδίπους· Οἰδίποδος Ἐτεοκλῆς καὶ Πολυνείκης· Πολυνείκους Θέρσανδρος· οὗ Τισαμενός· οὗ Ἀντεσίων· οὗ Θήρας· οὗ Σάμος. οὗτος ἔσχεν υἱοὺς δύο Τηλέμαχον καὶ Κλύτιον, ὧν ὁ μὲν Κλύτιος ἔμεινεν ἐν Θήρᾳ τῇ νήσῳ, ὁ δὲ Τηλέμαχος κατῴκει ἐν χώρᾳ, ὅθεν συλλέξας δύναμιν ἔρχεται εἰς Σικελίαν καὶ κρατεῖ τῶν τόπων· ἐξ οὗ Χαλκιοπεύς· οὗ Ἐμμενείδης· οὗ Αἰνησίδαμος ὁ τοῦ Θήρωνος πατήρ. * ἀπὸ τοῦ Θερσάνδρου. [5]

O 2 82g —ἔχουσιν οἱ τοῦ Θήρωνος πρόγονοι. — ** ἀρχήν. M.

O 2 73-83

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰδοῦσα δὲ ὀξέως ἡ ἔφορος τῶν ἀδικουμένων θεὸς φονευθῆναι ἐποίησε τὸ γένος, ἤγουν τοὺς υἱοὺς αὐτοῦ, τοῦ Οἰδίποδος δηλονότι, τοὺς ἀρηΐους, τουτέστι τοὺς πολεμικοὺς καὶ γενναίους, ἢ τοὺς ἀπὸ τοῦ Ἄρεος καταγομένους, δι' ἀλληλοφονίας· πεσόντος (77) δὲ τοῦ Πολυνείκους, ἤγουν φονευθέντος, ὑπελείφθη ὁ Θέρσανδρος ὁ υἱὸς αὐτοῦ, τιμώμενος ἐν ἀγῶσι νέοις ἁρμόζουσι καὶ ἐν μάχαις πολέμου, βλάστημα τῶν Ἀδραστίδων, ἀντὶ τοῦ τῆς Ἀδραστίδος, τουτέστι τῆς θυγατρὸς τοῦ Ἀδράστου, βοηθὸν τῶν δόμων. οὗτος γὰρ σὺν τῷ Διομήδει ἐπιστρατεύσας ταῖς Θήβαις ἐξεδίκησε τὸν τοῦ πατρὸς αὐτοῦ φόνον· ὅθεν (82), ἤγουν ἀπὸ τοῦ Θερσάνδρου, ἔχουσι τὴν ἀρχὴν τοῦ σπέρματος, τουτέστι τοῦ γένους, οἱ περὶ τὸν Θήρωνα δηλονότι. Th.

O 2 84 Τοῦτο λέγει, ὅτι αἱ τῷ Ξενοκράτει κατορθωθεῖσαι νῖκαι διὰ τετρώρων εἴς τε τὰ Πύθια καὶ τὰ Ἴσθμια καὶ τοῦ Θήρωνός εἰσιν· ἢ ὅτι τοὺς ἵππους κοινοὺς ἐκέκτηντο, μεθ' ὧν μόνος Ξενοκράτης ἀπελθὼν ἐνίκησεν· ἢ ὅτι τῶν Ξενοκράτους στεφάνων καὶ Θήρων μετέχει. εἰ γὰρ τὰ φίλων κοινά, πόσῳ γε δὴ μᾶλλον τἀδελφῶν; * υἱόν, ἤτοι τὸν Θήρωνα.

O 2 85g * ὕμνων ἐκ μέλους γενομένων. τῶν ἐκ λύρας ᾀσμάτων.

O 2 86g —ἐπιτυχεῖν. ** ἐν τῇ.

O 2 87g —ὁ Θήρων. * βραβεῖον.

O 2 88g — ** εἰς τὰ Πύθια. Germ.

O 2 89 Ὁμόκλαρον ἐς ἀδελφεό ν ] διὰ τὸ τοὺς δύο στεφάνους μετασχεῖν ὁμόσε καὶ τῷ αὐτῷ οἴκῳ ἱπποτροφεῖν· ἢ τοῦ αὐτοῦ κλήρου καὶ φύσεως μετέχειν. τὸν τοῦ αὐτοῦ κλήρου διάδοχον Ξενοκράτην.

O 2 90g εὐτυχίαι. ἤγουν στεφάνους ἐκ νίκης τεθρίππων.

O 2 92g τοσούτους γὰρ ἔτρεχε τὸ τέτρωρον. ἔφερον.

O 2 94g ἀγῶνος. * δυστυχίαν.

O 2 95g —ἐκβάλλει, παύει· — ** παραλύει δυσφρόνων] οὕτως ἔχει τὸ κῶλον πρὸς τὸ μέτρον ὀρθῶς. Th.

O 2 93-95 Τὸ δὲ πειρώμενον ἀγωνίας, ἤτοι ἀγωνιζόμενον κατορθῶσαι τὸν ἀγῶνα καὶ νικῆσαι· τοῦτο γάρ ἐστι τὸ τυχεῖν· παραλύει καὶ ἐκβάλλει τὸν νικήσαντα δυσφροσύνης, ἤτοι τῆς πρὶν προσούσης αὐτῷ δυστυχίας. ἡ γὰρ τῆς νίκης λαμπρότης λήθην τῶν ὄπισθεν τίθησιν. εὕρηται δὲ καὶ δυσφροσύνα ν , ἵν' ᾖ· δυσφροσύναν παραλύει, ἀντὶ τοῦ παύει. εἰκότως δὲ τὴν δυστυχίαν δυσφροσύναν εἶπεν. ἡ γὰρ δυστυχία καὶ τὸν συνετώτατον τοῦ λελογισμένου κατάγει. τοῦτο δὲ λέγει εἰς τὸν αὐτὸν σκοπόν, εἰς ὃν καὶ πρόσθεν ἔλεγε (v. 29 sq.)· τῶν δὲ πεπραγμένων ἐν δίκᾳ καὶ τὰ ἑξῆς. * δέ· — ** δή.

O 2 96g — ** ἤτοι ὁ τῶν ἀρετῶν πλοῦτος. —φρονήσει, γενναιότητι, τοῖς ἄλλοις. πεποικιλμένος, κεκοσμημένος.

O 2 98g ** προτείνει, διδάσκει. —τῶν ἀγαθῶν. τῶν κακῶν. Th.

O 2 96-99 Ὁ πλούτῳ κεκοσμημένος καὶ ἀρεταῖς κατάκοσμος οὔτε ὑπὸ τῆς ἐπελθούσης αὐτῷ εὐτυχίας ἐπαίρεται οὔτε ὑπὸ δυστυχίας χαυνοῦται. διὸ δεῖ τῷ πλουτοῦντι καὶ ἀρετῆς, εἰ μέλλει καλῶς τὸν αἰῶνα διάξειν. φησὶ δὲ καὶ Καλλίμαχος (H. in Iov. 95)· Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσταται ἄνδρας ἀέξειν, Οὔτ' ἀρετὴ ἀφένοιο· δίδου δ' ἀρετήν τε καὶ ὄλβον. καὶ Σαπφώ (Fr. 80)· Ὁ πλοῦτος ἄνευ ἀρετῆς οὐκ ἀσινὴς πάροικος· ἡ δ' ἐξ ἀμφοτέρων κρᾶσις εὐδαιμονίας ἔχει τὸ ἄκρον. τοῦτο προσεῖναι τῷ Θήρωνι μαρτυρεῖ. μεγάλην.

O 2 99g —διδοὺς τῷ αὐτὸν ἔχοντι. σκέψιν καὶ βουλήν.

O 2 100g —τῶν συμφερόντων θηρατικήν. δίκην· γὰρ ἀστέρος καταλάμπει τὸν ἔχοντα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 2 101g —ἔνδοξος. —ἀληθές· ψυχὴν γὰρ καταλάμπει καὶ οὐ σῶμα, ὡς τὰ ἄλλα φῶτα· — ** Ἀλαθινὸν γράφε, ἵν' οἰκεῖον ᾖ τῷ μέτρῳ, καὶ μὴ ἔτυμον · καὶ ἔχε ι , μὴ ἔχων · οὐ γὰρ ἔχει καλῶς τὸ ἔχων πρὸς τὴν σύνταξιν. M.

O 2 83-102 Πρέπει τὸν τοῦ Αἰνησιδάμου υἱὸν τὸν Θήρωνα τυγχάνειν ἐγκωμιαστικῶν τε μελῶν καὶ λυρῶν, ἀντὶ τοῦ καὶ λυρικῶν μελῶν. κατὰ μὲν (87) γὰρ τὴν Ὀλυμπίαν αὐτὸς βραβεῖον ἐδέξατο, ἐν τῇ Πυθῶνι δὲ καὶ τῇ Ἰσθμοῖ κοινῶν ἵππων χάριτες (90) εἰς τὸν ἀδελφὸν αὐτοῦ τὸν ἐν τῷ αὐτῷ κλήρῳ ὄντα ἄνθη ἤγαγον, ὀντὶ τοῦ τὰ ἐξαίρετα, τὰς νίκας τῶν δυοκαίδεκα δρόμων τῶν ἁρμάτων. δωδεκάκις γὰρ περιήρχετο τὸν δρόμον τὰ τέλεια ἅρματα. τὸ δὲ τυχεῖν (93) τινα ἀγωνίας ἀντὶ τοῦ νίκης ἐν ἀγῶνι, πειρώμενον, τουτέστι ζητοῦντα τυχεῖν αὐτῆς, παραλύει, ἀντὶ τοῦ ἀπολύει, ἐλευθεροῖ τῶν ἀλγεινῶν (εὔφρον τὸ ἡδύ, δύσφρον τὸ ἐναντίον, ἤγουν τὸ ἀλγεινόν). ὁ δὲ πλοῦτος (96) ὁ πεποικιλμένος ἀρεταῖς, τουτέστιν ὁ τῶν ἀρετῶν πλοῦτος διδάσκει τὸ ἔγκαιρον τῶν καὶ τῶν, ἀορίστως ἀντὶ τοῦ πάντων, ἤτοι τῶν ἀγαθῶν καὶ λυπηρῶν, διάνοιαν (99) διδοὺς βαθεῖαν, ἤγουν συνετήν, ἀγροτέραν, ἀντὶ τοῦ ἀγρευτικὴν τῶν καλῶν, ἀστὴρ ὢν δηλονότι διάδηλος, φῶς ἀνθρώπῳ ἀληθινόν. Th.

O 2 102-103 Ἅπαντες οἱ ἄνθρωποι οἱ μὲν τὸ εἰ δέ μιν ἀναπόδοτον λέγουσιν, οἱ δὲ πρὸς τὸ ἔχων ὑπάρχει λαμβάνουσιν ἔξωθεν. τὸ δ' ἔστι τοιοῦτον· εἰπὼν γὰρ ἄνω· ἀστὴρ ἀρίζηλος ἐτυμώτατον ἀνδρὶ φέγγο ς , ἐπήγαγεν· εἰ δέ μιν ἔχων τις οἶδε τὸ μέλλο ν , ἤγουν εἰ καὶ τῆς ἐντεῦθεν ἀποδημίας ἔννοιαν ἔχει καὶ μὴ πρὸς τὰ παρόντα μόνον κέχηνε. γίνεται δὲ πᾶσιν ἡ ἀπάτη ἀπὸ τοῦ δε , ἀγνοοῦσιν, ὅτι καὶ ἄλλα πολλὰ τοιαῦτα εὕρηται. ὥσπερ γάρ φαμεν, ὅτι ὃ παραινεῖς ἐμοί, ποιήσω, εἰ καὶ αὐτὸς δὲ τοὐμὸν τελέσειας βούλημα, οὕτω καὶ τοῦτο. λέγει δὲ τὸ εἰ δέ μιν οὐκ ἀμφιβάλλων οὐδ' οἰόμενος ὡς οὐχ οἷόντε τῆς ἀρετῆς ἀντιποιούμενον μὴ καὶ τοῦ μέλλοντος ἔχειν πρόνοιαν (πῶς γάρ;)· ἀλλὰ πλαγιάζων καὶ σχηματίζων τὸν λόγον. δέον γὰρ οὕτως εἰπεῖν· ἀστὴρ ἀρίζηλος ἐτυμώτατον ἀνδρὶ φέγγος · ὁ δέ μιν ἔχων τις οἶδε τὸ μέλλο ν , οὐχ οὕτως ἐποίησεν, ἀλλ' ἐπλασίασε σχηματίσας τὸν λόγον καὶ ἀντὶ τοῦ ὁ δέ μι ν , εἰ δέ μιν εἶπεν. Germ.

O 2 102-106 Εἰ δέ μι ν ] ὧδε μέμνηται τὰς τρεῖς μετεμψυχώσεις. εἰ δέ τις τοῦτον ἔχων τὸν πλοῦτον οἶδε τὸ μέλλον, ὅτι οἱ ἀπάλαμνοι φρένες αὐτίκα ἐνθάδε ὑπὸ τῶν θανόντων ποινὰς ἔτισαν, οὐκ ἂν ἑαυτῷ εἰς ἀδικίαν ἐχρήσατο. Th.

O 2 103-106 Τὸ ἐνθάδε πρὸς τὸ ἀπάλαμνοι συναπτέον, τὸ δὲ αὐτίκα πρὸς τὸ ἔτισα ν , οὕτως· αἱ ἀπάλαμνοι καὶ βίαιοι φρένες τῶν θανόντων, ἤγουν οἱ συκοφάνται καὶ πονηροὶ καὶ βίαιοι ἐν τῷ βίῳ, ἀποθανόντες ποινὰς ὧν ἥμαρτον ἔτισαν καὶ ἀπέδωκαν αὐτίκα ἐν ᾅδου. τῷ ἔχοντι αὐτόν.

O 2 103g γινώσκει. ** τῶν ἀποθανόντων ἀνθρώπων.

O 2 105g ἐν τῷ κόσμῳ. — κακαί, εἰς ἃς οὐκ ἔστι μηχανήσασθαι φάρμακον. δίκας ὧν ἥμαρτον ἀπέδωκαν ἐν ᾅδου.

O 2 106g —ἤτοι τῷ κόσμῳ. Th.

O 2 106 Διὸς ἀρχὴ ὁ οὐρανὸς καὶ ὁ κόσμος, Ποσειδῶνος θάλασσα καὶ πάντα τὰ ὕδατα, Πλούτωνος τὰ ὑπὸ γῆν καὶ ὁ Τάρταρος. τὰ κακῶς ὑπ' ἀνθρώπων πεπραγμένα.

O 2 107g — ** ὑποκάτω τῆς γῆς. —εἰς ἐξέτασιν καὶ κρίσιν ἄγει· — κολάζει, κρίνει. Th.

O 2 108 Λόγον λέγει τὴν ἀπόφασιν. σύναπτε δὲ τὸ ἐχθρᾷ ἀνάγκῃ πρὸς τὸ δικάζε ι , τὸ δὲ λόγον φράσας διὰ μέσου οὕτω· δικάζει τις ἐν ἐχθρᾷ καὶ ἀποτόμῳ ἀνάγκῃ, φράσας τὸν λόγον καὶ τὴν τῆς καταδίκης ἀπόφασιν. εἰκότως δὲ εἶπε τὸ ἐχθρᾷ καὶ τὸ ἀνάγκῃ · τὸ μὲν ἀνάγκῃ διότι ἀπαραίτητόν ἐστι τὸ ἐκεῖ δικαστήριον· τὸ δὲ ἐχθρ ᾷ , διότι οὐδεὶς ἐκεῖ φίλος, ἀλλ' ἕκαστος ἐκ τῶν ἔργων αὐτοῦ δικαιοῦται καὶ κατακρίνεται. ὁ Ῥαδάμανθυς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 2 108g —ἐν ἀποτόμῳ καὶ βιαίᾳ. — * διδούς, τοῖς κολαζομένοις δηλονότι. M.

O 2 102-108 Εἰ γὰρ ἔχει τις αὐτόν, ἤγουν τὸν τῆς ἀρετῆς πλοῦτον, οἶδε τὸ μέλλον, ὅτι (104) τῶν θανόντων μὲν αἱ φρένες αἱ ἀπάλαμνοι, τουτέστιν αἱ ἀδιόρθωτοι, αἱ ἀπαιδαγώγητοι, πρὸς ἃς οὐκ ἔστι τι μηχανήσασθαι, ἐνθάδε αὐτίκα, ἀντὶ τοῦ τάχιστα, τιμωρίας (106) ἔτισαν, ἀντὶ τοῦ ὑπέχουσι· τὰ δὲ ἁμαρτήματα τὰ ἐν ταύτῃ τῇ ἡγεμονίᾳ τοῦ Διός, ἤγουν τὰ ἐν τῷ κόσμῳ, ὑποκάτω τῆς γῆς κολάζει τις, ἤγουν ὁ Πλούτων, ἀπόφασιν δοὺς ἀνάγκης ἐχθρᾶς, τοῖς κολαζομένοις δηλονότι. ** ἴσον γράφε καὶ ἴσ α, ἵν’ ὀρθῶς ἔχῃ τὰ κῶλα πρὸς τὸ μέτρον.

O 2 109g —νυξίν. ἀμοχθότερον τῶν ἐν τῷ βίῳ.

O 2 112g ἀγαθοί. —ζωήν. Germ.

O 2 109-113 Ἡ σύνταξίς ἐστιν αὕτη· ἐσθλοὶ μὲν αἰεί, ἐν ἴσαις νύκτεσσιν, ἐν ἴσαις ἡμέραις, δέρκονται τὸν ἥλιον, ἔχοντες ἀπονέστερον βίοτον. Th. Οἱ δὲ ἐσθλοὶ καὶ ἀγαθοὶ δέρκονται καὶ ὁρῶσιν αἰεὶ καὶ πάντοτε ἥλιον ἐν ἴσαις νύκτεσιν, ἴσαις δὲ ἡμέραις, τουτέστιν ὅσον καιρὸν ἔχομεν ἡμέραν καὶ ὅσον νύκτα, ἐκεῖνοι ἀεὶ ἐλλάμπονται ἔχοντες βίον ἀπονέστερον τῶν ἐν τῷ βίῳ. Tr. Οἱ δὲ ἐσθλοὶ καὶ ἀγαθοὶ ἔχοντες αἰεὶ καὶ πάντοτε ἥλιον ἐπίσης ἐν ἡμέραις καὶ νυξί, τουτέστιν ὅσον καιρὸν ἡμεῖς ἔχομεν ἡμέραν καὶ ὅσον νύκτα, ἐκεῖνοι ἀεὶ ἐλλαμπόμενοι νέμονται βίον ἀπονέστερον τῶν ἐν τῷ βίῳ. τὴν γῆν.

O 2 113g —κινοῦντες ἤτοι σκάπτοντες καὶ ἀροῦντες. * ἰσχύϊ· — ** διὰ τῆς ἰσχύος τῶν χειρῶν.

O 2 115g * ταράσσοντες· — ταράσσοντες ἀπὸ κοινοῦ, ἤγουν οὐδὲ ναυτιλίᾳ χρώμενοι. Tr.

O 2 116 Δέον εἰπεῖν κενῶς καὶ ματαίως· ματαίως γὰρ οἱ ἄνθρωποι περὶ τὸ ζῆν σπεύδουσιν, ἐπεὶ καὶ τὸ ζῆν μάταιον· κεινὰν εἶπε πρὸς τὸ δίαιταν. * ματαίαν.

O 2 116g —διά· — * εἰς. —τροφήν. Κρόνῳ καὶ Ῥαδαμάνθυι.

O 2 118g ** ἐκεῖνοι. ἀληθείαις.

O 2 121g οἱ ἄδικοι δηλονότι. —ὃν οὐδεὶς δύναται προσβλέψαι διὰ τὸ βαρύ. M.

O 2 122 Ὀκχέοντ ι ] ὄκχος γὰρ τὸ ὄχημα, ὡς ἐν ἄλλοις οὗτος (Ol. VI, 23)· ὄφρα κελεύθῳ τ’ ἐν καθαρᾷ βάσομεν ὄκχον. ἐκτίνουσιν, ὑφίστανται.

O 2 122g —κόλασιν. M.

O 2 109-122 Οἱ δὲ ἀγαθοὶ ἐπίσης ἐν ταῖς νυξίν, ἐπίσης δὲ ἐν ταῖς ἡμέραις ἥλιον ἔχοντες, ἤγουν ἀεὶ ἐν φωτὶ ὄντες, ἀπονέστερον, ἀντὶ τοῦ ἄπονον, ἀκοπίατον ζωὴν νέμονται, τουτέστι διάγουσιν, οὐ χθόνα (113) ταράσσοντες διὰ τῆς ἰσχύος τῶν χειρῶν, ἤγουν οὐ γεωργοῦντες, οὐδὲ τὸ τῆς θαλάσσης ὕδωρ ταράσσοντες, τουτέστιν οὐδὲ ναυτιλίᾳ χρώμενοι διὰ ματαίαν (116) τροφήν, οἷα κάμνουσιν ἐν τῇ παρούσῃ ζωῇ ἄνθρωποι, ἵνα βίον πορίσωνται· ἀλλὰ παρὰ μὲν τοῖς τιμίοις ἀπὸ τῶν θεῶν, ἤγουν τοῖς ἐν ᾅδου, τῷ Πλούτωνι δηλονότι καὶ τῇ Περσεφόνῃ, ἄλυπον (120) βίον διάγουσιν ἐκεῖνοι, οἵτινες ἔχαιρον εὐορκίαις, τουτέστι τρόποις εὐσεβέσι καὶ δικαίοις· οἱ δέ, ἤγουν οἱ τῆς ἑτέρας μερίδος, οἱ κακοὶ δηλονότι καὶ ἀπαιδαγωγήτους ἔχοντες γνώμας, πόνον ὀκχέοντι, τουτέστιν ὑφίστανται, ἀπὸ μεταφορᾶς τῶν ὀχημάτων, ἀπροσόρατον, ἤγουν μέγαν καὶ οὐ προσβλέπεσθαι δυνάμενον, μεταφορικῶς ἀντὶ τοῦ ἀνύποιστον. Tr.

O 2 123 Ἐς τρί ς ] τῆς κατὰ Πυθαγόραν παλιγγενεσίας μνημονεύει· οὗτος γὰρ τὰς ψυχὰς εἰς ἕτερα σώματα εἰσδυούσας φησὶν ἀνανεοῦσθαι. τῶν ἀνθρώπων.

O 2 123g —ἠθέλησαν. —ἐκ τρίτου. ἐν τῷ βίῳ καὶ ἐν τῷ ᾅδῃ.

O 2 124g —διάξαντες. M.

O 2 125 Ἀδίκω ν ] ἄδικον τὸ μετέχον ἀδικίας καὶ αὐτὴ ἡ ἀδικία. ἐνταῦθα τὸ δεύτερον. ἀπ ὸ ] ὑπερβατόν.

O 2 125g —μακρὰν παντελῶς. — ** ἀπὸ ἀδικιῶν. ἐπορεύθησαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 2 127g ἣν ὁ Ζεὺς τοῖς δικαίοις ἔταξεν. —τὴν πόλιν· πρῶτοι γὰρ Τυρσινοὶ τὴν πόλιν ἐποίησαν. Th.

O 2 122-128 Τῷ τῆς μετεμψυχώσεως δόγματι καὶ Πίνδαρος τίθεται, ὃ τὴν ἀρχὴν ἐξ Ὁμήρου ἔσχε. λέγει γὰρ ἐκεῖνος (Od. ς 78)· μήτ’ εἴης, βουγάϊε, μήτε γένοιο. οὗ Πυθαγόρας δεξάμενος πλατύτερον εἰς μέσον ἐξήνεγκεν. ὅτι δὲ καὶ Πλάτων τῶν τούτῳ πιστευόντων ἦν, μαρτυρεῖ Φαίδων. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅσοι δὲ τῶν ἀνθρώπων ἐτόλμησαν καὶ ἠθέλησαν ἔχειν τὴν ψυχὴν ἄπο καὶ μακρὰν τῶν ἀδίκων πάμπαν καὶ παντελῶς, μείναντες ἐς τρὶς καὶ ἐκ τρίτου ἑκατέρωθι, ἤγουν ἐν τῷ βίῳ καὶ ἐν τῷ ᾅδῃ, ἔστειλαν καὶ ἐπορεύθησαν Διὸς ὁδόν, ἤγουν ἣν ὁ Ζεὺς αὐτοῖς ἔταξε, παρὰ τὴν τύρσιν καὶ τὴν πόλιν τοῦ Κρόνου, ἤγουν ἐν ταῖς τῶν μακάρων νήσοις. ἐγένετο δὲ ἡ ἐκ τρίτου διαγωγὴ καὶ ἐν τῷ βίῳ καὶ ἐν τῷ ᾅδῃ, εἰς δόκιμον ἀκριβές. — Tr. αἱ δὲ τῶν μακάρων νῆσοι ἐν τῷ Ὠκεανῷ εἰσιν, ὥς φησιν Ὅμηρος (Od. δ 568)· Ὠκεανὸς δ’ ἀνίησι παραψυχὴν ἀναψύχειν ἀνθρώπους. ἔνθα] εἰς τὴν πόλιν.

O 2 129g τὸ λεγόμενον Ἠλύσιον πεδίον. —αἱ ἐξ Ὠκεανοῦ. — ** νᾶσος χρὴ γράφειν διὰ τὸ μέτρον ἀντὶ τοῦ νήσους ἐκβολῇ τοῦυ · ὡς τὸ ἐπιτηδὲς (Hom. Il. A. 142) ἀντὶ τοῦ ἐπιτηδεῖς. πνοαί.

O 2 131g ἄνθη. — ἤγουν χρυσοειδῆ. —λάμπει, στίλβει. ἤγουν ἐκ τῆς ἐν τῇ νήσῳ χέρσου.

O 2 133g λαμπρῶν· — ἐσθλῶν. —δένδρων. τὸ ἐκεῖ ῥέον.

O 2 134g —ῥόδα, κρίνα, ἴα. —τρέφει. Th.

O 2 135-136 Τοῦτο οὕτω λέγε· τῶν καὶ ἀφ’ ὧν ἀναπλέκουσι τὰς χεῖρας ἐν ὅρμοις καὶ πλέκουσι στεφάνους εἰς τὰς αὐτῶν κεφαλάς. δέον δὲ εἰπεῖν ὅρμους ἐν ταῖς χερσὶν ὥσπερ τὸ στεφάνου ς , τὸ μὲν ὅρμοις κατὰ πλαγιασμὸν εἶπεν ἀντιστρόφως, ὥσπερ φαμὲν τὸ ἔδωκαν αὐτῷ θάνατο ν . τὸ δὲ στεφάνους ὀρθῶς εἴρηκεν. Tr. Ὅρμοισι τῶ ν ] τοῦτο οὕτω λέγε· τῶν καὶ ἀφ’ ὧν ἀναπλέκουσι τὰς χεῖρας ἐν ὅρμοις καὶ ἐν στεφάνοις, τὰς ἑαυτῶν κεφαλὰς δηλονότι. καὶ ἔστιν ὅμοιον τῷ παρ’ Εὐριπίδῃ (Orest. 1086)· Μήθ’ αἷμά μου δέξαιτο κάρπιμον πέδον, Μὴ λαμπρὸς αἰθήρ· τὸ πνεῦμά μου δηλονότι. περιπλέγμασι· — περιτραχηλίοις κόσμοις.

O 2 135g — ἀφ’ ὧν. —τὰς αὐτῶν. οἱ ἐνταῦθα ὄντες κοσμοῦσι.

O 2 136g — * ἐπὶ τὰς αὐτῶν κεφαλάς. κρίσεσιν.

O 2 137g —ἀληθέσιν· — δικαίαις. Ῥαδάμανθυν.

O 2 138g — * πάντων, ὃ καὶ σύναπτε ἐνταῦθα· — ** πάντων. — ** Κρόνος χρὴ γράφειν, οὐ γᾶ ς , ἵν’ ἔχῃ πρὸς τὸ μέτρον ὀρθῶς. —πρόχειρον, αὐτόκλητον· — ἑαυτῷ. — ** παρακαθήμενον. πάντων] πατήρ.

O 2 141g ἔξοχον. — ** οἱ γράφοντες ὕπατον ἀγνοοῦσι τὰ μέτρα. — * τῆς. — * βασιλείαν. Th.

O 2 138-141 Ὅντινα Ῥαδάμανθυν ἔχει πάρεδρον Κρόνος ὁ παῖς τῆς Γῆς· ἐξ Ὠκεανοῦ γὰρ καὶ Γῆς ἡ τῶν θεῶν, ὥς φασι, γένεσις· ὁ πόσις καὶ ὁ ἀνὴρ τῆς Ῥέας τῆς ἐχούσης θρόνον ὕπατον καὶ ἔξοχον. Tr. Ὃν πατή ρ ] ὅντινα Ῥαδάμανθυν ἔχει πάρεδρον καὶ συγκάθεδρον ἕτοιμον καὶ πρόχειρον καὶ αὐτόκλητον ὁ πάντων πατὴρ Κρόνος, ὁ πόσις καὶ ὁ ἀνὴρ τῆς Ῥέας τῆς ἐχούσης. θρόνον ὑπέρτατον καὶ ἔξοχον πάντων. M.

O 2 123-141 Ὅσοι δὲ ἐτόλμησαν, τουτέστιν ὑπέμειναν, μέχρι τρίτης μετεμψυχώσεως ἐν ἑκατέροις τοῖς μέρεσιν, ἤγουν ἐνταῦθα καὶ ἐν τῷ ᾅδῃ μείναντες ἀπέχειν τὴν ψυχήν, τουτέστι κεχωρισμένην ἔχειν τῶν ἀδικιῶν, ἔτειλαν (126) ἀντὶ τοῦ ἐστείλαντο, ἤγουν ἐπορεύθησαν τὴν τοῦ Διὸς ὁδόν, ἣν ὁ Ζεὺς δηλονότι αὐτοὺς πορεύει, λέγω παρὰ τὴν πόλιν τοῦ Κρόνου, τουτέστι παρὰ τὴν πόλιν ἔνθα ὁ Κρόνος ἔχει τὴν οἴκησιν, ἔνθα (128) τὰς νήσους τῶν μακάρων αἱ τοῦ Ὠκεανοῦ αὖραι περιπνέουσιν, ἀντὶ τοῦ ἔνθα αἱ τῶν μακάρων εἰσὶ νῆσοι ὑπὸ τῶν αὐρῶν τοῦ Ὠκεανοῦ περιπνεόμεναι. ἄνθη δὲ χρυσοῦ λαμπρότατα λάμπει, τὰ μὲν ἀπὸ τῆς γῆς ἀπ’ ἀγλαῶν, ἀντὶ τοῦ εὐθαλῶν δένδρων· ἄλλα δὲ τρέφει τὸ ὕδωρ. ἀφ’ ὧν (135) ἀναπλέκουσι ταῖς χερσὶ τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιτραχηλίους κόσμους καὶ στεφάνους κατὰ τὰς κρίσεις (137) τὰς δικαίας τοῦ Ῥαδαμάνθυος, ὃν ὁ πατὴρ πάντων ὁ Κρόνος ἔχει παρακαθήμενον ἑαυτῷ ἕτοιμον, τουτέστιν ἀχώριστον, ὁ ἀνὴρ ὁ τῆς Ῥέας τῆς ἐχούσης θρόνον ὑψηλότατον πάντων. τῷ Κρόνῳ καὶ Ῥαδαμάνθυϊ.

O 2 142g — * συνάπτονται, συναριθμοῦνται· — ** συγκαταλέγονται. ἐνέβαλεν ἐνταῦθα.

O 2 144g τοῦ Διός. —παρακλήσεσι. —κατέπεισε. — ἡ Θέτις. κατέβαλε.

O 2 146 Tr. Εἰκότως εἶπε τὸν Ἕκτορα κίονα· ἐκεῖνος γὰρ ἦν ἔρεισμα τῆς Τροίας, οὗ πεσόντος ἐπὶ σαθροῦ τὸ Ἴλιον εἱστήκει. ἀκαταγώνιστον.

O 2 146g —ἄκαμπτον. —ἔρεισμα. Th.

O 2 147 Δύο Κύκνοι ἐγένοντο, ὁ μὲν Ἄρεος υἱὸς ὁ ἐν Θετταλίᾳ τοὺς παριόντας λοχῶν καὶ ἀποκτείνων, καὶ βουλόμενος ταῖς κεφαλαῖς ναὸν ἀνεγεῖραι τῷ πατρί, ὃν Ἡρακλῆς ἀπέκτεινεν· ὁ δὲ Ποσειδῶνος, ναῦς ἔχων καὶ συμμαχῶν τοῖς Τρωσίν, ἱσταμένος ἐν στενῷ τῆς ἐκεῖ θαλάσσης καὶ οὐκ ἐῶν τοὺς Ἕλληνας ἀποβῆναι, ὃν Ἀχιλλεὺς ἀπέκτεινεν. τὸν υἱὸν τοῦ Ποσειδῶνος.

O 2 148 Th. Τιθωνοῦ καὶ Ἡμέρας δύο παῖδες γίνονται, Μέμνων καὶ Ἠμαθίων, ὧν ὁ μὲν ἀνῃρέθη ὑπ’ Ἀχιλλέως, Ἠμαθίων δὲ ὑφ’ Ἡρακλέους κατὰ τὴν ἀπελασίαν τῶν Γηρυονείων βοῶν. ἐμυθεύσαντο δὲ αὐτοὺς Ἡμέρας εἶναι παῖδας διὰ τὸ Αἰθίοπας ὄντας λευκοὺς καὶ ὡραίους εἶναι. τὸν Μέμνονα.

O 2 142-149 M. Ὁ Πηλεύς τε καὶ ὁ Κάδμος ἐν τούτοις τοῖς τὰς τῶν μακάρων νήσους λαχοῦσιν, οἰκεῖν δηλονότι, συγκαταλέγονται. καὶ τὸν Ἀχιλλέα ἤνεγκεν, ἀντὶ τοῦ πεμφθῆναι ἐποίησεν, ἡ μήτηρ αὐτοῦ ἡ Θέτις, ἐπεὶ διὰ δεήσεων ἔπεισε τὴν ψυχὴν τοῦ Διός· ὅς (145), ἤγουν ὁ Ἀχιλλεύς, ἔσφηλεν, ἀντὶ τοῦ κατέστρεψε, τὸν Ἕκτορα, τὸν ἀκλινῆ κίονα τῆς Τροίας, τὸν ἄμαχον, τουτέστι τὸν ἀνυπόστατον ἐν ταῖς μάχαις· καὶ τὸν Κύκνον (147), τὸν τοῦ Ποσειδῶνος δηλονότι, τῷ θανάτῳ παρέσχεν, ἤγουν ἐθανάτωσε· καὶ τὸν παῖδα τῆς Ἡμέρας τὸν Μέμνονα, τὸν ἀπὸ Αἰθιοπίας. ἐνταῦθα γὰρ τὰς φαρέτρας οἱ ἄνθρωποι φέρουσιν.

O 2 150g ὠκέα] ταχέα· — ** ἀντὶ μιᾶς. —ἤγουν καίριοι καὶ κατὰ σκοπὸν φερόμενοι λόγοι ἱστορίας. ἐστί.

O 2 151g —ἤτοι τῆς διανοίας μου. M.

O 2 152 Φωνᾶντ α ] φωνήεντα, ἤγουν φωνὴν ἀφιέναι δυνάμενα. φωνήεντα δὲ γράμματα τὰ φωνεῖσθαι μόνον δυνάμενα, κατ’ ἐναντιότητα τῶν συμφώνων, ἃ σὺν τοῖς φωνήεσιν ἀεὶ ἐκφωνεῖται καὶ οὐδέποτε μόνα. ὁμιλητὰ καὶ νοούμενα.

O 2 152g —τοῖς σοφοῖς καὶ φρονίμοις. * ἤτοι εἰς τὸν πολὺν ὄχλον· — βραχὺ τὸ πάν, Δωρικῶς, ἤτοι τὸν πολὺν ὄχλον.

O 2 154g χρήζει. —ἐστὶν ἐκεῖνος. M.

O 2 155 Φυὴ ἡ ἀναδρομὴ τοῦ σώματος. ἐνταῦθα δὲ φυᾷ ἀντὶ τοῦ φύσει. γινώσκων.

O 2 155g — * ἤγουν ἐκ φύσεως καὶ οὐκ ἀπὸ μαθήσεως ὄντα. τοιοῦτος δὲ ἐγὼ παντοίοις σχήμασι καταποικίλλων τὰ ποιήματα καὶ φράσει ποικίλῃ καὶ πολλοῖς ἄλλοις, ἃ οἴκοθεν καὶ οὐκ ἀπὸ μαθήσεως ἐξεῦρον καὶ ἐμηχανησάμην. οἱ ἐκ μαθήσεως ἔχοντες ταῦτα.

O 2 156g —σφοδροί· — ἀντὶ τοῦ λάβρως, ἤγουν ἀκρατῶς. ἐν πολυλογίᾳ.

O 2 157g —ὥσπερ. ἀτέλεστα.

O 2 158g —βοῶσι. ἤγουν τὸν ἀετὸν τὸν ἀνακείμενον τῷ Διΐ· λέγει δὲ δι’ ἑαυτόν.

O 2 156-159 Th. Οἱ δὲ μαθόντες γαρύετον καὶ βοῶσιν ἄκραντα καὶ ἀτελείωτα, λάβροι καὶ σφοδροὶ ἐν παγγλωσσίᾳ καὶ πολυλογίᾳ, ὥσπερ κόρακες ὄντες πρὸς τὸν θεῖον ὄρνιθα τοῦ Διός, ἤγουν ἐμέ. τουτέστιν οἱ μὲν ἄλλοι ποιηταί· λέγει δὲ διὰ Βακχυλίδην, οὗτος γὰρ ἀντήριζεν αὐτῷ· περιττολόγοι εἰσὶν ἐν τοῖς αὐτῶν ποιήμασι καὶ ἄκραντα λέγουσιν. ἐγὼ δὲ τὸ προσῆκον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πανταχοῦ τηρῶ καὶ οὐκ ἐκφέρομαι τοῦ εἰκότος, ὥστε ἐκεῖνοι τοιοῦτοι ὄντες κόρακές εἰσιν ὡς πρὸς ἐμέ, ἐγὼ δὲ ἀετός· ὅσῳ γὰρ ἀετὸς κολοιοῦ κρείττων, τοσοῦτον ἐγὼ τούτων βελτίων. M.

O 2 149-159 Πολλὰ βέλη ταχέα ὑποκάτω τοῦ ἀγκῶνός μού εἰσιν ἔνδον τῆς βελοθήκης, φωνήεντα (152), ἤγουν φωνὴν ἀφιέναι δυνάμενα παρὰ τοῖς φρονίμοις, ἀντὶ τοῦ· πολλὰ νοήματα ὀξέα ἐν τῇ ψυχῇ μού εἰσι ζῶντα παρὰ τοῖς φρονίμοις, ὡς ἐπίπαν δὲ ἑρμηνέων ἔχει χρείαν. σοφὸς (154) ὁ πολλὰ εἰδὼς φυᾷ, ἀντὶ τοῦ φύσει, τουτέστιν ἀπὸ φύσεως. οἱ μαθόντες δέ (156), ἀντὶ τοῦ οἱ ἀπὸ μαθήσεως δὲ εἰδότες καὶ οὐκ ἀπὸ φύσεως, πρὸς τὸν ἔχοντα δηλονότι τὴν ἰσχὺν ἀπὸ φύσεως ὥσπερ κόρακες λάβρως γηρύουσιν, ἀντὶ τοῦ κράζουσιν ἀπέραντα, παγγλωσσίᾳ, τουτέστι συγκεχυμέναις φωναῖς, πρὸς τὸν θεῖον ὄρνιθα τοῦ Διός, ἤγουν τὸν ἀετόν. ἤγουν ἐπὶ τῷ σκοπῷ, ᾧ ὑπεθέμεθα, λέγω τοῦ Θήρωνος * ἐγκώμιον, ἔχε τοὺς λόγους, ψυχή.

O 2 161g ὦ ψυχή. —ἤτοι ἐγκωμιάζομεν. Tr.

O 2 162 Εἰκότως εἶπε τὸ μαλθακᾶς πρὸς ἀντιδιαστολὴν τοῦ τόξο υ . τὸ μὲν γὰρ σκληρόν ἐστι καὶ πικρίαν ἐμποιοῦν, πρὸς οὓς πέμπει τὰ βέλη· αὕτη δὲ εὐφροσύνης αἰτία τοῖς ἐγκωμιαζομένοις καθίσταται. χαριεστάτης.

O 2 162g —πάλιν ὥσπερ ἐν ἀρχῇ. ἐνδόξους.

O 2 163g —ἤγουν ἐγκωμιαστικοὺς λόγους. ** ἐπί τοι] ἀντὶ μιᾶς.

O 2 165g τὴν τοῦ Θήρωνος πόλιν. —ἐκτείνας ( ** ἔκτεινε) τὸν λόγον τοῦ ὕμνου. M.

O 2 160-165 Ἔπεχε νῦν, ἀντὶ τοῦ ἐπέχων ἤδη ἔντεινε, ὦ θυμέ, κατὰ τοῦ σκοποῦ τὸ τόξον· ἀντὶ τοῦ χαλιναγωγῶν τὸν λόγον ἀπὸ τῶν ἔξω τοῦ καιροῦ ἐπὶ τὴν προκειμένην ὑπόθεσιν ἀπότεινε. ἄγε, εἰπέ, ὦ θυμέ, ἤγουν ὦ ψυχή, τίνα βάλλομεν, ἤγουν τοξεύομεν, ὀϊστοὺς (162) πέμποντες ἐνδόξους ἀπὸ ἡμέρου καὶ φιλικῆς φρενός; τουτέστι τίνα ἐγκωμιάζομεν; ἐπὶ τὴν Ἀκράγαντα τάνυσον, ἤγουν ἕλκυσον, τὸ τόξον δηλονότι, ἀντὶ τοῦ ἐπὶ τὴν Ἀκράγαντα ἀπότεινε τὸν λόγον. λέξω· — ** διαβεβαιώσομαι.

O 2 166g —διώμοτον. γεννῆσαι.

O 2 169g χρόνων. —πόλιν] τὸ τινὰ ἐνταῦθα. ἕτερον.

O 2 171g φρονήσεσιν, ἤτοι μετὰ λόγου καὶ οὐκ ἀλόγως εὐεργετοῦντα. δαψιλέστερον.

O 2 172g — ἤγουν κατὰ τὸ διδόναι καὶ εὐεργετεῖν. Th.

O 2 166-173 Αὐδάσομαι καὶ λέξω ἐν ἀληθεῖ νόῳ, λόγον ἐνόρκιον καὶ μετὰ ὅρκου, μὴ τεκεῖν (168) καὶ γεννῆσαι πόλιν ἑκατὸν ἐτέων καὶ χρόνων τινὰ ἄνδρα ἐν ταῖς πραπίσι καὶ φρονήσεσιν εὐεργέτην τοῖς φίλοις μᾶλλον καὶ περισσοτέρως τοῦ Θήρωνος, καὶ ἀφθονέστερον καὶ δαψιλέστερον κατὰ τὴν χεῖρα, ἤτοι τὸ διδόναι. εἰ μὲν οὖν τὸ τινὰ πρὸς τὸ ἄνδρα συνάψεις, πόλιν ἑκατὸν ἐτέων νοήσεις τὴν Ἀκράγαντα· ἐν γὰρ τῇ πεντηκοστῇ Ὀλυμπιάδι ἐκτίσθη· Θήρων δὲ ἐν τῇ ἑβδομηκοστῇ ἐνίκησεν· ἐπειδὴ οὖν εἴκοσιν Ὀλυμπιάδες διὰ μέσου εἰσίν, ἡ δὲ Ὀλυμπιὰς κατὰ πέντε χρόνους ἐγίνετο, ἑκατὸν χρόνων ἀριθμὸς συνάγεται· πεντάκις γὰρ εἴκοσιν ἑκατόν. εἰ δὲ πρὸς τὸ πόλιν τὸ τινὰ συνάψεις, ἀορίστως εἴποις τὸ πόλι ν , τοῦτο δὲ ποιῶν μὴ λάβῃς πρὸ ἢ ἕως εἰς τὸ ἑκατὸν ἐτέων, ἀλλὰ χωρὶς τούτων λέγε· τινὰ πόλιν ἑκατὸν ἐτέων. εἰ γὰρ περὶ τὸν κόσμον οἱ χρόνοι, ἐν δὲ τῷ κόσμῳ αἱ πόλεις, καλῶς ἂν ἔχοι λέγειν καὶ τὰς πόλεις τῶν χρόνων. νόει δὲ τὸν λόγον καὶ ἐπὶ μέλλοντος καὶ ἐπὶ παρῳχημένου. τὸ γὰρ τεκεῖν οὐ μόνον μέλλοντα χρόνον δηλοῖ· μέλλων γὰρ δεύτερος τὸ τεκεῖν· ἀλλὰ καὶ παρῳχημένον. τεκεῖν γὰρ καὶ ἀντὶ τοῦ τέξαι καὶ ἀντὶ τοῦ τέξειν φαμέν. M. Αὐδάσομαι, ἀντὶ τοῦ λέγω, διαβεβαιοῦμαι λόγον σὺν ὅρκῳ κατὰ ἀληθῆ διάνοιαν, μηδένα ἄλλον ἄνδρα ἐφ’ ἑκατὸν ἐτῶν, ἤγουν ἐντὸς ἑκατὸν ἐνιαυτῶν, τεκεῖν (168) τὴν πόλιν εὐεργέτην πρὸς τοὺς φίλους,

φρονήσεσι, τουτέστι διὰ τῆς ἑαυτοῦ φρονήσεως μᾶλλον, ἀφθονέστερόν τε κατὰ τὴν χεῖρα, ἀντὶ τοῦ τὴν δωρεάν, τουτέστι μεγαλοδωρότερον, τοῦ Θήρωνος. Th.

O 2 173 Εἰκότως εἶπε. τὸ κόρο ς . ὥσπερ γὰρ ὁ κόρος παρατροπὴν τοῦ στομάχου καὶ διαφθορὰν ἐργάζεται, ἔστι δ’ ὅτε καὶ ὀργανικὴ βλάβη ἐντεῦθεν γίνεται, οὕτω καὶ ἐπὶ τὸν αἶνον τοῦ Θήρωνος, ἤτοι τὸ ἐκ τῶν μεγάλων εὐεργεσιῶν γινόμενον αὐτῷ θαῦμα, ἐπῆλθε κόρος καὶ φθόνος. Κάπυς γὰρ καὶ Ἱπποκράτης, καίτοι πολλὰ ὑπὸ Θήρωνος εὐεργετηθέντες, ὅμως ὡς ἑώρων αὐτοῦ τὴν ἀρχὴν αὐξομένην, φθονήσαντες μετέστησαν πρὸς Ἱέρωνα καὶ τοῦτον ἐγείραντες πρὸς τὸν κατ’ αὐτοῦ πόλεμον ἐπειρῶντο τῆς ἀρχῆς καθαιρεῖν, εἰ καὶ μηδὲν ἠδυνήθησαν ὧν ἐβούλοντο πρᾶξαι. τὸ ἐκ τῶν εὐεργεσιῶν αὐτοῦ θαῦμα.

O 2 173g —φθόνος· λέγει δὲ τὴν ἐξ Ἱέρωνος μάχην. δικαιοσύνῃ.

O 2 174g —ἐρχόμενος. φθονερῶν.

O 2 175g —Κάπυος καὶ Ἱπποκράτους. ταράξαι καὶ λυπῆσαι.

O 2 177 M. Κρύφον τ ε ] ἀφανισμὸν ποιῆσαι τοῖς καλοῖς ἔργοις τῶν ἀγαθῶν ἀνθρώπων. ποταπόν; ἀφανές.

O 2 177g —ἃ πρὸς καθαίρεσιν αὐτοῦ ἐμηχανῶντο. * ἀριθμόν] διὰ τὸ μέτρον λείπει· — ** ἀρθμόν] διὰ τὸ μέτρον.

O 2 178g —ἤγουν οὐχ οἷά τέ ἐστιν ἀριθμεῖσθαι. ἐξ εὐεργεσιᾶν χαράς.

O 2 180g ἐξειπεῖν. Th.

O 2 177-180 Τὸ ἐπεὶ ψάμμος ἁρμόζεται τῇ ἐννοίᾳ πρὸς τὸ φίλοις εὐεργέτην · τὸ δὲ ἀλ λ ’ αἶνον μέχρι τοῦ ἔργοις διὰ μέσου παρεκβατικώτερον εἴρηται. καὶ τίς ἂν φράσαι καὶ ἐξειπεῖν δύναιτο τὰ χάρματα καὶ τὰς ἐκ τῶν εὐεργεσιῶν χαράς, ὅσα ἐκεῖνος ὁ Θήρων τοῖς ἄλλοις ἀνθρώποις ἔθηκεν· ἐπεὶ ἡ ψάμμος τῆς θαλάσσης περιπέφευγε τὸν ἀριθμόν, ἤτοι οὐ δυνατόν ἐστιν ἀριθμεῖσθαι. τουτέστιν ὥσπερ ἡ ψάμμος ἀναρίθμητός ἐστιν, οὕτω καὶ αἱ τούτου πρὸς ἀνθρώπους εὐεργεσίαι. M.

O 2 173-180 Ἀλλὰ ἐπὶ τὸν ἔπαινον, ἀντὶ τοῦ κατὰ τῶν ἐπαίνων ἀξίων καλῶν τοῦ Θήρωνος ἐκινήθη κόρος, ἀντὶ τοῦ ὕβρις, ἀπ’ ἀγανακτήσεως, οὐ σὺν τῷ δικαίῳ συναντῶν, τουτέστι συμβαίνων, ἀλλ’ ὑπ’ ἀνδρῶν μάργων (175), ἤγουν μανικῶν, φθονερῶν, θέλων διὰ τὸ θορυβῆσαι κρύφον ποιῆσαι, ἀντὶ τοῦ κρύφιον, τουτέστι κεκρυμμένον, ἄδοξον τὸν ἀγαθὸν διὰ τῶν κακῶν ἔργων. ἐπεὶ ἡ ψάμμος (178) ἀριθμὸν περιπέφευγεν, ἀντὶ τοῦ διαπέφευγεν, ἐκεῖνος, ἤγουν ὁ Θήρων, ὅσα χάρματα, τουτέστιν ἡδέα, τερπνά, χάριν ἄλλων ἐποίησε, τίς ἂν δύναιτο φράσαι, ἤγουν εἰπεῖν, διηγήσασθαι; Ἐπίνικοι Ὀλυμπιονίκαις.

O 3 t Θήρωνι Ἀκραγαντίνῳ εἰς Θεοξένια Ὠιδὴ γʹ. [Δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῶν τε στροφῶν καὶ ἀντιστροφῶν τοῦ γʹ. εἴδους. Ἔστι δὲ τὸ ᾆσμα στροφῶν τριῶν. Παλαιόν. Τοῦ γʹ εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη θʹ.

O 3 prae 1 Τὸ αʹ ἐγκωμιολογικὸν τρίμετρον καταληκτικόν. ἐγκωμιολογικὸν δέ ἐστι τὸ διπενθημιμερὲς λεγόμενον· πενθημιμερῆ γάρ εἰσι βʹ, ἰαμβικὸν καὶ δακτυλικόν, καὶ ἔστιν ὅτε ἑνὶ στίχῳ μίγνυνται· ἀλλ’ ἐὰν μὲν προτεθῇ τὸ ἰαμβικόν, ἰαμβέλεγος καλεῖται ἀπὸ τῆς ποιότητος· εἰ δὲ τὸ δακτυλικόν, διπενθημιμερὲς ἀπὸ τῆς ποσότητος, τὸ αὐτὸ δὲ καὶ ἐγκωμιολογικόν· σύγκειται γὰρ ἐγκώμια ἐκ τοῦ τοιούτου μέτρου. ἰαμβέλεγος δὲ καλεῖται, ὅτι τὸ ἐλεγεῖον μέτρον ἐκ βʹ πενθημιμερῶν δακτυλικῶν σύγκειται, ἀλλὰ τὸ μὲν αʹ δέχεται καὶ σπονδείους, τὸ βʹ δὲ μόνον δακτύλους. ἐπεὶ γοῦν καὶ τοῦτο ἐκ βʹ πενθημιμερῶν σύγκειται, τοῦ αʹ δακτυλικοῦ, τοῦ βʹ δὲ ἰαμβικοῦ, διὰ τοῦτο διπενθημιμερὲς καλεῖται. ἔστι δὲ ἀσυνάρτητον, διότι μὴ πεφυκὸς ἡνώθη. τὸ δὲ ἐν κώλοις ἀσυνάρτητον τοῦτο ἀντιπαθές, ἐναντίοις ποσὶν ἡνωμένον. Τὸ βʹ προσοδιακὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. λέγεται δὲ προσοδιακόν, διότι ἐν ἑορταῖς τοιούτοις μᾶλλον ἐχρῶντο μέτροις, ὡς καὶ νῦν Πίνδαρος εἰς τὴν τῶν Θεοξενίων ἑορτήν. ἐν γὰρ ταῖς ἑορταῖς πρόσοδοι ἐγίνοντο καὶ εἰσφοραὶ πλείους. σύγκειται δὲ τὸ προσοδιακὸν ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. πολλάκις δὲ τρέπεται ὁ Ἰωνικὸς κατὰ τὴν ἀρχὴν εἰς τὸν συγγενῆ τροχαῖον, ὡς γίνεσθαι παίων β′. Τὸ γ′ προσοδιακὸν τρίμετρον· κατὰ μονοποδίαν γὰρ μετρεῖται μέχρι τοῦ πενταμέτρου. πεντάμετρος γὰρ γενόμενος τριακοντάσημός ἐστιν ἤτοι τριακοντάχρονος· πέρα δὲ τοῦ τριακοντασήμου οὐ προβαίνει στίχος καθ' Ἡφαιστίωνα, διὸ καὶ μέχρι πενταμέτρου χωρεῖ τὸ προσοδιακόν. Τὸ δ′ δίμετρον ὑπερκατάληκτον προσοδιακὸν ἀπὸ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. τοῦτο καὶ ἀναπαιστικόν ἐστιν ἑφθημιμερές. Τὸ ε′ προσοδιακὸν τρίμετρον καταληκτικὸν ἐκ τροχαικοῦ καὶ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος, ὅσπερ δὴ τραπεὶς εἰς τροχαῖον ποιεῖ ἐπίτριτον β′. γίνεται δὲ προσοδιακὸν καὶ ἀπ' ἐλασσόνων. Τὸ ς′ ἰαμβικὸν πενθημιμερές. Τὸ ζ′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η′ ὅμοιον τῷ α′ τῆς στροφῆς. Τὸ θ′ Στησιχόρειον ἐξ ἐπιτρίτων Στησιχόρου εὑρόντος αὐτό· δεύτεροι δὲ οἱ ἐπίτριτοι. ἑξῆς δὲ ἐπὶ τῷ τέλει παράγραφος. Περὶ τῶν κώλων τῶν ἐπῳδῶν. Αἱ ἐπῳδοὶ κώλων θ′. Τὸ α′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ β′ δακτυλικὸν πενθημιμερές. Τὸ γ′ προσοδιακὸν ἀπ' ἐλάσσονος τρίμετρον καταληκτικόν. ὁ α′ ποὺς ἀπὸ τροχαίου, ὡς γίνεσθαι ἐπίτριτον β′. Τὸ δ′ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. Τὸ ε′ προσοδιακὸν δίμετρον ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ ς′ ὅμοιον τῷ α′ τῆς στροφῆς. Τὸ ζ′ ἐγκωμιολογικὸν ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ ὁμοίου, ὃ καὶ διπενθημιμερὲς καλεῖται, ὡς εἴρηται. Τὸ η′ δακτυλικὸν πενθημιμερὲς ὅμοιον τῷ β′. Τὸ θ′ Στησιχόρειον τρίμετρον ὑπερκατάληκτον ἐξ ἐπιτρίτων δευτέρων. Ἐπὶ τῷ τέλει ἑκάστης ἐπῳδοῦ κορωνὶς καὶ παράγραφος, ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος. Th. Οἱ Διόσκουροι κατὰ τὴν ἐντολὴν Ἡρακλέους διατιθέμενοι τὸν Ὀλυμπιακὸν ἀγῶνα, ὡς ἐνομοθέτησεν ἐκεῖνος· τούτοις γὰρ εἰς θεοὺς ἀναχωρῶν ἀνέθετο· ἐπενόησαν ἀφ' ἑαυτῶν καὶ ἑτέραν ἑορτὴν ὀνομάσαντες ταύτην Θεοξένια παρὰ τὸ δοκεῖν τότε ξενίζειν τοὺς θεούς.

O 3 prae 1 θύοντι οὖν τῷ Θήρωνι εἰς Θεοξένια ἐπὶ τῆς νίκης, ἣν προηγωνίσατο, ἀνηγγέλθη αὐτῷ καὶ ἑτέρων αὐτοῦ ἵππων νίκη· δι' ἣν καὶ τὸ παρὸν γέγραπται ἐπινίκιον. διὸ καὶ Θεοξένια ἐπιγέγραπται. M.

O 3 1 Φιλοξένους λέγει αὐτοὺς διὰ τὸ συστῆσαι τὴν ἑορτὴν τὰ Θεοξένια, εἰς ἣν πολλοὶ ξένοι συνέῤῥεον καὶ φιλοφρονήσεως ἠξιοῦντο. τοῖς υἱοῖς τοῦ Τυνδάρεω, Κάστορι καὶ Πολυδεύκει.

O 3 1g —τοῖς φιλοῦσι τοὺς ξένους καὶ ἐφόροις αὐτῶν. —ἀρέσκειν. — ** Τὸ προοίμιον εὐκτικόν. καλλίτριχι.

O 3 2g —τῇ αὐτῶν ἀδελφῇ. τὴν πόλιν τοῦ Θήρωνος.

O 3 3g —τιμῶν. — * διὰ τῶν τοῦ Θήρωνος ἐγκωμίων. τὸν ἐκ τῆς ἐν Ὀλυμπίᾳ νίκης αὐτῷ καταστάντα.

O 3 5g ἐγείρας, ἀνυψώσας· — διὰ τοῦ ὀρθῶσαι ἤγουν ἀνεγεῖραι. —τῶν ἀκαμάντους καὶ ταχεῖς πόδας ἐχόντων. ἀπάνθισμα, καρπόν· τῆς γὰρ αὐτῶν νίκης ὁ ὕμνος καρπός.

O 3 1-6 Tr. Ἀναχωρῶν εἰς θεοὺς Ἡρακλῆς τοῖς Διοσκούροις τὸν Ὀλυμπιακὸν ἀγῶνα ἐπέτρεψε τελεῖν. οὗτοι δὲ πρὸς τούτῳ καὶ ἑτέραν ἑορτὴν ἐξεῦρον, ἣν διὰ τὸ πρὸς πάντας τοὺς θεοὺς γίνεσθαι Θεοξένια ἐκάλουν, οἱονεὶ ξενίαν καὶ τράπεζαν τῶν θεῶν. θύοντι οὖν Θήρωνι καὶ ἑορτάζοντι τὰ Θεοξένια ἠγγέλθη, ὡς ἐν Ὀλυμπίᾳ οἱ αὐτοῦ ἵπποι ἐνίκησαν. διὰ τοῦτο οὖν ὁ ποιητὴς εὔχεται τοῖς Διοσκούροις καὶ τῇ αὐτῶν ἀδελφῇ Ἑλένῃ ὡς καταστήσασι πρώτοις τὴν τῶν Θεοξενίων ἑορτήν. λέγει οὖν· γεραίρων καὶ τιμῶν τὴν κλεινὴν Ἀκράγαντα, ὀρθώσας καὶ ἐγείρας καὶ ἀνυψώσας ὕμνον τοῦ Θήρωνος Ὀλυμπιονίκην καὶ ἐκ τῆς Ὀλυμπίας αὐτῷ καταστάντα, ἄωτον καὶ ἀπάνθισμα καὶ καρπὸν τῶν ἵππων αὐτοῦ τῶν ἀκαμαντοπόδων, εὔχομαι ἁδεῖν καὶ ἀρέσκειν

τοῖς υἱοῖς τοῦ Τυνδάρεω Διοσκούροις, τοῖς φιλοξένοις καὶ τοῖς φιλοῦσι τοὺς ξένους, καὶ τῇ αὐτῶν ἀδελφῇ τῇ καλλιπλοκάμῳ Ἑλένῃ. ἡ ποιητικὴ γνῶσις.

O 3 7g —τὸ οὕτω διὰ τὸ ἁρμόσαι λέγει. — * ἐπῆλθε. * ξένον καὶ παράδοξον· ἐπειδὴ τοιοῦτον καὶ τὸ εἰς Θήρωνα νῦν συμβάν, θύοντα Θεοξένια ἐν Ὀλυμπίᾳ διὰ τῶν ἵππων νικῆσαι.

O 3 9 Pal. Τρεῖς ἁρμονίαι· Δωρία, Φρυγία, Λυδία. Tr. Δωρίῳ πεδίλ ῳ ] ὥσπερ ὁ ποὺς τῷ πεδίλῳ ἁρμόζεται, οὕτω φησὶ καὶ τὸν ὕμνον τοῦ Θήρωνος ἁρμόσαι Δωρικῇ ἁρμονίᾳ. τρεῖς δὲ ἁρμονίαι· Δώριος, Λύδιος, Φρύγιος· ποικιλωτέρα δὲ τῶν δύο ἡ Δώριος. Δωρικῇ.

O 3 9g —τὸν ὕμνον τὸν πρὸς αὐτόν. —συνθεῖναι. —ἁρμονίᾳ. καλλίστην καὶ ἡδυτάτην.

O 3 7-10 Germ. Οὕτω δὲ λογισθήσεται ἐμοί, ὅτι παρέστη ἡ Μοῦσα, ἐὰν τοῖς Τυνδαρίδαις ἀρέσω, εὑρόντι τρόπον νεοσίγαλον καὶ νεοποίκιλον, ὥστε ἐναρμόσαι φωνὴν ἀγλαόκωμον ἐν πεδίλῳ Δωρίῳ. τοῦτό ἐστιν ἡ σύνταξις. ταῖς ἐν τοῖς ὤμοις θριξὶ τῶν ἵππων αὐτοῦ.

O 3 11g ἐπιτεθέντες. —τοῦτο τὸ ἐπὶ πρὸς τὸ χαίταις συναπτέον. Germ.

O 3 12 Ἐπεὶ οἱ στέφανοι οἱ ζευχθέντες μὲν καὶ πεσόντες ἐπὶ ταῖς τῶν ἵππων θριξὶν ἀπαιτοῦσιν ἐμὲ τοῦτο τὸ χρέος τὸ θεόδμητον. Germ. Θεόδματο ν ] τουτέστι τὸ θεόκτιστον. ἀπαιτοῦσι.

O 3 12g —ἄνωθεν ἐκ θεῶν νενομισμένον ὥσπερ ὀφειλὴν ἀποδίδοσθαι τοῖς νικῶσιν. κιθάραν.

O 3 13g —ποικίλα μέλη ἔχουσαν. μέλος.

O 3 14g —ποιητικὴν συνθήκην καὶ ῥυθμόν. ** οὗτος πατὴρ ἦν Θήρωνος ὁ Αἰνησίδαμος.

O 3 16g τῷ Θήρωνι. —προσαγαγεῖν. —ἁρμοδίως. Germ.

O 3 12-16 Ὁ νοῦς· ὥστε συμμίξαι τῷ παιδὶ τοῦ Αἰνεσιδάμου πρεπόντως τὴν φόρμιγγά τε τὴν ποικιλόγαρυν καὶ τὴν βοὴν τῶν αὐλῶν τὴν θέσιν τε τῶν ἐπέων, ἤγουν συμβαλεῖν αὐτῷ τῷ Θήρωνι τοῖς ὕμνοις. τὸ δὲ πράσσοντι ἀντὶ τοῦ ἀπαιτοῦντι· πράσσω γὰρ σημαίνει καὶ τὸ ἀπαιτῶ, ἐξ οὗ καὶ πράκτωρ· ἢ εἰσπράσσουσι, καὶ δι’ ἐμοῦ ἀντιπτωτικῶς. ὁ Ὀλυμπιακὸς ἀγὼν πράσσει ἀπὸ κοινοῦ.

O 3 17g — * ὑμνεῖν. —τῆς Πίσης. ** θεόμοροι] συνίζησις.

O 3 18g —ἐκ θεῶν μεμοιρασμένοι. —ἐπέρχονται. —εὐφημίαι· ἐκεῖ γὰρ νικῶντες ἄνθρωποι κτῶνται αὐτάς. Μ.

O 3 1-18 Τυνδαρίδαις τ ε ] τοῖς Διοσκούροις τε εὔχομαι ἀρέσκειν τοῖς φιλοξένοις καὶ τῇ Ἑλένῃ τῇ καλλιπλοκάμῳ τιμῶν (3) τὴν ἔνδοξον Ἀκράγαντα διὰ τοῦ ἀνεγεῖραι ὕμνον Ὀλυμπιονίκας ὑμνοῦντα, ἄωτον λέγω, ἤγουν κόσμον ἐξαίρετον τῶν ἵππων τοῦ Θήρωνος τῶν μὴ καμνόντων τοὺς πόδας ἐν τοῖς δρόμοις. ἐπίνοια δὲ (7) ἐγκωμίων μοι παρέστη, ἤγουν ἐπῆλθε τοῦτον τὸν τρόπον ἐξευρόντι, τουτέστιν ἐπινοήσαντι τρόπον νεοσίγαλον, ἤγουν καινοτέραν ἀγλαΐαν ἔχοντα, ᾆσμα λαμπρὰν συνιστῶν χορείαν ἐναρμόσαι Δωρίῳ ῥυθμῷ· ἐπεὶ (10) εἰσπράττονται μὲν ἐμέ, ἤγουν ἀπαιτοῦσιν οἱ στέφανοι οἱ ἐπὶ ταῖς χαίταις τῶν ἵππων ζευχθέντες, τουτέστι συνδεδεμένοι τεθέντες, τοῦτο τὸ χρέος τὸ θεόδμητον, ἤγουν τὸ ὑπὸ τῶν Μουσῶν κατασκευαζόμενον, λέγω φόρμιγγά τε ποικιλόφωνον καὶ (14) βοὴν αὐλῶν καὶ συνθήκην ἐπῶν συμμίξαι πρεπόντως, ἤγουν συναρμόσαι, συμβαλεῖν ταῦτα ἀλλήλοις, χάριν τοῦ παιδὸς τοῦ Αἰνησιδάμου τοῦ Θήρωνος. καὶ ἡ Πίσα (17) δὲ εἰσπράττεταί με γεγωνεῖν, ἀντὶ τοῦ ὑμνεῖν, αὐτὴν δηλονότι, ἧς ἄπο, ἤγουν ἀφ’ ἧς, θεοδώρητοι, ὑπὸ θεῶν κεκληρωμένοι ἔρχονται πρὸς ἀνθρώπους ὕμνοι ἐπινίκιοι. θεοδώρητοι δέ, ὅτι οἱ θεοὶ τὰς νίκας δωροῦνται, δι’ ἃς οἱ ὕμνοι. Μ.

O 3 19 Ὧιτινι κραίνω ν ] πληθυντικοῦ δύναμιν ἔχει τὸ ᾧτινι · διὸ πρὸς πληθυντικὸν ἀποδίδοται· καὶ πάντα ὅσα ἀορίστως λέγεται, οὐκ ἀνοικείως ἔχει πρὸς πληθυντικὰ ἀποδίδοσθαι· πάντα γὰρ πληθυντικῶν ἔχει δύναμιν. τελειῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 3 19g — * ἐντολάς. παλαιάς.

O 3 21g ἀληθής, ἀπροσωπόληπτος. —τῶν ἐκεῖσε ἀγωνιζομένων Ἑλλήνων κριτής. Th.

O 3 22 Ὄξυλός τις ἀνήρ, εἷς τῶν Αἰτωλῶν, ἡνίκα ἐπὶ τὴν Πελοπόννησον οἱ Ἡρακλεῖδαι ἠπείγοντο, καθηγήσατο αὐτοῖς τῆς ὁδοῦ, ἀντιδόσεως δὲ τρόπῳ τινὶ τὴν Ἠλείων ἡγεμονίαν παρ’ αὐτῶν λαμβάνει, παρ’ οὗ οἱ Ἠλεῖοι Αἰτωλοὶ ὠνομάσθησαν. διὰ τοῦτο οὖν Αἰτωλὸς ἀνὴρ ἤτοι Ἠλεῖο ς . ἀγνοοῦντες δέ τινες τὸ ἀνὴρ ἀντὶ τοῦ ὁ Ὄξυλος νοοῦσιν, ὅπερ ἄτοπον. οὗτος γὰρ ἦν ὁ καταρχὰς τιθεμένου τοῦ ἀγῶνος Ἑλλανοδίκης ὑφ’ Ἡρακλέους καταστάς· ὕστερον δὲ κατὰ διαδοχήν, ὃς ἂν ἐδόκει προὔχειν ἀληθείᾳ καὶ γνώμῃ δικαιοτάτῃ, εἰς τὴν ὑπηρεσίαν ταύτην ἐχειροτονεῖτο παρὰ τοῦ δήμου. Ἠλεῖος.

O 3 23g περὶ ταῖς θριξὶ τῆς κεφαλῆς, αἳ ὑπεράνω τῶν βλεφάρων εἰσίν. — ** περιθήσοι. ἐλαίαν.

O 3 19-24 Germ. Ὧιτινι ὁ Αἰτωλὸς ἀνήρ, Ἑλλανοδίκας ἀτρεκής, κραίνων καὶ τελειῶν τὰς ἐφετμὰς καὶ τὰς ἐντολὰς τὰς προτέρας τοῦ Ἡρακλέους, περιβάλλῃ τὸν κόσμον τῆς ἐλαίας, τὸν γλαυκόχροα, ἀμφὶ ταῖς κόμαισιν, ὑψόθεν τῶν βλεφάρων. Th. Πρῶτον ἀνθρώπους πληθυντικῶς εἰπὼν εἰς ἑνικὸν ἀπέδωκε τὸ ᾧτιν ι· ᾧτινι ἀνθρώπῳ κραίνων καὶ τελειῶν τὰς προτέρας καὶ παλαιὰς ἐφετμὰς καὶ ἐντολὰς τοῦ Ἡρακλέους ἀνὴρ Αἰτωλὸς καὶ Ἠλεῖος, Ἑλλανοδίκης καὶ τῶν ἐκεῖσε ἀγωνιζομένων Ἑλλήνων κριτὴς ἀτρεκὴς καὶ ἀληθὴς καὶ ἀπροσωπόληπτος, βάλῃ καὶ τίθησι περὶ ταῖς κόμαις ὑψόθεν τῶν βλεφάρων κόσμον γλαυκόχροα ἐλαίας, ἤτοι στέφανον ἐξ ἐλαίας λευκῆς εἰς κόσμον καὶ τιμήν. δέον δὲ εἰπεῖν γλαυκόχροος πρὸς τὸ ἐλαία ς , ἤτοι τῆς γλαυκὸν εἶδος ἐχούσης, γλαυκόχροα εἶπε πρὸς τὸ κόσμο ν . M. Ὧιτινι κραίνω ν ] οὗτινος ἂν ὑψόθεν, ἀντὶ τοῦ ὑψοῦ, ἀνωτέρω τῶν βλεφάρων, ἐπὶ ταῖς κόμαις βάλῃ στέφανον ἀπὸ ἐλαίας ὑπόλευκον τὴν χρόαν, ἀπροσωπόληπτος Ἑλλανοδίκης, ἀνὴρ Αἰτωλός, ἀντὶ τοῦ Ἠλεῖος, πληρῶν τὰς ἐντολὰς τοῦ Ἡρακλέος τὰς προτέρας, ἀντὶ τοῦ τὰς ἀρχαίας, τουτέστιν ἃς τὴν ἀρχὴν ἐκεῖνος ἐνετείλατο. * οὗτος γὰρ ὁ ποταμὸς ἐν Ὑπερβορέοις ἔχει τὴν τοῦ ῥεύματος ἀρχήν.

O 3 25g — * τῶν ὑπὸ ἐλαιῶν καὶ ἄλλων δένδρων σκιαζομένων. —ἐκόμισεν. M.

O 3 26 Κατὰ πλεονασμὸν τοῦ α γίνεται Ἀμφιτρυωνιάδας διὰ τὸ μέτρον. τὸ γὰρ ἀκόλουθον Ἀμφιτρυωνίδας ἐστίν. * ὁ υἱὸς τοῦ Ἀμφιτρύωνος Ἡρακλῆς.

O 3 27g ἐνθύμησιν καὶ μαρτύριον. * τοὺς ἐκεῖσε ἄνδρας· — ἤγουν τοὺς ἐκεῖ ἄνδρας.

O 3 28g — * πείσας] ἐνταῦθα συναπτέον τὸ λόγ ῳ . ἐκεῖ γὰρ Ἀπόλλων ἐτιμᾶτο διὰ τὸ τοξικὸν εἶναι τὸ ἔθνος, ὥσπερ οὗτος.

O 3 30 Germ. Ἔτε ι ] ἢ τῷ ἔτει καὶ ἐν τῷ τότε χρόνῳ, ἢ τῷ ἔτει καὶ τῷ ἐνδιαιτήματι καὶ τῷ κατοικητηρίῳ. φιλικά.

O 3 30g —τῷ δήμῳ· — * ἐνδιαιτήματι. —πάντας Ἕλληνας δεχομένῳ. Tr.

O 3 31 Ἴσθι ὅτι πᾶν χωρίον τοῖς θεοῖς ἀφιερωμένον, κἂν ψιλὸν φυτῶν ᾖ, ἄλσος καλεῖται, ὡς Ὅμηρος (Il. B 506)· Ὀγχηστόν θ’ ἱερόν, Ποσιδήιον ἀγλαὸν ἄλσος. οὐ γὰρ Ὀγχηστὸς δένδρεσι κομᾷ, ἀλλ’ ἱερός ἐστιν. ἱερῷ τεμένει.

O 3 31g —σκιὰν ἀποτελοῦν τοῖς ἀγωνιζομένοις. * κοινόν.

O 3 24-32 Th. Τὰν καὶ ἥντινα ἐλαίαν ὁ Ἀμφιτρυωνίδης καὶ ὁ υἱὸς τοῦ Ἀμφιτρύωνος Ἡρακλῆς πείσας ἐν λόγῳ τὸν δῆμον τῶν Ὑπερβορέων τὸν θεράποντα τοῦ Ἀπόλλωνος, ἤτοι τοὺς ἐκεῖ ὄντας ἄνδρας καὶ τὸν Ἀπόλλωνα τιμῶντας, πιστὰ φρονέων αὐτοῖς, ἤτοι φίλος ὢν αὐτοῖς καὶ οὐ διὰ μάχης ἰών, ταύτην τὴν ἐλαίαν ἔνεικε καὶ ἐκόμισεν ἀπὸ τῶν σκιερῶν πηγῶν τοῦ Ἴστρου, κάλλιστον (27) μνῆμα καὶ ἐνθύμησιν καὶ μαρτύριον τῶν ἐν Ὀλυμπίᾳ ἀγώνων· ἐκ γὰρ τοῦ κοτίνου ὁ Ὀλυμπιονίκης δηλοῦται· καὶ φύτευμα σκιαρὸν τῷ πανδόκῳ καὶ πάντας δεχομένῳ τοὺς Ἕλληνας αἴτει καὶ ἐνδιαιτήματι, τῷ ἄλσει (31) τοῦ Διὸς ἤτοι τῷ τῷ Διῒ ἀφιερωμένῳ, λέγω δὴ

τῷ ἐν Ὀλυμπίᾳ τόπῳ, καὶ ξυνὸν καὶ κοινὸν στέφανον ἀρετῶν τοῖς ἀνθρώποις, ἤγουν δι' οὗ πάντες οἱ νικῶντες στεφανοῦνται. ἄλσος δὲ οὐ μόνον ὁ κατάφυτος τόπος, ἀλλὰ καὶ ὁ τοῖς θεοῖς ἀνακείμενος καταχρηστικῶς· ἐπειδὴ καὶ πάντες οἱ κατάφυτοι χῶροι τοῖς θεοῖς ἀνετίθεντο. Μ. Ἥντινα, ἤγουν τὴν ἐλαίαν, ὁ Ἡρακλῆς ὁ υἱὸς τοῦ Ἀμφιτρύωνος ἤνεγκέ ποτε ἀπὸ τῶν πηγῶν τοῦ Ἴστρου τοῦ ποταμοῦ τῶν σκιερῶν, ἤγουν τῶν ὑπὸ δένδρων σκιαζομένων, ἤγουν τῶν βαθειῶν, μνημόσυνον (27) κάλλιστον ἐσομένην δηλονότι τῶν ἀγώνων τῶν ἐν Ὀλυμπίᾳ. ἤνεγκε δὲ αὐτὴν πείσας τὸν δῆμον τῶν Ὑπερβορέων, τουτέστι τὸν ἐν τοῖς Ὑπερβορέοις, ἔνθα ἦσαν αἱ ἐλαῖαι, τὸν θεράποντα τοῦ Ἀπόλλωνος. ὅστις, ἤγουν ὁ Ἡρακλῆς, πιστά, τουτέστι φιλικὰ φρονῶν αὐτοῖς, ᾔτησε χάριν τοῦ ἄλσους (31) τοῦ Διός, ἤγουν τοῦ ἀνατεθειμένου τόπου τῷ Διῒ τοῦ παντοδαποὺς ἀνθρώπους ὑποδεχομένου, φύτευμά τε σκιᾶς ποιητικὸν κοινὸν τοῖς ἀνθρώποις καὶ στέφανον τῆς ἀρετῆς τῶν νικώντων ἐν τῷ ἀγῶνι. φύτευμα δὲ λέγει καὶ στέφανον τὴν ἐλαίαν ὡς φυτευθησομένην καὶ εἰς στεφάνους συντελέσουσαν, ταὐτὸ λέγων ὥσπερ εἰ ἔλεγεν· ᾔτησε τὴν ἐλαίαν χάριν τοῦ ἄλσους τοῦ Διός, ἵνα ποιήσῃ αὐτοῖς ἐν αὐτῷ φυτείαν σκιᾶς ποιητικὴν κοινὴν τοῖς ἀνθρώποις, καὶ χρήσηται αὐτῇ καὶ εἰς στεφάνους τῆς ἀρετῆς τῶν νικώντων ἐν τῷ ἀγῶνι. Th.

O 3 33 Τὸ αὐτῷ μὴ μόνον πρὸς τὸ ἁγισθέντω ν , ἀλλὰ καὶ πρὸς τὸ πατρὶ συναπτέον, ἵν' ᾖ τῷ πατρὶ αὐτῷ καὶ αὐτοῦ. τότε.

O 3 33g —τῷ Ἡρακλεῖ. αὐτοῦ, τῷ Διΐ.

O 3 34g —τελεσθέντων, θυσιασθέντων καὶ ἐναγίσματα λαβόντων. ποταπή; πανσέληνος· — ἡ πανσέληνος· ἐν γὰρ τῇ ἑκκαιδεκάτῃ ὁ Ὀλυμπιακὸς τελεῖται.

O 3 35g —χρυσὸν ἅρμα ἔχουσα. ἤτοι τὸ ἑαυτῆς φῶς.

O 3 36g —ἀντέλαμψε. —σελήνη. Th.

O 3 33-36 Ἡρακλῆς πρὸ τοῦ τὴν ἐλαίαν ἐξ Ὑπερβορέων ἐνηνοχέναι μίαν Ὀλυμπιάδα τετέλεκεν· ἐτελεῖτο δὲ ἡ Ὀλυμπιακὴ πανήγυρις ἐν πανσελήνῳ. τόδε γάρ ἐστι λύσις τοῦ ἀντικειμένου. εἶπε γὰρ ἄν τις αὐτῷ· τίνος χάριν τὴν ἐλαίαν ἐκόμισεν; ἤδη γὰρ καὶ τότε τῶν βωμῶν τῷ πατρί, ἤτοι τῷ Διΐ, ἁγισθέντων καὶ τελεσθέντων καὶ ἐναγίσματα λαβόντων, αὐτῷ καὶ ὑπ' αὐτοῦ τοῦ Ἡρακλέους ἡ χρυσάρματος μήνη καὶ σελήνη ἀντέφλεξε καὶ ἀντέλαμψεν ὅλον ὀφθαλμὸν τῆς ἑσπέρας, ποταπή; διχόμηνις καὶ πανσέληνος. ὅτε δέ ἐστιν ἡ σελήνη πανσέληνος, δίχα κόπτει τὸν μῆνα· ἐν γὰρ τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνὸς τοῦτο γίνεται. ὥσπερ δέ φαμεν, ἡ λαμπὰς ἐν νυκτὶ φῶς ἀστράπτει, οὕτω καὶ τό· ἀντέφλεξεν ὅλον ὀφθαλμὸν τῆς ἑσπέρας, τουτέστι διαφανῆ τὴν ἑσπέραν τῷ οἰκείῳ φωτὶ ἐποίησε. τὸ δὲ ὀφθαλμὸν λέγει, ἐπειδὴ τὸ τῆς σελήνης φῶς τοὺς ἐν νυκτὶ πορευομένους βλέπειν ποιεῖ καὶ ἀπροσκόπτως τὴν πορείαν ἐργάζεσθαι. μὴ λάβῃς δὲ πρὸς τὸ διχόμηνις τὸ οὖσα ἔξωθεν. δέον γὰρ διχομήνως εἰπεῖν, διχόμηνις εἶπε πρὸς τὸ μήν η . λέγεται δὲ μήνη, διότι τοὺς μῆνας αὕτη ἐργάζεται ἀληθῆ καὶ ἀπροσωπόληπτον.

O 3 38g ἤγουν τὸ κατὰ πέντε χρόνους γίνεσθαι. —ὁμοῦ. Germ.

O 3 39 Ζαθέοι ς ] τοῖς ἄγαν θείοις. ἔταξεν ὁ Ἡρακλῆς.

O 3 39g —τοῖς θείοις ἢ τοῖς θαυμαστοῖς διὰ τοὺς ἀγῶνας. — * Ἀλφειοῦ γὰρ κρημνοὶ ὁ τῶν Ὀλυμπίων τόπος. Μ.

O 3 33-39 Ἤδη γὰρ αὐτ ῷ ] ἤδη γὰρ ὑπ' αὐτοῦ, ἤγουν τοῦ Ἡρακλέος, τοῦ βωμοῦ μὲν τοῦ πατρὸς αὐτοῦ τοῦ Διὸς ἁγισθέντος, τουτέστι δι' ἐναγισμάτων σεβασθέντος, ἡ πανσέληνος σελήνη ἡ χρυσάρματος ὁλόκληρον τὸν ἑαυτῆς ὀφθαλμὸν ἀντέφλεξεν ἐπὶ τῆς ἑσπέρας, ἀντὶ τοῦ δεδυκότος τοῦ ἡλίου αὐτὴ τὸν ἑαυτῆς ὀφθαλμὸν λαμπρῶς ἀντέθηκε. λέγεται δὲ ὁ λόγος ἀντιστρόφως ἀντὶ τοῦ, ἤδη γὰρ τῆς πανσελήνου σελήνης τῆς χρυσαρμάτου ὁλόκληρον τὸν ἑαυτῆς ὀφθαλμὸν ἀντιφλεξάσης ἐπὶ τῆς ἑσπέρας, ὁ βωμὸς μὲν τοῦ πατρὸς αὐτοῦ, τουτέστι τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἡρακλέος, δι’ ἐναγισμάτων ὑπ’ αὐτοῦ ἐτιμήθη· μετὰ γὰρ τὴν πανσέληνον αἱ θυσίαι ἐπὶ τῷ βωμῷ, φασίν, ἐτελοῦντο. καὶ μεγάλων ἀγώνων ἁγνὴν κρίσιν, ἤγουν ἀδωροδόκητον ἀπροσωπόληπτον, καὶ πενταετηρίδα ἅμα κατέστησεν, αὐτὸς δηλονότι ὁ Ἡρακλῆς, ἐπὶ τοῖς κρημνοῖς τοῦ Ἀλφειοῦ ποταμοῦ τοῖς ἄγαν θείοις. τοῦτο τὸ ἀλλὰ πρὸς τὸ μὲν ἔχει τὴν δύναμιν.

O 3 40g — θάλλοντα εἶχε. ** ὁ τόπος.

O 3 41g —δρόμοις. —τοῦ πλησίον τοῦ Κρονίου λόφου κειμένου. * τῶν δένδρων.

O 3 43 Th. Ἀπορήσειεν ἄν τις ἐνταῦθα, πῶς τὸ κῆπος λέγει μὴ ὄντων δένδρων· καί φαμεν, ὥσπερ ἄνω εἰρήκει τὸν αὐτὸν τοῦτον τόπον ἄλσος, οὕτω καὶ τοῦτο· ἢ τοῦτον λέγει Πίνδαρος ὡς πρὸς τὸν καιρὸν αὐτοῦ. ἢ ἐπειδὴ κᾶπος καὶ τὸ πνεῦμα καὶ ἡ φάτνη λέγεται· ἔτρεχον δὲ ἐν τούτῳ τῷ τόπῳ οἱ ἵπποι κᾶπος ἀποτελοῦντες ἐκ τῶν μυκτήρων· λόγον ἂν ἔχοι λέγειν καὶ τὸν τόπον κᾶπος ἀπὸ τοῦ ἐν αὐτῷ συμβαίνοντος. κρεῖττον δέ ἐστι τὸ πρῶτον. * ταχείαις· — ταχείαις, σφοδραῖς.

O 3 44g ὑποκεῖσθαι καὶ δουλεύειν ὡς καὶ βλάβην ἐντεῦθεν τοῖς τῶν ἀγωνιζομένων ἐγγίνεσθαι σώμασιν. Germ Ἔδοξεν αὐτῷ ὁ κῆπος τούτων ὑπάρχων γυμνὸς ὑπακουέμεν καὶ ὑποτάσσεσθαι καὶ καταλάμπεσθαι ταῖς ὀξείαις αὐγαῖς τοῦ ἡλίου.

O 3 45g οὖν. — ** γῆν. —ἔρχεσθαι. —ἐκίνει. τὴν ἐν τῷ Ἴστρῳ.

O 3 46g — ** Ἰστριανὴν γράφε διὰ τὸ μέτρον, ἵν’ οἰκεῖον ᾖ τὸ κῶλον τῷ τῶν ἑτέρων ἐπῳδῶν. — * τὸν Ἡρακλέα. —ἐν τῷ Ἴστρῳ ἤτοι ἐν Ὑπερβορέοις. ἡ ἱππικὴ Ἄρτεμις.

O 3 47g * ἐνταῦθα γὰρ ναὸς αὐτῆς, οὗ καὶ Ἰφιγένεια ὑπ’ αὐτῆς ἁρπαγεῖσα κεκόμισται. ** ἐδεξιώσατο αὐτόν.

O 3 48g —ἐξοχῶν καὶ κρημνῶν. πολυστρόφων καὶ κοίλων.

O 3 49g * οἰκείως δὲ ἔχει τὸ μυχῶν πρὸς τὸ δειρῶ ν· ἔνθα γὰρ ὄρη, καὶ φάραγγες καὶ κρημνοί. Th.

O 3 50 Εἰκότως εἶπε τὸ ἀγγελίαις · διὰ γὰρ μηνύματος ἐπέταττεν αὐτῷ τοὺς ἄθλους τελεῖν· ἐδεδίει γὰρ αὐτὸν αὐτοπροσώπως θεᾶσθαι. * ὁπηνίκα.

O 3 50g — * αὐτὸν τὸν Ἡρακλέα. —ἐν μηνύμασι· ** δι’ ἀγγέλων γὰρ αὐτῷ προσέταττεν. Th.

O 3 51 Ὅτε Ἀλκμήνη τοῦτον ἐνεκυμόνει καὶ ἡ Εὐρυσθέως μήτηρ τὸν Εὐρυσθέα, φασὶ τὴν Ἥραν φθονοῦσαν Ἀλκμήνῃ διὰ τὰς τοῦ Διὸς σποράς, ἐλθοῦσαν πρὸς Δία αἰτῆσαι αὐτὸν παρασκευάσαι τὸν πρῶτον τεχθήσεσθαι μέλλοντα κύριον ἔσεσθαι τοῦ ὕστερον. κατανεύσαντος οὖν τοῦ Διὸς Ἥραν ἐν τάχει ποιῆσαι τὴν Εὐρυσθέως γονήν. λέγει οὖν τὴν τοῦ Διὸς πρὸς Ἥραν κατάνευσιν ἀνάγκην. ὕστερον δὲ Ἡρακλῆς ὑπὸ Ἥρας μανεὶς ἐλθὼν εἰς Ἀπόλλωνα καὶ χρώμενος αὐτῷ περὶ τῆς νόσου, ἤκουσε παρ’ αὐτοῦ μὴ ἂν πεπαῦσθαι τῆς νόσου, εἰ μὴ προσελθόντα τῷ Εὐρυσθεῖ ποιεῖν, ὅσα ἂν ἐκεῖνος κελεύῃ. Ταϋγέτα δὲ ἡ Ἄτλαντος θυγάτηρ ὑπὸ Διὸς ἐρασθεῖσα μετεβλήθη εἰς ἔλαφον ὑπ’ Ἀρτέμιδος καὶ οὕτω τὸν γάμον ἐξέφυγεν, ὕστερον δὲ ὑπ’ αὐτῆς πάλιν ἐπανῆλθεν εἰς ἄνθρωπον. τούτων οὖν ἀμειβομένη τῇ Ἀρτέμιδι ἔλαφον ἀνατίθησιν αὐτῇ χρυσῷ κεκοσμημένην τὰ κέρατα, ἐν οἷς ἐπέγραφε· Ταϋγέτα ταύτην ἀφιεροῖ Ἀρτέμιδι· ἣν ἀγαγεῖν ὑπ’ Εὐρυσθέως Ἡρακλῆς ἐπετάχθη· ὅθεν διώκων αὐτὴν μέχρις Ὑπερβορέων ἀφῖκτο, ἀφ’ οὗ τὴν ἐλαίαν εἰς Ὀλυμπίαν ἤγαγε. τὸ δὲ ἀντιθεῖσα (54) ἢ ἀνατιθεῖσα κατὰ συγκοπήν, ἢ ἀνθ’ ἑαυτῆς θεῖσα. ** Εὐρυσθέος] διὰ τὸ μέτρον τὸ κοινὸν ἐτέθη.

O 3 51g — ηὐτρέπιζεν. —ἡ ἀπὸ τοῦ Διός. ** χρυσὰ κέρατα ἔχουσαν.

O 3 52g — ** κομίσοντα. ἔλαφον.

O 3 53g —ἡ θυγάτηρ Ἄτλαντος. Tr.

O 3 54

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀρθωσία ἡ Ἄρτεμις παρὰ τὸ Ὀρθώσιον, ὅπερ ἐστὶν ὄρος Ἀρκαδικόν. ἔστι δὲ καὶ Ὄρθιον ὄρος Ἀρκαδίας, ἀφ' οὗ καὶ ἡ θεὸς Ὀρθὶς καὶ Ὀρθωσία καλεῖται. ἢ ἡ ὀρθοῦσα τὰς γυναῖκας καὶ εἰς σωτηρίαν ἐκ τῶν τοκετῶν ἄγουσα. * τῇ ἐν Ὀρθωσίῳ ὄρει Ἀρκαδίας τιμωμένῃ Ἀρτέμιδι· ἢ τῇ ὀρθούσῃ τὰς γυναῖκας ἐν τῷ τοκετῷ· ἔφορος γὰρ λοχείας· — ** τῇ Ἀρτέμιδι δηλονότι.

O 3 54g — ** αὐτὴν δηλονότι. M.

O 3 42-54 Τούτων, ἤγουν τῶν δένδρων, γυμνὸς ὢν ὁ κῆπος, τουτέστιν ὁ μετέωρος τόπος καὶ ὑπὸ τῶν ἀνέμων καταπνεόμενος, ἔδοξεν αὐτῷ, τῷ Ἡρακλεῖ δηλονότι, ὑπακούειν ταῖς ὀξείαις αὐγαῖς τοῦ ἡλίου, ἀντὶ τοῦ εἰς πεῖραν ἔρχεσθαι τῶν σφοδρῶν ἀκτίνων τοῦ ἡλίου. τότε δὴ (45) ἐφρόντιζεν ἡ ψυχὴ αὐτοῦ, περιφραστικῶς ἀντὶ τοῦ αὐτός, πορεύεσθαι εἰς τὴν γῆν τὴν περὶ τὸν Ἴστρον τὸν ποταμόν. ἔνθα (46) ἡ θυγάτηρ τῆς Λητοῦς ἡ Ἄρτεμις ἡ ἱπποσόα, τουτέστιν ἡ τοὺς ἵππους σοβοῦσα, ἤγουν διεγείρουσα εἰς δρόμον, ἤτοι ἡ ἱππική, ἐδεξιώσατο (48) αὐτὸν ἐλθόντα ἀπὸ τῶν ἐξοχῶν καὶ τῶν μυχῶν, ἤγουν τῶν καταδύσεων τῶν πολυστρόφων τῆς Ἀρκαδίας, ὁπηνίκα (50) ἀνάγκη ἀπὸ τοῦ πατρὸς αὐτοῦ τοῦ Διὸς παρεσκεύαζεν αὐτὸν διὰ τῶν προσταγμάτων τοῦ Εὐρυσθέως τῶν δι' ἀγγέλων αὐτῷ προσταττομένων· δι' ἀγγέλων γάρ, φασί, προσέταττεν αὐτῷ ὁ Εὐρυσθεύς, ἃ προσέταττε· τὴν ἔλαφον (52) τὴν θήλειαν, τὴν χρυσόκερων ἄξοντα, ἣν ἡ Ταϋγέτη ἡ τοῦ Ἄτλαντος θυγάτηρ ἀνατιθεῖσα Ἀρτέμιδι τῇ Ὀρθωσίᾳ ἐπέγραψεν ἱεράν, αὐτῆς δηλονότι. τὴν ἔλαφον. [15]

O 3 55g —ζητῶν· ** διώκων. — ** ἴδε] διὰ τὸ μέτρον. —τὴν ἐν Ὑπερβορέοις. ** πνοαῖς.

O 3 56g —ἀνωτάτω. * ψυχροῦ] σύναπτε τοῦτο πρὸς τὸ πνοαῖ ς .

O 3 57g — τότε. —τὰς ἐκεῖ ἐλαίας. — * ἐθαύμαζε. —ἐκεῖ. τῶν δένδρων.

O 3 58g — * αὐτόν. —ἐπιθυμία. Tr.

O 3 59 Δωδεκάγναμπτο ν ] τὸ ιβ' γναμπτοὺς ἔχον, ἐπειδὴ καὶ ιβ' δρόμους ἐποίει τὸ τέλειον ἅρμα τῶν ἵππων, τὸ δὲ πωλικὸν η'. * τὸ ιβ' καμπτοὺς ἔχον· ἐπειδὴ καὶ ιβ' δρόμους ἐποίει τὸ τέλειον ἅρμα.

O 3 61g τὴν τῶν Θεοξενίων. * εὐμενής.

O 3 62g — * ἰσοθέοις. — * ἔρχεται. βαθυκόλπου.

O 3 63g —διπλοῖς. —Κάστορι καὶ Πολυδεύκει. τούτοις.

O 3 64g —ἰών] * εἰς· —ἀπερχόμενος· ἡ δὲ ἱστορία ἐν ἀρχῇ τοῦ ἐπινικίου ἐρρέθη· — ἀπερχόμενος εἰς Ὄλυμπον. θαυμαστόν.

O 3 65g —τὸν Ὀλυμπιακόν. —διεξάγειν. ταχείας.

O 3 67 ἁρμάτων δρόμου. M.

O 3 55-67 Ταύτην διώκων εἶδε καὶ ἐκείνην τὴν γῆν τὴν τὰς ἐλαίας ἔχουσαν, ὄπισθεν τῶν πνοῶν (56) τοῦ Βορέου τοῦ ψυχροῦ, ἤγουν κατὰ τὰ Ὑπερβόρεα μέρη· ὅπου σταθεὶς ἐθαύμαζε τὰ δένδρα, ὧν γλυκὺς ἔρως ἔλαβεν αὐτόν, ὥστε φυτεῦσαι ἀπ' αὐτῶν δηλονότι, περὶ τὸ τέρμα τοῦ δρόμου τῶν ἵππων τὸ δωδεκάγναμπτον (59), ἤγουν ὃ δωδεκάκις οἱ ἀγωνιζόμενοι τεθρίπποις περιήρχοντο. καὶ δὴ (61) εἰς ταύτην τὴν ἑορτήν, ἤγουν εἰς τὰ Θεοξένια, εὐμενὴς ἔρχεται ὁ Ἡρακλῆς σὺν τοῖς δυσὶ παισὶ τῆς Λήδας τῆς βαθυζώνου, ἤγουν τῆς πολυτελεῖ ζώνῃ ποτὲ χρωμένης, ἤγουν τῆς πλουσίας· καθὸ λέγεται καὶ βαθὺς πλοῦτος ὁ πολὺς ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης ἤτοι δασείας· τοῖς ἀντιθέοις (62), ἤγουν τοῖς ἰσοθέοις, τουτέστι τοῖς Διοσκούροις. τούτοις γὰρ ἐπέτραπεν, ἤγουν ἐπὶ τῇ ἐξουσίᾳ γὰρ τούτων ἔδωκεν εἰς τὸν οὐρανὸν αὐτὸς ἀπερχόμενος, νέμειν, ἤγουν διοικεῖν τὸν θαυμαστὸν ἀγῶνα, περί τε τῆς ἀρετῆς, ἤγουν τῆς δυνάμεως, τῆς ἐμπειρίας τῶν ἀνδρῶν, καὶ τῆς διφρηλασίας, ἤγουν τῆς σπουδαίας κινήσεως τῶν δίφρων, τῆς ῥιμφαρμάτου, τουτέστι δι' ἧς ἡ ταχυτὴς τῶν ἁρμάτων δείκνυται. οὖν. [15]

O 3 67g — * που. Th.

O 3 68 Ἐμμενίδαι φατρία Θήρωνος ἐν Σικελίᾳ. Τηλέμαχος γάρ τις καταλύσας τὴν Φαλάριδος τυραννίδα ἐν Ἀκράγαντι, τὴν βασιλείαν ἐκτήσατο· οὗ παῖς γίνεται Αἰνησίδαμος ὁ Θήρωνος πατήρ. εἰς τοῦτο.

O 3 68g —εἰπεῖν. —τοῖς προγόνοις τοῦ Θήρωνος. ** καί.

O 3 70g δόξαν. —τῶν καλοὺς ἵππους ἐχόντων. Κάστορος καὶ Πολυδεύκους.

O 3 71g —τῶν ἄλλων· — πάνυ πλείοσι τῶν ἄλλων ἀνθρώπων. * φιλοφροσύναις· — ** φιλοφρονητικαῖς.

O 3 72g —τοὺς Διοσκούρους. —ἔρχονται. — ἃς ἐν ταῖς πανηγύρεσιν αὐτῶν ποιοῦσιν. τηροῦντες.

O 3 74g ** θεῶν. — * ἑορτάς. Th.

O 3 71-74 Ὅτι ἐπ’ αὐτοὺς τοὺς Διοσκούρους οἱ πρόγονοι τοῦ Θήρωνος καὶ αὐτὸς ὁ Θήρων οἴχονται καὶ πορεύονται ἐν πλείσταις ἀνθρώπων ξενίαις τραπέζαις, τουτέστιν ὡς οὐδένες ἀνθρώπων θυσίαις καὶ πανηγύρεσιν αὐτοὺς τιμῶσι, φυλάσσοντες καὶ τηροῦντες τὰς τελετὰς καὶ τὰς ἑορτὰς τῶν μακάρων ἐν εὐσεβεῖ γνώμᾳ, τουτέστιν εὐσεβεῖς ὄντες καὶ περὶ τὰς τῶν θεῶν τιμὰς ἀσχολούμενοι. M.

O 3 67-74 Ἐμὲ δ’ οὖν ἡ ψυχὴ διεγείρει εἰπεῖν, δόξαν ἐλθεῖν τοῖς Ἐμμενίδαις, ἤγουν τῇ φατρίᾳ τοῦ Θήρωνος, τουτέστι τοῖς Ἀκραγαντίνοις καὶ τῷ Θήρωνι, τῶν Τυνδαριδῶν, ἤγουν τῶν Διοσκούρων τῶν εὐίππων, τουτέστι τῶν ἐπὶ καλῶν ἵππων ὀχουμένων, διδόντων αὐτὴν δηλονότι, διότι (71) αὐτοὺς ἐπέρχονται, ἤγουν δεξιοῦνται, διὰ τραπεζῶν ξενοδοχικῶν πάνυ πλειόνων τῶν ἄλλων ἀνθρώπων, ἀντὶ τοῦ τῶν τραπεζῶν, ἃς οἱ ἄλλοι ποιοῦσιν ἄνθρωποι. ἢ οὕτω· διότι αὐτοὺς δεξιοῦνται διὰ πλείστων τραπεζῶν πρὸς ἀνθρώπους ξενοδοχικῶν, κατὰ εὐσεβῆ προαίρεσιν φυλάσσοντες, ἤγουν τηροῦντες, τιμῶντες τὰς ἑορτὰς τῶν θεῶν. κρεῖττον τῶν ἄλλων στοιχείων ἐστί.

O 3 75g —τῶν ἄλλων κτημάτων. ἐντιμότατον.

O 3 77 Th. Τὸ δε οὐκ ἔστιν ἐνταῦθα ἀργόν, ἀλλ’ Ἀττικόν· καὶ γὰρ καὶ ἐν ἀποδόσει τῶν παραβολῶν τιθέαμεν. λέγομεν γάρ· ὥσπερ ὁ δεῖνα κακός, οὕτω δὲ καὶ ὁ δεῖνα. * πρὸς τὸ ἀκρότατον· ταῖς αὐτοῦ.

O 3 78g —ἐρχόμενος. Germ.

O 3 79 Οἴκοθε ν ] ἀντὶ τοῦ τῶν ἐκπονημάτων οἰκείων, οὐ τῶν ἐκπάτροθεν καὶ προγονικῶν. Th. Ἡρακλέος στηλᾶ ν ] ἃς ἐν Γαδείροις ἔστησεν, ὅτε πρὸς ζήτησιν τῶν Γηρυόνου βοῶν ἀφῖκτο. ὅτι δὲ οὐκ ἔστι τούτων ἐπέκεινα ἐλθεῖν, ἡ παροιμία δηλοῖ· τὸ πέρα Γαδείρων οὐ περατόν. ἀφ’ ἑτέρου καὶ οὐκ ἀπὸ τύχης πατέρων, ὡς ἕτεροι.

O 3 79g — * τὸ ἐπέκεινα τῶν στηλῶν. ἤτοι ἄγνωστον καὶ ἀκατάληπτον.

O 3 81 Germ. Κεινὸς εἴη ν ] γράφεται καὶ κεῖνος ἀντὶ τοῦ ἐκεῖνος εἴην διώκων ὁ τῶν δυνατῶν ἐφιέμενος καὶ μὴ ἀδυνάτων. * αὐτὸ τὸ ἐπέκεινα.

O 3 81g — * μάταιος, εἰ τοῦτο ζητοίην. — ** ἄν· Th.

O 3 77-81 Ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι ὥσπερ τῶν Ἡρακλείων στηλῶν οὐκ ἔστιν ἐπέκεινά τι, οὕτω καὶ Θήρων εἰς τὸ ἀκρότατον τοῦ θαύματος ἰὼν οὐκ ἂν ἔχοι πορρωτέρω ἐλθεῖν· πάντες γὰρ καὶ σοφοὶ καὶ ἄσοφοι μὴ εἶναι ταύτης ἔτι μείζω εὐδαιμονίαν εἴποιεν, ὥστε καὶ αὐτός, εἰ πλέον τι ζητοίην πρὸς τὸν αὐτοῦ ἔπαινον, μάταιος ἂν εἴην. M.

O 3 75-81 Εἰ δὲ ἄριστον μέν ἐστι τὸ ὕδωρ τῶν ἄλλων δηλονότι στοιχείων, τῶν κτημάτων δὲ ὁ χρυσός ἐστιν αἰδοιέστατον, κτῆμα δηλονότι, ἤγουν τιμιώτατον· τὸ γὰρ πλεῖστα αἰδοῦς ἄξιον τιμιώτατον πάντως· νῦν γε (77) ὁ Θήρων πρὸς τὴν ἐσχατιάν, ἤγουν τὸ ἀκρότατον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καταλαμβάνων, ἅπτεται ταῖς οἴκοθεν ἀρεταῖς, (79) τουτέστι ταῖς γνησίας, ταῖς οἰκείαις τῷ γένει αὐτοῦ, τῶν στηλῶν τοῦ Ἡρακλέος. τοῦτο δέ φησιν, ἐπειδὴ ἐνίκησε τὰ Ὀλύμπια, τὸν κράτιστον ἀγῶνα τῶν ἄλλων. τὸ πόρσω δέ, τουτέστι τὸ πόῤῥω, ἀντὶ τοῦ τὸ περαιτέρω, ἄβατόν ἐστι καὶ ὑπὸ τῶν σοφῶν καὶ ὑπὸ τῶν ἀσόφων. οὐ μὴν διώξ ω , ἤγουν ζητήσω, τουτέστιν ὅσον τὸ κατ’ ἐμὲ οὐκ ἂν ἐδίωξα. κενός, ἤγουν μάταιος εἴην, εἰ ἐζήτησα, τοῦτο δηλονότι. § ἄβατον τὸ μὴ πρέπον πατηθῆναι, καὶ ὃ οὐ διῆλθέ τις, καὶ ὃ οὐ δύναταί τις διελθεῖν, ἤγουν τὸ ἀδιεξίτητον· ἐνταῦθα κατὰ τὸ τρίτον λέγεται σημαινόμενον. Ἐπίνικοι Ὀλυμπιονίκαις.

O 4 t Ψαύμιδι Καμαριναίῳ ἀπήνῃ. Ὠιδὴ δʹ. [Δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ δʹ εἴδους. ἔστι δὲ τὸ ᾆσμα στροφῆς μιᾶς. Παλαιόν. Τοῦ δʹ εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ κώλων ἑκάστη ιεʹ.

O 4 prae 1 Τὸ αʹ προσοδιακὸν ἀνακλώμενον δίμετρον ὑπερκατάληκτον. ἀνακλώμενον δὲ καλεῖται τὸ μέτρον, ὅτι πολλάκις ὁ λείπων χρόνος ἔν τινι βάσει ἀνακλᾶται εἰς ἄλλην βάσιν. παίων γάρ ἐστι γʹ ὁ αʹ ποὺς ἀντὶ Ἰωνικοῦ τοῦ ἀπ’ ἐλάσσονος, καὶ ὁ λείπων χρόνος ἀνεκλάσθη εἰς τελευταίαν τοῦ κώλου συλλαβήν. Τὸ βʹ ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. Τὸ γʹ ἰθυφαλλικόν, ἤτοι τροχαϊκὸν δίμετρον βραχυκατάληκτον. τοῦτο δὲ καὶ ἡμιόλιον λέγεται, ὡς ἔχον τὴν συζυγίαν τῶν ποδῶν καὶ τὸ ἥμισυ ταύτης. ἡ τελευταία ἀδιάφορος. Τὸ δʹ Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ἀπὸ μείζονος, ἡ αʹ δὲ μακρὰ τοῦ Ἰωνικοῦ διαλύεται εἰς βʹ βραχείας, καὶ γίνεται ὁ ποὺς πεντασύλλαβος. τοῦτο καὶ ἀναπαιστικόν ἐστιν, ὡς ἐμοὶ δοκεῖ, δίμετρον ἀκατάληκτον. Τὸ εʹ Ἰωνικὸν δίμετρον ἀκατάληκτον, τῶν ἀρχουσῶν οὐσῶν ἀδιαφόρων, ὡς ἐν τῷ αʹ Ἰωνικῷ ἀρχομένου ἰάμβου καὶ γινομένου βʹ παίωνος, ὃ καὶ Ἡφαιστίων παρατηρεῖ· πολλάκις γάρ, φησίν, ἀπὸ βραχείας ὁ μείζων Ἰωνικὸς ἄρχεται τοῖς μετρικοῖς, ὁ δὲ βʹ ἀπὸ τροχαίου, ὃς οἰκεῖός ἐστι τοῖς Ἰωνικοῖς. τοῦτο καὶ ἰαμβικόν ἐστιν ἑφθημιμερὲς ἐκ βʹ ἀναπαίστου. Τὸ ϛʹ Ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον. Τὸ ζʹ λογαοιδικόν. ἐξ ἀναπαίστων δὲ ἢ δακτύλων σύγκειται τοῦτο τὸ μέτρον, ἐνταῦθα δὲ ἐκ σπονδείων, πλὴν τῆς τελευταίας· οἰκεῖοι δὲ καὶ οἱ σπονδεῖοι ἀναπαίστοις. Τὸ ηʹ Φερεκράτειον ἀντισπαστικόν. ἔστι δ’ ὅτε ἐκ σπονδείου ἄρχεται ὁ αʹ ἀντίσπαστος. πολλάκις δὲ καὶ διτρόχαιος γίνεται. ἐνδέει δὲ συλλαβῆς πρὸς τὸ τέλειον Φερεκράτειον εἶναι. δίμετρον γάρ ἐστι βραχυκατάληκτον καὶ ἡμιόλιον. Τὸ θʹ ἰαμβικὸν ἑφθημιμερές. Τὸ ιʹ ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον· τῆς γὰρ αʹ συζυγίας οὔσης ἰαμβικῆς ἡ βʹ ἐστὶ τροχαϊκή. διὰ τοῦτο ἐπιωνικὸν ὀνομάζεται. Τὸ ιαʹ τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ βʹ ποδὸς δακτύλου, τοῦ δʹ δὲ χορείου. διελύθη γὰρ ὁ τροχαῖος εἰς τρίβραχυν. Τὸ ιβʹ Ἰωνικὸν ἐξ ἐλάσσονος καὶ μείζονος ἢ διτροχαίου δίμετρον ὑπερκατάληκτον. Τὸ ιγʹ Ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον, ἤτοι δίμετρον βραχυκατάληκτον. τοῦτο καὶ ἀναπαιστικόν ἐστι πενθημιμερές. Τὸ ιδʹ Ἰωνικὸν ἐκ παίωνος βʹ. ἡ κατακλεὶς τροχαῖος. Τὸ ιεʹ ἰαμβικὸν πενθημιμερές· ἑξῆς δὲ ἐπὶ τῷ τέλει τῶν στροφῶν καὶ ἀντιστροφῶν παράγραφος. Περὶ τῶν κώλων τῶν ἐπῳδῶν. Ἡ ἐπῳδὸς κώλων ιβʹ. Τὸ αʹ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον· Τὸ βʹ χοριαμβικὸν δίμετρον καταληκτικόν· ἡ κατακλεὶς ἴαμβος, ὡς συγγενής. Τὸ γʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ δʹ προσοδιακὸν ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς, ἤτοι δίμετρον ὑπερκατάληκτον. Τὸ εʹ ἐπιχοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἀπὸ τροχαίων ἀρχόμενον. ὁ αʹ δὲ τροχαῖός ἐστι τρίβραχυς. Τὸ ϛʹ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον· ὁ βʹ τρίβραχυς. Τὸ ζʹ δακτυλικὸν τρίμετρον καταληκτικόν· κατὰ μονοποδίαν γὰρ μετρεῖται τὰ τοιαῦτα. μετρεῖται δὲ ὡς προσοδιακόν, τοῦ αʹ χοριάμβου. Τὸ ηʹ περιοδικόν, διπλοῦς ἴαμβος καὶ διπλοῦς τροχαῖος, ὡς ἐν τῷ αʹ κώλῳ εἴρηται τῆς στροφῆς τοῦ βʹ εἴδους.

O 4 prae 1 Τὸ θʹ τροχαϊκὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερὲς ἰάμβου ἀρχομένου. δέχεται δὲ καὶ ἴαμβον τὸ τοιοῦτον μέτρον. οἱ δὲ λέγοντες τοῦτο περιοδικὸν οὐ καλῶς λέγουσι. Τὸ ιʹ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, τοῦ γʹ ποδὸς ἀναπαίστου. Τὸ ιαʹ τροχαϊκὸν δίμετρον ἀκατάληκτον,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λυομένου τοῦ α′ ποδός, τοῦ δὲ δ′ ἰάμβου· ὡς δὲ ἐμοὶ δοκεῖ, προσοδιακόν ἐστι δίμετρον ἀκατάληκτον, ἐκ διτροχαίου διαλελυμένου ἢ μᾶλλον ἐπιτρίτου δ′ καὶ χοριάμβου. ἰστέον δέ, ὅτι οἱ δ′ τροχαῖοι ἐπίτριτον μέτρον καλοῦνται, ὥσπερ καὶ οἱ γ′ ἡμιόλιον. Τὸ ιβ′ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. ἑξῆς δὲ ἐπὶ τῷ τέλει τῆς ἐπῳδοῦ κορωνὶς καὶ παράγραφος. Th.

O 4 1 Ἐπειδὴ ἡ τοῦ Ψαύμιος νίκη ἐν Ὀλυμπίᾳ ἐγένετο, τὰ δὲ Ὀλύμπια πρὸς τὸν Δία ἐστίν, εἰκότως νῦν τοῦτον ἐπιβοᾶται. εἰπὼν δέ· ἐλατὴρ ὑπέρτατε βροντᾶς, καὶ πολλὰ διὰ μέσου θεὶς πάλιν ἐπαναλαμβάνει τὸν αὑτοῦ λόγον καί φησιν· ἀλλὰ Κρόνου παῖ. ἐκ δὲ τοῦ εἰπεῖν· ἐλατὴρ τῆς βροντῆς, διοικητὴν αὐτὸν τῶν οὐρανίων πάντων φησίν. M. Ἐλατὴρ ὑπέρτατε βροντᾶ ς ] ὡς ἐπὶ ἵππου χρῆται τῷ λόγῳ· ἴσως δὲ οὐχ ἅρμα τοῦ Διὸς βούλεται τὴν βροντὴν ὑποτιθέναι, ἀλλὰ μεταφορικῶς τίθησι τὰ ὀνόματα, ἵν’ ᾖ ὁ λόγος οὕτως· ὦ Ζεῦ ὑψηλότατε, ἐλατὴρ τῆς βροντῆς τῆς ἀκαμαντόποδος, ἀντὶ τοῦ ὃς κινεῖς τὴν βροντὴν τὴν ἐπὶ πλεῖστον διικνουμένην χωρὶς ἀτονίας. ** Τὸ προοίμιον εὐκτικόν.

O 4 1g —διοικητά. —ὕψιστε. τῆς ταχέως γινομένης.

O 4 3 M. Τεαὶ γὰρ ὧρα ι ] διὰ μέσου ταῦτα τίθησι κατασκευαστικὰ τῆς ἐπενεχθησομένης ἀξιώσεως· ἃ ἐπεὶ εἶδεν ἐπὶ πολὺ παραταθέντα, ἐπαναλαμβάνει τὸν πρὸς τὸν Δία λόγον, εἶτα ἀποδίδωσι τὴν ἀξίωσιν. αἱ σαὶ γὰρ ὧραι, ἤγουν αἱ περίοδοι τῶν Ὀλυμπιάδων αἱ σοὶ ἀνατεθειμέναι, ἑλισσόμεναι, ἤγουν ἐπανακυκλούμεναι, ἔπεμψάν με μετ’ ᾠδῆς ποικίλων μελῶν φόρμιγγος, μάρτυρα, ἤγουν ἀγγελέα, ὑμνητὴν ὑψηλοτάτων ἀγώνων. φίλων γὰρ εὖ πρασσόντων, ἀντὶ τοῦ εὐτυχησάντων, νικησάντων, ἔσαναν, ἀντὶ τοῦ ἐτέρφθησαν, πρὸς τὴν ἀγγελίαν τὴν γλυκεῖαν οἱ ἀγαθοί. ** ὦ.

O 4 3g —ὁ τῶν σῶν Ὀλυμπίων καιρός. Th.

O 4 4 Οἱ τὸ ὑπὸ ποικιλοφόρμιγγος ἀντὶ τοῦ μετὰ ποικιλοφόρμιγγος λέγοντες καὶ τὴν ὑπό ἀντὶ τῆς μετά λαμβάνοντες καὶ πρὸς τὸ ἔπεμψαν συνάπτοντες, οὔ μοι δοκοῦσι καλῶς λέγειν. πρὸς γὰρ τὸ μάρτυρα ἔστιν ἡ συνάφεια οὕτω· μάρτυρα ἀέθλων ὑπὸ ποικιλοφόρμιγγος ἀοιδῆς, ἤγουν ὑπὸ τῆς ἐμῆς ποιήσεως δήλους τοὺς ἄθλους τοῖς ἑξῆς καταστήσοντα. τῆς ποικιλλομένης ὑπὸ κιθάρας.

O 4 4g —εὐφημίας. ἐπανιοῦσαι ἐκ περιόδου.

O 4 5g —αὗται γὰρ αἴτιαι τοῦ ἐμοῦ ὕμνου. κρείττων γὰρ ὁ Ὀλυμπιακὸς τῶν ἄλλων ἀγώνων.

O 4 6g — * μαρτυροῦσι γὰρ οἱ ὕμνοι τοῖς ἑξῆς ἀνθρώποις τὰ πάλαι γινόμενα. πρὸς οὖν τοῦτο καὶ τὸ ὑπὸ ποικιλοφόρμιγγος σύναπτε. Germ.

O 4 1-6 Ἡ σύνταξις αὕτη· ὦ Ζεῦ ὑπέρτατε ἐλατὴρ τῆς βροντῆς τῆς ἀκαμαντόποδος, αἱ τεαὶ γὰρ ὧραι ἑλισσόμεναι ἔπεμψαν ἐμὲ μάρτυρα τῶν ὑψηλοτάτων ἀέθλων μετὰ τῆς ἀοιδῆς τῆς ποικιλοφόρμιγγος. Germ.

O 4 7 Ξείνων δ ’ εὖ πρασσόντω ν ] καλῶς εἶπεν εὖ πρασσόντω ν , ὅτι τὸ πράσσω λαμβάνεται καὶ ἐπὶ καλῷ καὶ κακῷ, ἤγουν πράσσω τὸ εὐτυχῶ, καὶ πράσσω τὸ δυστυχῶ. διὸ καὶ εἶπεν εὖ πρασσόντων ἔσαναν, ἀντὶ τοῦ ἐχάρησαν· ἀντὶ τοῦ αἰτίου τὸ αἰτιατόν· ἀπὸ τῶν σαινόντων ζώων. αἴτιον γὰρ ἡ χαρὰ τοῦ σαίνειν τὰ ζῶα τὰς οὐράς. τῶν φίλων.

O 4 7g —εὐτυχούντων. —ἐχάρησαν. ** εὐθύς.

O 4 8g —τῆς εὐτυχίας. πρός.

O 4 9g —φίλοι. ** ἤγουν Ζεῦ.

O 4 10g —τὸ ὄρος τῆς Σικελίας. —κατοικεῖς· — ** οἰκεῖς. βλάβην, κόλασιν.

O 4 11g —ὑψηλήν. — * ἑκατὸν κεφαλὰς ἔχοντος. Th.

O 4 12

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὁ Τυφὼς ἐν Σικελίᾳ ἐκεραυνώθη ὑπὸ τοῦ Διὸς ὑποκείμενος τῷ ὄρει τῇ Αἴτνῃ, ἔνθεν πῦρ ἔξω ῥεῖ. φασὶ δὲ ὡς ἐκεῖ καθήμενος Ἥφαιστος μυδροκτυπεῖ. λέγει οὖν τὴν Αἴτνην τοῦ Τυφῶνος ἶπον, τουτέστι τιμωρίαν καὶ κόλασιν· ἴπω γὰρ καὶ ἴπτω τὸ βλάπτω, ἐξ οὗ καὶ ἴψ, εἶδος σκώληκος. * ἰσχυροτάτου· — ** ἰσχυροῦ.

O 4 13g τὸν ἐμὸν ὕμνον, ὃν ἐν Ὀλυμπίᾳ νικήσαντι Ψαύμιϊ ποιῶ. Th.

O 4 14 Τοῦ Χαρίτων θ ’ ἕκατι τὸ τε πρὸς τὸ κῶμον συναπτέον, ἵν’ ᾖ τὸ Ὀλυμπιονίκαν καὶ τὸ κῶμον ταὐτόν, οὕτω· δέξαι εὐμενῶς τὸν Ὀλυμπιονίκαν καὶ τὸν κῶμον, χρονιώτατον καὶ διηνεκὲς φάος καὶ ἀπόδειξιν τῶν εὐρυσθενέων καὶ ἐκ μεγάλης ἰσχύος γινομένων ἀρετῶν τοῦ νικητοῦ, ἕκατι καὶ χάριν τῶν χαρίτων τῶν ἐκ ποιητικῆς, τουτέστι τὴν εὐφημίαν τοῦ Ψαύμιος, ἥτις ἐκ τοῦ ποιητικῶς λέγεσθαι καὶ συντίθεσθαι ἀπόδειξις εἰς τὸν λοιπὸν χρόνον ἔσται τῆς τῶν πεποιηκότων ἀρετῆς. * εὐμενῶς.

O 4 14g — * τῶν ἐκ ποιητικῆς. —χάριν. ὕμνον.

O 4 10-15 Germ. Ἀλλὰ Κρόνου πα ῖ ] ἀλλ’ ὦ Ζεῦ, ὅστις τὴν Αἴτνην κατέχεις, τὴν ἀνεμόεσσαν, τὴν οὖσαν ἶπον καὶ πίεσμα καὶ βάρος τοῦ ἑκατοντακεφάλου Τυφῶνος τοῦ ὀμβρίμου, δέξαι τόνδε τὸν κῶμον τὸν Ὀλυμπιονίκην, ἕκατι τῶν Χαρίτων τοῦ Τυφῶνος. διηνεκές.

O 4 16g —δεῖξιν καὶ φανέρωσιν· — φῶς ὄντα, ἤγουν ἐξαγγελέα, μηνυτὴν καὶ γνωριμοποιόν. τῶν ἐκ μεγάλης ἰσχύος γινομένων.

O 4 18g τοῦ. —ὁ κῶμος. — ** ἔρχεται. Th.

O 4 19 Μὴ λάβῃς εἰς τὸ ὀχέων ἔξωθεν τὸ ἀπό, ἀλλ’ ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ ἵκε ι , οὕτως· ὁ κῶμος ἵκει καὶ ἦλθε τῶν ὀχέων τοῦ Ψαύμιος. ἐπειδὴ γὰρ ταῦτά ἐστι τοῦ ὕμνου αἴτια, καλῶς ἂν ἔχοι λέγειν, ὅτι τῶν ὀχέων ἦλθ ε . * ἁρμάτων· τούτοις γὰρ ἐνίκησε.

O 4 20g τῇ ἐν Ὀλυμπίᾳ διδομένῃ τοῖς νικηταῖς. —δόξαν. —ἐμβαλεῖν. τῇ αὐτοῦ ἐν Σικελίᾳ πόλει.

O 4 10-21 M. Ἀλλ’ ὦ Ζεῦ, παῖ τοῦ Κρόνου, ὃς οἰκεῖς τὴν Αἴτνην, τὸν πιεσμὸν τὸν ἐπὶ πολὺ τοῦ ἀέρος ἐπηρμένον καὶ ὑπὸ τῶν ἀνέμων καταπνεόμενον τοῦ Τυφῶνος, τοῦ ἰσχυροῦ, τοῦ ἑκατὸν κεφαλὰς ἔχοντος, δέχου (14) τοῦτον τὸν μετὰ χορείας ἔπαινον τὸν ἐπὶ τῷ Ὀλυμπιονίκῃ τελούμενον, ἕνεκα τῶν χαρίτων, τοῦ νενικηκότος δηλονότι, φῶς ὄντα χρονιώτατον, τουτέστιν ἐπὶ πλεῖστον χρόνον διαμένον, ἀρετῶν μεγάλων τὴν δύναμιν. ἕνεκα (18) γὰρ τῶν ἁρμάτων τοῦ Ψαύμιδος ἥκει, ἐφ’ ὧν δηλονότι πολλὴ ἐδείχθη ἰσχύς. ὅστις, ἤγουν ὁ Ψαῦμις, στεφάνῳ ἀπὸ ἐλαίας Πισάτιδος, ἤγουν Ὀλυμπιακῆς, στεφανωθείς, τουτέστι νικήσας τὸν ἀγῶνα τῶν Ὀλυμπίων, δόξαν σπεύδει ὄρσαι, ἀντὶ τοῦ ἐπιθεῖναι, τῇ Καμαρίνᾳ τῇ ἑαυτοῦ πατρίδι. εὐμενὴς καὶ ἐπήκοος.

O 4 22g * ταῖς εἰς τὸ ἑξῆς· — ἤγουν εἰς τὸ ἑξῆς. — * αὐτοῦ. —αὐτὸν τὸν Ψαῦμιν. ἐπαινῶ· — ** ἐπεὶ ἐπαινῶ αὐτὸν ὡς μάλα μέν, καὶ τὰ ἑξῆς· οὐδὲ γὰρ καλὸν λέγειν τὸ αἰνῶ ἀντὶ τοῦ οἶδα· — ἀντὶ τοῦ οἶδα.

O 4 23g —λίαν. πρόχειρον.

O 4 25g ξένων πάντων ὑποδοχαῖς. Germ.

O 4 26 Ἡ σύνταξις αὕτη· καὶ φιλόπολιν τετραμμένον καὶ βλέποντα πρὸς ἡσυχίαν καὶ εἰρήνην ἐν καθαρᾷ γνώμῃ. Th. Τὸ ἡσυχίαν καὶ τὸ φιλόπολιν λέγει ἀντὶ τοῦ φιλοῦντα τὴν ἑαυτοῦ πόλιν καὶ οὐ στάσεσι χαίροντα. τινὲς γὰρ ἐν τῷ δοκεῖν φιλοπόλιδες εἶναι τοὺς συμπολιτευομένους αὐτοῖς ἐξελαύνουσιν, ἵνα μόνοι τὴν πόλιν οἰκοῖεν· οὗτος δὲ πρὸς τὸ φιλόπολις εἶναι καὶ ἡσυχίᾳ σύνεστι. μὴ λάβῃς δὲ πρὸς τὸ φιλόπολιν ἔξωθεν τὸ ὄντ α , ὥς τινές φασιν, ἀλλ’ οὕτω λέγε· καὶ τετραμμένον ἐν καθαρᾷ καὶ ἀνυποκρίτῳ γνώμῃ πρὸς ἡσυχίαν φιλόπολιν. τὸ δὲ καθαρᾷ εἶπεν, ἐπειδή τινες ἐν ὑποκρίσει καὶ οὐκ ἐν ἀληθείᾳ ἡσυχάζουσιν. ἀνυποκρίτῳ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 4 27g —ὡρμημένον. μαλάξω.

O 4 29g ὃν περὶ αὐτοῦ εἴπω. —δοκιμή. Germ.

O 4 28-29 Οὐχὶ τέγξω καὶ βρέξω τὸν λόγον μου ἐν ψεύδει. ἢ οὐχὶ τέγξω καὶ ἀσθενοποιήσω τὸν λόγον μου ἐν ψεύδει, ἀπὸ μεταφορᾶς τῶν ἀρτιγεννῶν· ἐκεῖνα γὰρ διὰ τὸ ὑπερβάλλον τῆς ὑγρότητος ἀσθενῆ εἰσιν. Th. Εἰκότως εἶπε τὸ τέγξ ω , ἤγουν οὐ φαύλων ὄντων τῶν περὶ αὐτοῦ πραγμάτων εἶτ’ αὐτὸς λέγειν ἐπιχειρήσας περὶ αὐτῶν οὔτ’ ἀληθῆ εἴπω ἀλλὰ ψεύδει χρήσομαι καὶ διὰ τοῦτο τὸ σκληρὸν τῆς φαυλότητος μαλθάξω καὶ μετενέγκω πρὸς τοὐναντίον. ὑπάρχει.

O 4 30g — ** σαφὴς ἀπόδειξις. Th.

O 4 31 Κλυμένου παῖς Ἐργῖνος εἷς ἦν τῶν Ἀργοναυτῶν. ὅτε οὖν εἰς Κόλχους διὰ τὸ χρυσόμαλλον δέρας ἡ Ἀργὰ ἐπέπλεεν, ἐξῆλθεν ἐν παρόδῳ οὗτος ὁ Ἐργῖνος μετὰ τῶν ἄλλων Ἀργοναυτῶν ἐν τῇ Λήμνῳ. Ὑψιπυλείας δὲ τῆς θυγατρὸς Θόαντος βασιλέως Λημνίων ἐπιτάφιον ἀγῶνα τοῦ πατρὸς προθείσης Θόαντος Ἐργῖνος οὖν, νέος μὲν ὢν τῇ ἡλικίᾳ, προπόλιος δέ, παρῆλθεν ἀγωνισόμενος καὶ ἐγελᾶτο ὑπὸ τῶν Λημνιάδων γυναικῶν διὰ τὰς πολιάς. κάλλιστα οὖν τὸν ἀγῶνα διενεγκὼν καὶ τοὺς συνάθλους νικήσας Βορεάδας Ζῆθον καὶ Κάλαιν εἰς ὑπερβολὴν ἐθαυμάσθη. ἡ πεῖρα.

O 4 31g —τὸν Ἐργῖνον. τῶν ἐν τῇ Λήμνῳ.

O 4 33g ἣν αὐτὸν ἠτίμαζον ὡς γηραιὸν καὶ παρ’ ὥραν εἰς τοὺς ἄθλους ἐλθόντα. ὅπλοις· ἔνοπλος γὰρ ἔθεεν.

O 4 35 M. Ὑψιπύλει α ] ἡ Ὑψιπύλη, ὡς Πηνελόπεια παρ’ Ὁμήρῳ ἡ Πηνελόπη. ** εἶπεν.

O 4 35g —τῇ θυγατρὶ Θόαντος. εἰς.

O 4 36g — ἐλθὼν πρὸς αὐτόν. τοιοῦτος.

O 4 37g —ποδῶν ὠκύτητι. M.

O 4 38 Χεῖρες δὲ καὶ ἦτορ ἴσο ν ] τὸ τοιοῦτο καὶ παρὰ τοῖς κοινοῖς δύναται εἶναι ἐν χρήσει· οἷον, σὺ καὶ ὁ πατὴρ ὁ σὸς ὅμοιος. ἔχει δὲ ὁμοίως τῷ· Δαμοίτας καὶ Δάφνις ὁ βουκόλος (Theocr. VI, 1), πλὴν ὅτι ἐκεῖ μὲν τὸ βουκόλος ἀπὸ κοινοῦ λεγόμενον ἀρκοῦν ἦν ἐντελῆ ποιῆσαι τὸν λόγον, ἐνταῦθα δὲ λέγεται μὲν ἀναγκαίως τὸ ἴσον ἀπὸ κοινοῦ κατὰ ἀναλογίαν τοῦ προῤῥηθέντος, μένει δὲ ἔτι ἀτελὴς ὁ λόγος. τὸ γὰρ ἴσον ἀεὶ πρὸς ἕτερον λεγόμενον ἀπαιτεῖ τὴν ἑαυτοῦ σχέσιν καὶ ἐλλιπῶς ἔχει ἕως ἂν ᾖ μόνον· ἀποδεδομένης δὲ αὐτῆς ἐντελὴς ὁ λόγος γίνεται ἔχων οὕτως· αἱ χεῖρες δὲ ἴσαι τῇ προθυμίᾳ καὶ ἡ προθυμία ἴση ταῖς χερσίν. ἐξ ἀνάγκης γὰρ ἡ ἰσότης ἑκατέρων περὶ ἑκάτερα αὐτὰ ταῦτα χωρεῖ μὴ κειμένου ἑτέρου, ἐφ’ ὃ ἂν αὐτῆς ἡ ἀπόδοσις γένοιτο. ψυχή.

O 4 38g —ἤγουν καὶ προθυμίᾳ καὶ ἰσχύι ὅμοιός εἰμι. λευκαὶ τρίχες.

O 4 41g συνεχῶς καὶ πολλάκις καὶ οὐχ ἅπαξ. —ἐκτὸς τοῦ. ἁρμόδιον.

O 4 21-42 M. Ὁ θεὸς εἴθε εὐμενὴς εἴη ταῖς εὐχαῖς αὐτοῦ ταῖς ἐπὶ τοῖς ἔμπροσθεν. ἐπεὶ ἐπαινῶ αὐτόν, ἀντὶ τοῦ οἶδα, μάλα μὲν ἕτοιμον (24), τουτέστι πρόθυμον πρὸς τρυφὰς ἵππων, χαίροντά τε, ἤγουν προσκείμενον ξενοδοχίαις πανδόκοις, ἤγουν πάντας ὑποδεχομέναις, οὐδένα ἀποστρεφομέναις, καὶ πρὸς ἡσυχίαν προφιλῆ τῶν πόλεων (26) ἀποβλέποντα σὺν ἀδόλῳ γνώμῃ. οὐ διὰ ψεύδους μολυνῶ τὸν λόγον, τουτέστιν οὐκ ἀποκρύψομαι τὴν ἀλήθειαν. ἡ πεῖρά ἐστιν ἡ φανεροῦσα τοὺς ἀνθρώπους, ὑφ’ ἧς καὶ οὗτος δηλονότι δειχθήσεται, ἥτις (31) ἔλυσεν ἐκ τοῦ γέλωτος τῶν γυναικῶν τῶν ἐν τῇ Λήμνῳ τὸν παῖδα τοῦ Κλυμένου τὸν Ἐργῖνον. ἐν ὅπλοις γὰρ χαλκοῖς, ἤγουν σιδηροῖς, νικῶν δρόμον εἶπε τῇ Ὑψιπύλῃ ἐπὶ τὸν στέφανον ἐρχόμενος· οὗτος (37) ἐγώ· ἐκεῖνος δηλονότι, ὃν ἀπηξιοῦτε. αἱ χεῖρες δὲ καὶ τὸ ἦτορ, ἀντὶ τοῦ αἱ πράξεις καὶ ἡ προθυμία, ἐν ἴσῃ ἀκμῇ κατὰ ταχυτῆτα· φύονται δὲ καὶ ἐν ἀνδράσι νέοις λευκαὶ τρίχες θαμά (41), ἀντὶ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολλάκις, καὶ ἔξω τοῦ χρόνου τῆς ἡλικίας τοῦ πρέποντος ταῖς πολιαῖς δηλονότι. Ἐπίνικοι Ὀλυμπιονίκαις.

O 5 t Ψαύμιδι Καμαριναίῳ ἀπήνῃ. Ὠιδὴ ε′. [Δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ε′ εἴδους. ἔστι δὲ τὸ ᾆσμα στροφῶν γ′. Τὸ ε′ εἶδος οὐκ ἐπῳδικὸν εἶναί φασιν, ἀλλ᾽ ἁπλαῖ περίοδοι γ′ ἑαυταῖς συμφωνοῦσαι, καὶ ιθ′ κώλων ἑκάστην περίοδον λέγουσιν.

O 5 prae gl οὐκ ἔστι δὲ τοιοῦτον, ἀλλ᾽ ἐπῳδικόν ἐστι καὶ τοῦτο, ὡς τῷ σοφωτάτῳ Μοσχοπούλῳ ἐπενοήθη, τὸ ᾆσμα, καὶ γ′ στροφῶν, ὡς ὁρᾷς. εἰσὶ γοῦν αἱ στροφαὶ καὶ ἀντιστροφαὶ ἑκάστη κώλων ζ′. Τὸ α′ δακτυλικὸν τρίμετρον καταληκτικὸν εἰς δισυλλαβίαν. Τὸ β′ Ἰωνικὸν ἀπ᾽ ἐλάσσονος, τῆς α′ συζυγίας παίωνα γ′ ἐπιδεξαμένης, ὅπερ γίνεται ἐπὶ τοῦ Ἰωνικοῦ· τῆς δὲ β′ Ἰωνικὸν ἀπὸ μείζονος. Τὸ γ′ ἰθυφαλλικὸν παρὰ μίαν συλλαβήν· ἐμοὶ δὲ δοκεῖ ἀντισπαστικὸν εἶναι πενθημιμερὲς ἐξ ἐπιτρίτου δ′ καὶ συλλαβῆς. Τὸ δ′ δακτυλικὸν πενθημιμερές. Τὸ ε′ ἰθυφαλλικόν. γ′ γάρ εἰσι τροχαῖοι, καὶ ἔστι δίμετρον βραχυκατάληκτον, ὃ καὶ ἡμιόλιον λέγεται. Τὸ ς′ ἀναπαιστικὸν λογαοιδικὸν καλούμενον καὶ Ἀρχεβούλειον. σύγκειται δὲ ἐκ β′ ἀναπαίστων καὶ β′ βακχείων, τοῦ β′ καταληκτικοῦ· πάσχει δὲ τοῦτο τὰ τοιαῦτα ἀναπαιστικά· πλὴν οὐ καλῶς ἔχει κείμενον τὸν βακχεῖον. τὸν τελευταῖον γὰρ πόδα τοῦ κώλου χρὴ βακχεῖον, ὥς φασιν, εἶναι. Τὸ ζ′ ἰθυφαλλικόν· γ′ γάρ εἰσι τροχαῖοι. εἰ δέ που καὶ σπονδεῖος ἐν τῷ τέλει εὕρηται, οὐκ ἔξω λόγου. ὅ τε γὰρ ποὺς οἰκεῖος τῷ μέτρῳ, καὶ τὴν τελευταίαν φασὶν ἀδιάφορον εἶναι τῶν κώλων. ἑξῆς ἐφ᾽ ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος. Περὶ τῶν κώλων τῶν ἐπῳδῶν. Αἱ ἐπῳδοὶ κώλων ε′. Τὸ α′ δίμοιρον ἔπους, ἤτοι δακτυλικὸν τετράμετρον ἀκατάληκτον. δ′ γάρ εἰσι δάκτυλοι· τὰ δ′ δὲ δῆλον ὡς τῶν ς′ δίμοιρον. Τὸ β′ ἰθυφαλλικόν, ἤτοι γ′ τροχαῖοι. Τὸ γ′ ὅμοιον τῷ α′, ἤτοι δίμοιρον ἔπους. Τὸ δ′ χοριαμβικόν, ὡς ἐμοὶ δοκεῖ, τρίμετρον βραχυκατάληκτον, οὐκ ἐγκωμιολογικόν, ὥς φασιν· οὐ γάρ ἐστι διπενθημιμερές· ἐλλιπὲς γάρ ἐστι μιᾷ συλλαβῇ τὸ ἰαμβικόν. ἐπεὶ δὲ πολλὰ τῶν τοιούτων ἐλλιπῆ εὑρίσκεται πρὸς τοὺς παρὰ τοῦ τεχνικοῦ παραδεδομένους κανόνας, ἔστω καὶ τοῦτο ἐγκωμιολογικόν. Τὸ ε′ ἰθυφαλλικόν, γ′ δηλονότι τροχαῖοι. ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα. Th. Γέγραπται ὁ ἐπινίκιος τῷ αὐτῷ Ψαύμιϊ νικήσαντι κέλητι, ἀπήνῃ, τετρώρῳ τὴν πβ′ Ὀλυμπιάδα. ἐπεὶ δὲ οὗτος ὁ Ψαῦμις ἐκ Σικελίας, ἐν ταύτῃ δὲ πόλις Καμαρίνα καὶ λίμνη, διὰ τοῦτο πρὸς τὴν ἔφορον τῆς λίμνης νύμφην Καμαρίναν ποιεῖται τὸν λόγον, ἥντινα νύμφην παῖδα Ὠκεανοῦ καλεῖ διὰ τὸ πάντας ποταμοὺς καὶ πάσας πηγὰς ἐντεῦθεν τὴν ἀρχὴν ἐσχηκέναι. τὸ δὲ ἄωτον καὶ εἰς τὸ ἀρετῶν καὶ εἰς τὸ στεφάνων καὶ εἰς τὸ ἀπήνης λέγε. ἔστι δὲ τὸ ἄωτον καὶ τὸ δῶρα ταὐτόν. ** τὸ προοίμιον εὐκτικόν.

O 5 1g — ** μεγάλων. —τῶν τοῦ Ψαύμιος. * καρπόν· καρπὸς γὰρ τῶν ἀρετῶν καὶ τῶν στεφάνων ὁ ὕμνος, ὃς τοῖς δεχομένοις αὐτὸν γλυκύς ἐστιν.

O 5 3g ** ἐν. Μ.

O 5 4 Ὠκεανοῦ θύγατε ρ ] τὴν Καμαρίναν λέγει τὴν λίμνην, ἀφ᾽ ἧς ἡ πόλις ἡ Καμαρίνα ὠνομάσθη, ἡ πατρὶς τοῦ Ψαύμιδος. Καμαρίνα νύμφη.

O 5 5g ἐν. —χαριεστάτῃ. τοῦ ταχυτάτου δίφρου.

O 5 6g — ** τοῦ ἐξ ἡμιόνων ἅρματος. — * δέχου. τὸν ὕμνον, ὃς διὰ τὴν νίκην αὐτῷ δεδώρηται ἐξ ἐμοῦ.

O 5 1-7 Germ. Τὸ ἑξῆς τῆς συντάξεως· ὦ θύγατερ Ὠκεανοῦ Καμαρίνα, τὸν γλυκὺν ἄωτον καὶ ὕμνον τῶν ὑψηλῶν ἀρετῶν καὶ τῶν στεφάνων τῶν ἐν Ὀλυμπίᾳ τῆς ἀπήνης τε τῆς ἀκαμαντόποδος τὰ δῶρά τε τοῦ Ψαύμιος δέκευ καὶ δέχου καὶ δέξαι ἐν καρδίᾳ τουτέστιν ἐν φαιδρῷ προσώπῳ καὶ λαμπρᾷ καὶ φαιδρᾷ, γελανεῖ καὶ γαληνίῳ. Μ. Ὦ θύγατερ τοῦ Ὠκεανοῦ Καμαρίνα, δέχου σὺν καρδίᾳ γελανεῖ, ἤγουν εἰρηναίᾳ, φαιδρᾷ, τῶν ὑψηλῶν ἀρετῶν καὶ τῶν στεφάνων τῶν ἐν Ὀλυμπίᾳ καὶ τοῦ ἐξ ἡμιόνων ἅρματος τοῦ μὴ κάμνοντος τοὺς πόδας ἐν τοῖς δρόμοις τὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄωτον, ἤγουν τὸν ἐξαίρετον κόσμον, τουτέστι τὸν ὕμνον τὸν γλυκὺν καὶ τὰ δῶρα τοῦ Ψαύμιδος, τουτέστι καὶ τὸ δῶρον, ὅ σοι δωρεῖται ὁ Ψαῦμις. ἄωτον δὲ λέγει τὸν ὕμνον, ὃν δῶρόν φησι τοῦ Ψαύμιδος πρὸς αὐτήν, ἐπεὶ τῆς πατρίδος αὐτοῦ ἐστιν αὐτὴ καὶ συναπολαύει τοῦ εἰς αὐτὸν ἐπαίνου. Germ. [15]

O 5 8 Ὃς τὰν σὰν πόλιν αὔξω ν ] πρὸς τὴν ἡρωΐδα, ἀφ’ ἧς ἡ πόλις· ἀπὸ γὰρ τῆς κρήνης καὶ ἡ πόλις. τὴν σὴν οὖν, τὴν ἀπὸ σοῦ προσαγορευομένην καὶ χρηματίζουσαν, ὦ Καμαρίνα. ** Ψαῦμις.

O 5 8g —δοξάζων καὶ ὑψῶν. ἐν ᾗ ἄνθρωποι τρέφονται.

O 5 10g ἐν ἑνὶ γὰρ ἑκάστῳ δύο θεοὶ ἐτιμῶντο. * ἐτίμησεν.

O 5 11g —ἤτοι τῇ Ὀλυμπίᾳ. τῶν δώδεκα, ὧν εἰσιν οἱ βωμοί.

O 5 13 Μ. Πεμπταμέροι ς ] ποιητικὸν τοὔνομα διά τε τὸ ἀμετάβλητα ἔχειν τὰ ψιλὰ δασέος ἐπαγομένου· ὁ τρόπος δὲ οὗτος τῶν Ἰώνων ἐστί· διά τε τὸ ἀπὸ τοῦ πέμπτου συγκεῖσθαι ἄλλως ὑπὸ τῶν κοινῶν τῶν τοιούτων συντιθεμένων. οὗτοι γὰρ πενθήμερον λέγουσιν ἀπὸ τοῦ πεντάς, καὶ τριήμερον ἀπὸ τοῦ τριάς, καὶ ἑπταήμερον ἀπὸ τοῦ ἑπτάς. ὅτι δὲ ἀπὸ τοῦ τριὰς καὶ πεντὰς καὶ ἑπτὰς ταῦτα, ἀλλ’ οὐκ ἀπὸ τοῦ τρία καὶ πέντε καὶ ἑπτά, δῆλον ἀπὸ τοῦ τετραημέρου καὶ ἑξαημέρου καὶ ὀκταημέρου, ἐφ’ οἷς ἡ συνθήκη ἐξ ἀνάγκης ἀπὸ τοῦ τετρὰς καὶ ἑξὰς καὶ ὀκτὰς δείκνυται. Call. Ἄλλως. Ἐπειδὴ ἐπὶ πέντε ἡμέρας ἐγένετο τὰ Ὀλύμπια, ἀπὸ ια′ μέχρι ις′, ἡνίκα γοῦν ἐτελεῖτο τὰ ἆθλα τῶν πενθημέρων ἀγώνων, ἐγέραιρε τοὺς βωμοὺς νικήσας. μεγάλαις θυσίαις ἢ ταῖς ἐκ βοῶν. [10]

O 5 13g —ἀγώνων. πέντε γὰρ ἡμέρας τὰ Ὀλύμπια ἐγίνετο.

O 5 14g —ἀγωνίσμασιν. Μ.

O 5 15 Ἄμπυξ κυρίως κόσμος τις χρυσῷ καὶ λίθοις πεποικιλμένος, ὃν περὶ τὰς κεφαλὰς αἱ γυναῖκες φοροῦσιν, ἀφ’ οὗ κατὰ μεταφορὰν καὶ οἱ διάχρυσοι χαλινοὶ ἄμπυκες λέγονται. ἤτοι ἐν τετρώρῳ.

O 5 15g —ἤτοι ἐν ἀπήνῃ. —ἤτοι μονοχαλίνῳ κέλητι· ἄμπυξ γὰρ ὁ χαλινός. Th.

O 5 8-15 Ὅστις Ψαῦμις ἐν ταῖς μεγίσταις ἑορταῖς τῶν θεῶν καὶ ἐν ταῖς τῶν ἄθλων ἁμίλλαις ταῖς πεμπταμέροις, ἤγουν τοῖς διὰ πέντε ἡμερῶν γινομένοις Ὀλυμπίοις, αὔξων καὶ δοξάζων τὴν σὴν λαοτρόφον Καμαρίναν πόλιν, ὦ νύμφη, ἐν ἵπποις καὶ τετρώρῳ καὶ ἐν ἡμιόνοις καὶ ἀπήνῃ καὶ ἐν μοναμπυκίᾳ τε καὶ μονοχαλίνῳ κέλητι γέραρεν ὑπὸ βουθυσίαις τοὺς διδύμους καὶ τοὺς διπλοῦς ἓξ βωμοὺς τῶν δώδεκα θεῶν, Διὸς καὶ Ποσειδῶνος, Ἥρας καὶ Ἀθηνᾶς, Ἑρμοῦ καὶ Ἀπόλλωνος, Χαρίτων καὶ Διονύσου, Ἀρτέμιδος καὶ Ἀλφειοῦ, Κρόνου καὶ Ῥέας, ὧν δώδεκα μὲν ἀγάλματα Ἡρακλῆς, ὅτε τὸν Ὀλυμπιακὸν ἀγῶνα ἐτίθει, ἐποίησεν, ἓξ δὲ βωμούς, ἵνα ἐν ἑνὶ βωμῷ δύο θεοὶ τιμῶνται, εἰς οὓς ὁ νικήσας ἐν Ὀλυμπίᾳ θυσίας προσῆγε μετὰ τὴν νίκην, ὥσπερ χάριν ἀποδιδούς. τὸ δὲ μεγίσταις ἑορταῖς θεῶν (11), ἢ τῇ μεγίστῃ ἑορτῇ τοῦ Διὸς τῇ Ὀλυμπίᾳ νοητέον· οὐκ ἔστι γὰρ μείζων ταύτης οὐδεμία ἄλλη· ἢ διὰ τοὺς δώδεκα θεοὺς τοὺς ἐκεῖ ὄντας, ὡς εἴπομεν, τοῦτο λέγε· ἡ γὰρ τοῦ Διὸς πανήγυρις καὶ ἐκείνων ἦν, ἐπειδὴ καὶ πᾶσι τούτοις θυσία προσήγετο παρὰ τῶν νικώντων. ἤρχετο δὲ ἡ πανήγυρις κατὰ τὴν ἑνδεκάτην τοῦ μηνὸς μέχρι τῆς ἑκκαιδεκάτης, ἐν ᾗ τὰ ἆθλα ἐδίδοτο. Μ. Ὅστις, ἤγουν ὁ Ψαῦμις, τὴν ἀπὸ σοῦ ὠνομασμένην πόλιν, ὦ Καμαρίνα, κατὰ μεταπλασμὸν ἀντὶ τοῦ τὴν Καμαρίναν, τὴν ἐπιτηδείαν εἰς τροφὴν λαῶν αὔξων, ἤγουν ὑψῶν, μεγαλύνων, τοὺς ἓξ βωμοὺς τοὺς ἐν τῇ Ἤλιδι, οὓς ὁ Ἡρακλῆς κατεσκεύασε, τοὺς διδύμους (10)· ἕκαστος γὰρ αὐτῶν δυσὶ θεοῖς ἦν ἀφιερωμένος· ἐτίμησε κατὰ τὰς ἑορτὰς τῶν θεῶν, ἤγουν κατὰ τὸν καιρὸν τῶν ἑορτῶν, διὰ βουθυσιῶν μεγίστων καὶ δι’ ἁμιλλῶν (13) ἐπὶ πέντε ἡμέρας ἁμιλληθεισῶν, ἀγώνων· ἐπὶ τοσαύτας γὰρ ἡμέρας ἐτελεῖτο ὁ Ὀλυμπιακὸς ἀγών· ἵπποις, ἤγουν δι’ ἵππων γενομένων αὐτῷ τῶν ἁμιλλῶν, τουτέστι δι’ ἅρματος ἱππικοῦ, καὶ δι’ ἡμιόνων, ἤγουν καὶ δι’ ἅρματος ἡμιόνων, καὶ διὰ

μοναμπυκίας, τουτέστι καὶ δι’ ἑνὸς χαλινοῦ, ἀντὶ τοῦ καὶ δι’ ἑνὸς ἵππου τοῦ λεγομένου κέλητος. ** καί.

O 5 16g —σοί, ὦ νύμφη. — * δόξαν τὴν ἐκ τῆς νίκης. πολύ, μέγα.

O 5 17g —ἐν τῇ Ὀλυμπίᾳ. —ἤγουν σὲ τῆς νίκης αἰτίαν ἡγήσατο. τὸν ἴδιον.

O 5 18g —οὕτω γὰρ ἐκαλεῖτο. —ἐδόξασε. Th.

O 5 19 Νέοικον ἕδραν λέγει τὴν Καμαρίναν, ἐπειδὴ ἐν τῇ με′ Ὀλυμπιάδι καταρχὰς κτισθεῖσα ἐν τῇ νζ′ ὑπὸ Συρακουσίων ἐπικρατησάντων τοὺς αὐτὴν ἔχοντας κατέστραπτο· εἶτα ἐν τῇ πβ′ Ὀλυμπιάδι, μεταξὺ τοῦ χρόνου, καθ’ ἣν Ψαῦμις ἐνίκησεν, ἀνεκτίσθη. ἤγουν τὴν νεωστὶ οἰκισθεῖσαν Καμαρίναν.

O 5 20g ** ἐλθών γράφε διὰ τὸ μέτρον καὶ μὴ ἱκώ ν . — * ἐλθὼν ἐν τῇ Καμαρίνῃ. — ** εἰς τὴν Καμαρίναν. —ἐνταῦθα γὰρ οὗτος ἡμιλλᾶτο πρὸς τοὺς μνηστῆρας. * ἐνταῦθα γὰρ αὗτος Οἰνόμαον ἐνίκησε καὶ ὕστερον ἐτάφη.

O 5 21g —ἀπό. — * καὶ ἐνταῦθα γὰρ ἐπιθυμοῦσι πάντες νικῆσαι, διὸ καὶ πᾶσι καλὴν ἐπιθυμίαν ἐμβάλλουσιν. τῶν ἐν τῇ Ὀλυμπίᾳ τόπων.

O 5 22g —ἡ τὴν πόλιν Καμαρίναν φυλάσσουσα διὰ τὸ ἐν ταύτῃ τὸν ναὸν ἱδρύσθαι. ** Ἀθηνᾶ.

O 5 23g —κοσμεῖ διὰ τοῦ εἰς αὐτὸν ὕμνου, ἐπειδὴ ὁ αὐτοῦ ὕμνος καὶ τῆς πόλεως ὕμνος. τὸν σὸν ναόν, ἤτοι τὴν ἀφιερωμένην σοι πόλιν.

O 5 25g * τὸ σόν. —ἐν Σικελίᾳ ὄντα. — ** Ὤαννον] διὰ τὸ μέτρον. τὴν ἐνταῦθα οὖσαν Καμαρίναν.

O 5 27g τιμίους. —ῥεύματα. — * ποταμός· — ποταμὸς τῆς λίμνης τῆς Καμαρίνης. πιαίνει καὶ ὠφελεῖ.

O 5 28g — ἤτοι τοὺς μαχιμωτάτους Καμαριναίους. ἐπιφέρει, προστίθησιν.

O 5 29g —ἑδραίων. * οἴκων.

O 5 31g ἤγουν ἀπὸ γῆς εἰς ὕψος. —ἤτοι ξύλα. Th.

O 5 27-31 Ἵππαρις ποταμὸς ἐν Σικελίᾳ πλησίον Καμαρίνης, τοσοῦτος τῷ ῥεύματι ὡς καὶ ναυσίπορος εἶναι· ἔχει δὲ τὰς πηγὰς ἔκ τινος ὄρους ἐν Σικελίᾳ δένδρα πολλὰ ἔχοντος· τέμνοντες οὖν ἐνταῦθα οἱ Καμαριναῖοι ξύλα πρὸς οἰκοδομίαν ἐμβάλλουσιν ἐν τῷ ποταμῷ· ὁ δὲ τῷ αὐτοῦ ῥεύματι φέρει αὐτὰ πρὸς τὴν πόλιν, ὅθεν λαμβάνοντες χρῶνται. ἔχει δὲ καὶ πλείστους ἰχθῦς. διὰ γοῦν τὸ ῥέειν αὐτὸν ἐπὶ συμφέροντι τῆς πόλεως, σεμνοὺς τοὺς αὐτοῦ ὀχετοὺς ἐκάλεσε. καὶ κολλᾷ καὶ ἐπιφέρει ταχέως ἄλσος ὑψίγυον θαλάμων καὶ οἴκων σταδίων καὶ ἑδραίων· τουτέστι κατάγει ταχέως πρὸς τὴν πόλιν, ἃ ἐν τῷ ὄρει οἱ Καμαριναῖοι τέμνουσι ξύλα, δι’ ὧν ἑδραιοτάτους οἴκους ἐργάζονται· ὑψιγύων δὲ δέον εἰπεῖν πρὸς τὸ θαλάμω ν , ἤτοι διωρόφων καὶ τριωρόφων οἴκων, ὑψίγυον εἶπε πρὸς τὸ ἄλσο ς . ἢ ὑψίγυον ἄλσος λέγε ἀντὶ τοῦ ὑψηλὰ καὶ μεγάλα ξύλα. ἣν περὶ τὴν τούτων καταγωγὴν ἔχει.

O 5 32g —ἤτοι εἰς ἀνάπαυσιν καὶ ἀφροντισίαν. τῶν Καμαριναίων.

O 5 16-33 Μ. Τὶν δὲ κῦδο ς ] σοὶ δέ, τῇ Καμαρίνῃ δηλονότι· τῇ λίμνῃ, δόξαν ἁβράν, ἀντὶ τοῦ λαμπράν, νεάζουσαν, ἀνέθηκε νικήσας, καὶ τὸν ἑαυτοῦ πατέρα τὸν Ἄκρωνα ἀνεκήρυξεν, ἀντὶ τοῦ ἀνακηρυχθῆναι ἐποίησε, καὶ τὴν καθέδραν αὐτοῦ τὴν νεωστὶ οἰκισθεῖσαν, τουτέστι τὴν Καμαρίναν τὴν πόλιν. ἐπαναστρέψας (20) δὲ μετὰ νίκης ἀπὸ τῶν καλῶν καὶ ἐπεράστων σταθμῶν, ἀντὶ τοῦ οἴκων, τοῦ Οἰνομάου καὶ τοῦ Πέλοπος, ἤγουν ἀπὸ τῆς Ὀλυμπίας, ὦ Παλλὰς ἡ συνέχουσα τὴν πόλιν, τὴν Καμαρίναν δηλονότι, ᾄδει μέν, ἤγουν ὑμνεῖ τὸν σὸν ναὸν τὸν ἁγνὸν καὶ τὸν ποταμὸν (25) τὸν Ὤανον καὶ τὴν λίμνην τὴν ἐγχωρίαν, ἤγουν τὴν Καμαρίναν, καὶ τὰ σεβάσμια ῥεύματα, δι’ ὧν ὁ Ἵππαρις ὁ ποταμὸς ἄρδει τὸν στρατόν, ἀντὶ τοῦ τὸν λαὸν τῆς Καμαρίνης, κολλᾷ (29) τε ὁ Ἵππαρις, ἤγουν προστίθησί τε ἀεὶ καὶ αὔξει ταχέως, ἀντὶ τοῦ

ῥᾳδίως, ὑψίγυιον ἄλσος θαλάμων σταδίων, ἀντὶ τοῦ μετέωρον πληθὺν οἰκημάτων στεῤῥῶν, κατάγων τοῖς ἑαυτοῦ ῥεύμασι τὰ ὑπὸ τῶν Καμαριναίων εἰς κατασκευὴν οἰκημάτων τεμνόμενα ξύλα, καὶ ἄγων τοῦτον τὸν δῆμον τῶν πολιτῶν, τουτέστι τῶν Καμαριναίων, ἀπὸ τῆς ἀμηχανίας τῆς οὔσης αὐτοῖς ἕνεκα τῆς καταγωγῆς τῶν ξύλων εἰς φῶς, ἀντὶ τοῦ εἰς μηχανήν. * ἤγουν ὁ χρηστόν τι κατορθῶσαι θέλων καὶ κόπῳ καὶ χρημάτων δαπάνῃ χρῆται.

O 5 35g ** καί. — * καταγωνίζεται· τοῦτο δὲ λέγει ὑπὲρ τοῦ Ψαύμιος αἰτίαν σχόντος πρὶν ἐστέφθαι τῇ νίκῃ ὡς πέρα τοῦ δέοντος ἱπποτρόφου. Germ.

O 5 35 Αἰεὶ δ’ ἀμφ’ ἀρεταῖσι μάρναται ὁ πόνος ἡ δαπάνη τε. ἢ οὕτως. αἰεὶ δ’ ἀμφ’ ἀρεταῖσι μάρναται ὁ πόνος σὺν τῇ δαπάνῃ. Th.

O 5 36 Τοῦτο λέγει, ἐπειδὴ τὸ τῆς νίκης τέλος οὐ μόνον ἄδηλόν ἐστιν, ἀλλὰ καὶ ἐπικίνδυνον· πολλοὶ γὰρ τῶν ἐν τοῖς σταδίοις ἀγωνιζομένων πρὶν νίκης ἐπιτυχεῖς γεγενῆσθαι ἀπέθανον ἢ τὸ μέγεθος τῶν ἀγώνων οὐκ ἐνεγκόντες ἢ ὑπὸ τῶν ἀνθαμίλλων κατενεχθέντες. διὸ καὶ Ἡσίοδος εἰκότως τὴν πρὸς ἀρετὴν φέρουσαν ὁδὸν τραχεῖαν προσεῖπεν (ἐ κ ἡ 289). τὴν τοῦ κατορθῶσαι ἐπιτυχίαν.

O 5 36g —κεκρυμμένον. ἤτοι εὐτυχήσαντες κατὰ τὸν ἀγῶνα.

O 5 37g —ἄγαν προνοητικοὶ αὐτῶν. μὴ μόνον τοῖς ἄλλοις.

O 5 38g —εἶναι. M.

O 5 36-38 Ἀεὶ δ ’ ἀμ φ ’ ἀρεταῖ ς ] ἀντὶ τοῦ ἐπ’ ἀριστείαις, τουτέστιν ἕνεκα ἀριστειῶν, κόπος καὶ ἀναλώματα μάρναται, ἀντὶ τοῦ ἁμιλλᾶται, ἤγουν ἐπίσης συμβάλλεται πρὸς πᾶσαν ἐργασίαν ὑπὸ κινδύνου οὖσαν κεκαλυμμένην, τουτέστιν ὑποψίαν ἔχουσαν κινδύνου. οἱ εὖ δὲ ἔχοντες, ἤγουν οἱ εὐτυχοῦντες, τουτέστιν οἱ νικῶντες, καὶ σοφοὶ τοῖς πολίταις ἐνομίσθησαν εἶναι. ὦ.

O 5 39g —οὐράνιε. τὸν ἐν Ὀλυμπίᾳ· ἔνθα πρὶν ἱερὸν ἦν Κρόνου.

O 5 41g διὰ τὸ πλησίον ῥέειν τῆς Πίσης. μεγαλόῤῥουν.

O 5 42g — * Κρητικόν. Ἴδη γὰρ ὄρος καὶ ἐν Κρήτῃ, ἔνθα Ζεὺς ἀνετράφη Κουρήτων ἠχούντων, ἵνα μὴ γνοίῃ Κρόνος αὐτὸν κλάοντα. Germ.

O 5 43 Ἄντρον παρὰ τὸ ἀνατετορῆσθαι καὶ τετρυπῆσθαι. ** καί.

O 5 43g —διὰ τὴν τοῦ Διὸς τροφήν. — * σπήλαιον. — ** τιμῶν ἀπὸ κοινοῦ. παρακλήτωρ.

O 5 44g —σοῦ. — * Λυδίοις αὐλοῖς λέγει, ἢ διότι τοὺς μετὰ Πέλοπος ἐκ Λυδίας ἐλθόντας αὐλητὰς πρώτους Ἕλληνες ἐμιμήσαντο, ἢ ὅτι οἱ Λύδιοι αὐλοὶ γλυκύτεροι καὶ ποικιλώτεροι τῶν ἄλλων εἰσίν. ᾄδων τὸν Ψαῦμιν· — ** διὰ τὸ μέτρον.

O 5 46g σέ. — * τὴν Καμαρίναν. —καλοῖς ἀνδράσι. ἐνδόξοις.

O 5 48g * κοσμεῖν. M.

O 5 39-48 Ὦ Ζεῦ σωτὴρ ὑψινεφές, ἤγουν ὁ τὴν διατριβὴν ἄνω ἐπὶ τῶν νεφελῶν ποιούμενος καὶ ὁ οἰκῶν τὸν λόφον τὸν Κρόνιον, ἤγουν τὴν Πίσαν καὶ ὁ ἔνδοξον ποιῶν τῇ αὐτόθι δηλονότι οἰκήσει τὸν Ἀλφειὸν τὸν ποταμὸν τὸν πλατέως ῥέοντα, καὶ ὁ τιμῶν ἀπὸ κοινοῦ, τὸ σπήλαιον τὸ σεβάσμιον τὸ τῆς Ἴδης τοῦ ὄρους τοῦ ἐν τῇ Κρήτῃ, ἱκέτης ἔρχομαι σὸς ἐν αὐλοῖς Λυδίοις ἀπύων, ἀντὶ τοῦ ὑμνῶν, αἰτήσων σε δαιδάλλειν, τουτέστι κοσμεῖν, τήνδε τὴν πόλιν, ἤγουν τὴν Καμαρίναν, εὐανορίαις, ἤτοι εὐδοξίαις ἀνδραγαθημάτων, κλυταῖς, τουτέστιν ἐπὶ πολὺ διηκούσαις τῇ φήμῃ. ὦ Ψαῦμι.

O 5 49g Ὀλυμπίας νικητά. εὐφραινόμενον.

O 5 51g — * ἔχειν. εὐφραντόν.

O 5 53g ** τοῦτο γὰρ πάντες πατέρες εὔχονται. Germ.

O 5 48-53 Ἡ σύνταξις αὕτη. σέ τε, ὦ Ψαῦμι, Ὀλυμπιόνικε καὶ ὁ τὰ Ὀλύμπια νενικηκώς, ἦλθον αἰτήσων τὸν Δία τὸ ἐπιτερπόμενον ἐν Ποσειδανίοις ἵπποις φέρειν γῆρας εὔθυμον εἰς τελευτὴν παρισταμένων υἱῶν. δίκαιον ἢ μεθ' ὑγείας.

O 5 54g * πλοῦτον. * αὔξει.

O 5 55g — ** συνίζησις. —τοῖς ἰδίοις κτήμασι. εὐφημίαν παρὰ νικῶν.

O 5 56g — * αὐτῷ· — ** ἑαυτῷ. Germ.

O 5 55-57 Ἄρδει ἀντὶ τοῦ ἀρδεύει, αὔξει, χέει, πλησμίως ἔχει· εὐλογίαν δὲ ἀντὶ τοῦ ἔπαινον παρὰ ἀνθρώπων· καὶ μετὰ τοῦτο εὖ λεγόμενος παρὰ τοῖς ἀνθρώποις. τὸ δὲ ματεύσῃ ἀντὶ τοῦ ζητήσῃ· ἀπὸ τοῦ μῶ τὸ ζητῶ γίνεται ματεύω. Th.

O 5 48-57 Πρὸς τὸν Δία τὸν λόγον τείνων ἐπέστρεψε πρὸς τὸν Ψαῦμιν. δέον γὰρ οὕτως εἰπεῖν· αἰτῶ σε, ὦ Ζεῦ, κοσμεῖν τὴν πόλιν καὶ τὸν Ψαῦμιν εὐθύμου γήρως ἐπιτυχῆ ποιῆσαι· ἐπειδὴ πρὸς τοῦτον ἐποίει τὸν ὕμνον, φέρειν σε εἶπεν, ἀντὶ τοῦ ἔχειν γῆρας εὔθυμον. τὸ δὲ Ποσειδανίοις εἶπεν ἢ διότι Ποσειδῶν πρῶτον Πέλοπι ἅρμα ἐνεχείρισεν, ὡς πρώην εἰρήκει, ἢ τὸ Ποσειδανίοις ἀντὶ τοῦ ταχέσι καὶ γαύροις. τοιαύτη γὰρ ἡ τῆς θαλάττης ὁρμή. λέγει δέ, ὅτι ἐάν τις μεθ' ὑγείας ἀπολαύῃ τῶν ὄντων καὶ μηδαμόθεν ἁρπάζων ὥσπερ ἕτεροι, ἀλλὰ νίκαις ἑαυτὸν ὥσπερ ὁ Ψαῦμις κοσμῶν, μὴ τούτου μεῖζον ζητήσῃ· οὐκ ἔστι γὰρ κρείττων ταύτης εὐδαιμονία ἑτέρα, ἢ ἡ τῶν θεῶν. ἢ τὸ ὑγίεντα ἀντὶ τοῦ δίκαιον, ἵν' ᾖ τὸ ἐξαρκέων κτεάτεσσι τούτου μεθερμηνευτικόν. M. Σέ τε, ὦ Ψαῦμι Ὀλυμπιόνικε, τὸν ἐπιτερπόμενον ἵπποις. Ποσειδωνίοις, ἀντὶ τοῦ ἀρίστοις, ἔχειν γῆρας ἄλυπον μέχρι τοῦ τέλους τοῦ βίου σου, υἱῶν (53) σοι παρισταμένων. εἴ τις δὲ ἄρδει, ἀντὶ τοῦ αὔξει, πλοῦτον ὑγίεντα, τουτέστιν ὑγιεινόν, ὑγείας μετέχοντα, ἐξαρκῶν, ἀντὶ τοῦ ἐπαρκούμενος, ἤγουν βοηθούμενος ὑπὸ χρημάτων, καὶ εὐλογίαν, τουτέστιν ἔπαινον προστιθείς, μὴ ζητήσῃ θεὸς γενέσθαι. Ἐπίνικοι Ὀλυμπιονίκαις.

O 6 t Ἀγησίᾳ Συρακοσίῳ ἀπήνῃ. Ὠιδὴ ϛʹ. [Δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοι ϛʹ εἴδους. ἔστι δὲ στροφῶν εʹ. Παλαιόν. Τοῦ ϛʹ εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ιαʹ.

O 6 prae gl Τὸ αʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. ἔχει δὲ συνεκφώνησιν ἤτοι συνίζησιν τὸ αʹ κῶλον τῆς αʹ στροφῆς. Τὸ βʹ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. Τὸ γʹ προσοδιακὸν τρίμετρον ἀκατάληκτον, τοῦ αʹ χοριάμβου, τοῦ βʹ Ἰωνικοῦ, τοῦ γʹ πάλιν χοριάμβου. Τὸ δʹ ἐγκωμιολογικὸν ἤτοι διπενθημιμερὲς ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμεροῦς. Τὸ εʹ τροχαϊκὸν ἑφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθιον. Τὸ ϛʹ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς. τοῦτο δὲ καὶ ἀναπαιστικόν ἐστιν ἑφθημιμερές, ὡς ἐμοὶ δοκεῖ, σπονδείου ἀρχομένου. Τὸ ζʹ ἀσυνάρτητον ἐξ ἰαμβικοῦ καὶ δακτυλικοῦ πενθημιμερῶν, ὃ καλεῖται ἰαμβέλεγος. Τὸ ηʹ ἴαμβος τρίμετρος ἀκατάληκτος. Τὸ θʹ ὅμοιον τῷ ϛʹ, ἤτοι προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἢ καὶ ἀναπαιστικόν. Τὸ ιʹ ἐγκωμιολογικόν, ἤτοι διπενθημιμερές, ὅμοιον τῷ δʹ· ἐλλείπει δὲ μιᾷ συλλαβῇ τὸ ἰαμβικόν. τοῦτο καὶ προσοδιακόν ἐστιν ἐκ χοριάμβου, Ἰωνικοῦ, καὶ πάλιν χοριάμβου καταληκτικοῦ. Τὸ ιαʹ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. ἐπὶ τῷ τέλει τὰ ῥηθέντα σημεῖα. Περὶ τῶν κώλων τῶν ἐπῳδῶν. Αἱ ἐπῳδοὶ κώλων ιδʹ. Τὸ αʹ ἐγκωμιολογικόν, ὅμοιον τῷ ιʹ τῆς στροφῆς, ἢ καὶ προσοδιακόν, ὡς εἴρηται ἐκεῖ. Τὸ βʹ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου. Τὸ γʹ Στησιχόρειον, ἤτοι τροχαϊκὸν τρίμετρον ἔχον ἐν τῷ τέλει ἴαμβον Πινδαρικῷ ἰδιώματι. Τὸ δʹ ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον. Τὸ εʹ Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον ἀπὸ τῶν μειζόνων. Τὸ ϛʹ Ἰωνικὸν μονόμετρον ὑπερκατάληκτον, ἢ ἀναπαιστικόν, ὅμοιον τῷ δʹ. Τὸ ζʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ ηʹ τροχαϊκὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑφθημιμερὲς Εὐριπίδειον. Τὸ θʹ προσοδιακόν, ὅμοιον τῷ βʹ. Τὸ ιʹ δακτυλικὸν πενθημιμερές. Τὸ ιαʹ ὅμοιον τῷ βʹ. Τὸ ιβʹ δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ ιγʹ προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἀπὸ χοριάμβου. Τὸ ιδʹ τροχαϊκὸν τρίμετρον καθαρὸν Στησιχόρειον· οὐκ ἔχει γὰρ τὸ Πινδαρικὸν ἰδίωμα. Ἐφ' ἑκάστῃ ἐπῳδῷ κορωνὶς καὶ παράγραφος, ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος. ** Τὸ προοίμιον ἐκ παραδείγματος.

O 6 1g —λαμπράς· — ** συνίζησις. —ὑποβαλόντες. ἑδραίῳ.

O 6 2g —τῇ ἀρχῇ. — τοῦ οἴκου. πηγνύομεν.

O 6 3g —θαυμαστόν. — * οἶκον· — ** οἴκημα. κατασκευάσομεν τὸν ὕμνον.

O 6 4g —ἀρχὴν λαμβάνοντος. — ** γὰρ. — τοῦ καλοῦ δηλονότι. — ** ἤτοι τὴν ἀρχήν. Germ.

O 6 1-4 Ἡ σύνταξις αὕτη. οὕτως πήξομεν καὶ κατασκευάσομεν καὶ συναρμόσομεν τὸν ὕμνον, ὡς ὅτε καὶ ὁπότε κατασκευάζομεν μέγαρον θαητὸν ὑποστήσαντες τοὺς χρυσέους κίονας ἐν τῷ εὐτυχεῖ προθύρῳ τοῦ θαλάμου. Th. Τὸν λόγον ποιεῖται ἐκ μεταφορᾶς τῶν οἰκίας μεγαλοπρεπεῖς κατασκευαζόντων. ὥσπερ γὰρ ἐκεῖνοι εἰς τὰ πρόθυρα κίονας μεγάλας ὑποβάλλουσιν, οὕτω καὶ οὗτος ὡσπερεὶ μέγαρον κατασκευάζων τὸν ὅλον ὕμνον, χρυσέας κίονας ἐν τοῖς προθύροις, ἤτοι τῷ προοιμίῳ, ὑφίστησι. κίονας δὲ χρυσᾶς ἐνταῦθα νόει τὴν τοῦ προοιμίου καλλίστην καὶ μεγαλοπρεπεστάτην ἀρχήν. πήξομεν καὶ κατασκευάσομεν τὸν ὕμνον οὕτως, ὥσπερ ὅτε πηγνύομεν θηητὸν θαυμαστὸν μέγαρον καὶ οἶκον, ὑποστήσαντες καὶ ὑποβαλόντες τῷ εὐτειχεῖ προθύρῳ τοῦ θαλάμου χρυσέας καὶ λαμπρὰς κίονας. ** πρέπει.

O 6 5g — * ποιῆσαι. — * λαμπρόν. M.

O 6 1-5 Ὥσπερ ὅτε θαυμαστὸν μέγαρον πήγνυμεν, εὔκτιστον ποιοῦμεν τὸ πρόθυρον αὐτοῦ, λαμπρὰς κίονας ὑποτιθέντες αὐτῷ· οὕτω θαυμαστὸν ὕμνον μέλλοντες συντιθέναι, λαμπρὰ πρότερον τὰ τούτου προοίμια ποιήσαντες οὕτω συνθῶμεν αὐτόν. ἀρχομένου γὰρ ἔργου, λαμπροῦ δηλονότι, χρὴ ποιῆσαι πρόσωπον, ἤγουν ἀρχήν, τηλαυγῆ, τουτέστι λαμπράν. * τις.

O 6 6g —ἐν Ὀλυμπίᾳ νικήσας. Th.

O 6 7 Τοῦτο λέγει διὰ τὸν Ἀγησίαν. ἦν γὰρ καὶ Ὀλυμπιονίκης καὶ τοῦ ἐν Ὀλυμπίᾳ βωμοῦ ἱερεὺς ἢ διοικητὴς καὶ ἑορταστής, καὶ οἱ αὐτοῦ πρόγονοι συνῴκισαν τὴν Συρακουσίων πόλιν. Th. Τὸ μαντείῳ λέγει διότι ἐνταῦθα οἱ Ἰαμίδαι ἐμαντεύοντο, ὡς καὶ αὐτὸς προϊὼν ἐρεῖ. ** καί.

O 6 7g — * μαντικῷ. —διοικητήρ, ἱερεύς. ** οἰκιστής.

O 6 8g — ** καί. — κλεινῶν. ἄν.

O 6 10g ὁ πάντα ταῦτα ἔχων. —μὴ φθονερῶν. ** πολιτῶν.

O 6 11g — ἐπιθυμητοῖς ὕμνοις· πᾶς γὰρ ἐπιθυμεῖ τοῦ ὑμνεῖσθαι. M.

O 6 5-11 Εἰ δ' εἴη μέν τις Ὀλυμπιονίκης τῷ βωμῷ τε τοῦ Διὸς τῷ μαντικῷ τῷ ἐν τῇ Πίσῃ ταμίας, ἤγουν ἱερεύς, συνοικιστής τε (8) τῶν ἐνδόξων Συρακουσῶν· ταῦτα δὲ τοῦ Ἀγησίου εἰσὶ πλεονεκτήματα· (οὐκ αὐτὸς δὲ συνῴκισε τὰς Συρακούσας, ἀλλ' οἱ πατέρες αὐτοῦ, ὧν τὸ ἔργον ἐπὶ τῷ παιδὶ αὐτῶν τίθησιν οἰκείως) τίνα κε (9) φύγοι ὕμνον, ἀντὶ τοῦ τίνι ἂν ὕμνῳ ἀνοίκειος γένοιτο ἐκεῖνος ὁ ἀνὴρ ἐν ᾠδαῖς ἐπιθυμηταῖς ἐπικύρσας, ἤγουν ἐπιτυχὼν πολιτῶν οὐ φθονούντων; * γινωσκέτω.

O 6 12g — ** δή. —τῷ ἔχοντι τὰ τρία ταῦτα. προσφυῆ καὶ οἰκεῖον.

O 6 14g * ὁ Ἀγησίας. — * αἱ δίχα κινδύνου. Germ.

O 6 11-14 Ἴστω γὰρ καὶ γινωσκέτω ὁ υἱὸς τοῦ Σωστράτου, ὁ ὑμνούμενος δηλονότι, ἔχων δαιμόνιον καὶ λαμπρὸν πόδα καὶ προοίμιον ἐν τούτῳ τῷ πεδίλῳ καὶ τῷ ὕμνῳ. § τοῖς μὲν ὕμνοις παρέπονται στίχοι, τοῖς δὲ στίχοις ῥυθμός· καὶ πόδες ἐντὸς τῶν στίχων, οἱ δ' αὖ στίχοι ἐντὸς τῶν ὕμνων.

καλῶς ἄρα κληθήσονται καὶ πόδες καὶ πέδιλον ὁ ὕμνος. M. Ἴστω γά ρ ] γινωσκέτω δὴ ὁ υἱὸς τοῦ Σωστράτου ὁ Ἀγησίας τούτῳ τῷ ὑποδήματι, ἀντὶ τοῦ τούτῳ τῷ ὕμνῳ, τουτέστι τῷ τῆς νίκης τῶν Ὀλυμπίων καὶ τῷ τῆς ἱερατείας καὶ τῷ τῆς συνοικίσεως τῶν Συρακουσῶν, δαιμόνιον πόδ' ἔχων, ἀντὶ τοῦ δαιμονίως αὐτὸς ἁρμόζων, τουτέστιν ὡς ἀπὸ μοίρας δαίμονος. ἤτοι ἐν ἠπείρῳ. [10]

O 6 15g —ἤγουν ἐν θαλάσσῃ. ἐπαινεταί.

O 6 17g * διὰ πόνου τινὶ γένηται· ὁ γὰρ συμβὰς αὐτῷ πόνος οὐκ ἐᾷ λήθην κατακαυχήσασθαι. Th.

O 6 14-17 Ὁ μετὰ πόνου καὶ κινδύνου τὴν ἀρετὴν κατορθώσας πλείστου ἄξιος διὰ τὸ προηγήσασθαι πόνον τῆς αὐτοῦ ἀρετῆς· ὁ δὲ ἁπλῶς οὕτως εὐτυχῶν οὐκ ἐπαινετός· τύχης γὰρ εὐμενείᾳ κάλλιστος εἶναι δοκεῖ. χρὴ οὖν καὶ τοὺς ἐν ἠπείρῳ καὶ τοὺς θαλαττεύοντας οὐκ εἰ κατὰ σκοπὸν αὐτοῖς χωροίη τὰ πράγματα, τοῦτο σκοπεῖν, ἀλλὰ καὶ ἀγῶνας κατορθοῦν ἐθέλειν. τοῦτο δὲ λέγει παραμυθούμενος Ἀγησίαν ὡς μετὰ πόνου νικήσαντα. M. Αἱ ἀρεταὶ δὲ αἱ χωρὶς κινδύνων οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις, τουτέστιν οὔτε ἐν γῇ οὔτε ἐν θαλάσσῃ εἰσὶ τίμιαι, ἤγουν ἐπαινεταί. κυβερνήτης γὰρ ἄριστος ἐν κλύδωνι δείκνυται, καὶ ἀγωνιστὴς κραταιὸς ἰσχυρὸν ἀνταγωνιστὴν ἔχων. εἴ τι δὲ καλὸν σὺν πόνῳ κατορθωθῇ, πολλοὶ τούτου μέμνηνται. ὦ. [10]

O 6 18g —σοί. —πρόχειρος καὶ ἁρμόζων ὁ λόγος ἐκεῖνος. * δικαίως.

O 6 19g — * υἱὸν Ὀϊκλέους· — ** συνίζησις· πρός.

O 6 21g ** καί. Tr.

O 6 22 Ἔμαρψε ν ] ἤγουν κατεκάλυψε σχισθεῖσα ἐν τῷ Ὠρωπῷ τῆς Βοιωτίας, ἔνθα καὶ μαντεῖον αὐτοῦ ἐστιν. * λαμπράς.

O 6 22g —Δίαντα καὶ Θόαντα. Th.

O 6 23 Δέον ἑπτὰ πυρῶν νεκρῶν τελεσθεισῶν εἰπεῖν, τελεσθέντων εἶπε πρὸς τὸ νεκρῶν οὕτω· τελεσθέντων δὲ νεκρῶν ἑπτὰ πυρῶν, ἀντὶ τοῦ νεκρῶν γεγονότων ἑπτὰ καύσεων. ἑπτὰ δὲ καύσεις λέγει, ἐπειδὴ καὶ τὰ τάγματα παντὸς τοῦ Ἀργείου στρατοῦ ἑπτὰ ἦσαν, ὥστε οἱ ἐν ἑνὶ ἑκάστῳ ἀποθανόντες πυρᾷ ὑπεβλήθησαν πεπαυμένου τοῦ πολέμου καὶ ὑποσπόνδους τῶν Ἀργείων τοὺς αὐτῶν νεκροὺς εἰληφότων· οὕτω γὰρ ἦν ἔθος. ὥστε μὴ νόει τὸ νεκρῶν περὶ τῶν στρατηγῶν· ἀμήχανον γάρ. ἐπεὶ Ἄδραστος μὲν ζῶν ἐξεκεχωρήκει πρὸς Ἄργος, Ἀμφιάραος δὲ ζῶν ὑπὸ γῆς κατεπόθη, Πολυνείκης δὲ μετὰ Ἐτεοκλέους ἐντὸς Θηβῶν ἤχθη, οἱ δὲ καυθέντες τῶν στρατηγῶν τέσσαρες ἦσαν. τὸ δὲ Θήβαις πρὸς τὸ τελεσθέντων συναπτέον. ** γάρ. [10]

O 6 23g — ** δή. —καύσεων. M.

O 6 24 Ταλαϊονίδα ς ] ἀπὸ τοῦ Ταλαὸς Ταλαΐων, καὶ ἀπὸ τούτου Ταλαϊονίδης, ὡς ἀπὸ τοῦ Ἰαπετὸς Ἰαπετίων, εἶτα ἀπὸ τούτου Ἰαπετιονίδης. ὁ υἱὸς τοῦ Ταλαοῦ Ἄδραστος.

O 6 25g ** λόγον. M.

O 6 27 Ἀμφότερο ν ] εἰ μὲν οὐδετέρως τοῦτο δέχοιτό τις, παρακινδυνεύει· οὐ γὰρ ἑνικῶς δύναται λέγεσθαι τὰ ἀμφότερα· εἰ δ' ἀρσενικῶς κατ' αἰτιατικήν, ἀντὶ τοῦ ἀμφοτεροδέξιον, ἔξω τῆς γνώμης τοξεύει τῶν χρησαμένων αὐτῷ. ἐπὶ γὰρ τούτου τοῦ σημαινομένου καὶ μετὰ εὐθείας ἔστιν ὅτε λέγουσιν αὐτό, ὡς ἐν τούτοις· Ἀμφότερον, πολιός τε νόον πολιός τε κάρηνον. δοκεῖ δὴ ἐπιῤῥηματικῶς μᾶλλον λέγεσθαι, ἀντὶ τοῦ κατ' ἀμφότερα. οὕτω γὰρ καὶ τὴν ἔννοιαν σώζει καὶ τὸ παρακινδύνευμα λύει καὶ τῇ χρήσει οἰκείως ἔχει. τὸν Ἀμφιάραον. [10]

O 6 27g — * ὥσπερ ἐν τῷ Ἱέρωνος Ὀλυμπιονίκει (Ol. I 165) ἔφαμεν τὸ ἀμφότερα ἐν τῷ Πέποιθα δὲ μή τινα ξένο ν , οὕτω καὶ τοῦτο. ** καί.

O 6 28g —δεξιόν· ὅμοιόν ἐστι τῷ παρ' Ὁμήρῳ βασιλεύς τ' ἀγαθὸς κρατερός τ' αἰχμητής. πολέμῳ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 6 29g —μάχεσθαι ἀγαθόν. M.

O 6 18-29 Ὦ Ἀγησία, πρὸς σὲ δέ ἐστιν ἔπαινος ἑτοῖμος, ἤγουν πρόχειρος, οὐ σὺν πόνῳ εὑρισκόμενος, ἅτε δηλονότι ὑφ’ ἑτέρου προειρημένος, ὃν δικαίως ἐφθέγξατό ποτε ὁ Ἄδραστος διὰ γλώττης εἰς τὸν μάντιν τὸν Ἀμφιάραον τὸν υἱὸν τοῦ Ὀϊκλέος, ἡνίκα κατέσχεν ἡ γῆ αὐτόν τέ νιν, ἤγουν καὶ αὐτὸν ἐκεῖνον, καὶ τὰς ἵππους αὐτοῦ τὰς φαιδίμας, τουτέστι τὰς λαμπράς, τὰς περιφανεῖς. τῶν νεκρῶν γὰρ δὴ τῶν ἑπτὰ πυρκαϊῶν τελεσθέντων, ἤγουν συναχθέντων καὶ ἀποκαταστάντων ἐπὶ τῷ δοθήσεσθαι τῇ πυρᾷ· ἑπτὰ γὰρ ταγμάτων ὄντων ἑκάστου τάγματος οἱ πεσόντες εἰς ἰδίαν πυρκαϊὰν συνελέγοντο· εἶπεν ἐν ταῖς Θήβαις ὁ υἱὸς τοῦ Ταλαοῦ ὁ Ἄδραστος τοιοῦτόν τι ἔπος· ποθῶ ἰδεῖν δηλονότι τὸν ὀφθαλμὸν τῆς ἐμῆς στρατιᾶς, ἀντὶ τοῦ τὸν περιφανέστατον καὶ ἐξαίρετον, τουτέστι τὸν Ἀμφιάραον, ἀμφότερον, ἐπιρρηματικῶς ἀντὶ τοῦ κατ’ ἀμφότερα, μάντιν τε ἀγαθὸν ὄντα, ἤγουν ἀγαθὸν τὴν μαντικήν, καὶ δουρὶ μάρνασθαι, τουτέστι καὶ ἀγαθὸν κατὰ τὴν ἐν πολέμῳ μάχην. * τοῦτο τὸ πρὸς Ἀμφιάραον ῥηθέν. [15]

O 6 29g καὶ γὰρ καὶ αὐτὸς ἀμφότερά ἐστι, καὶ ἀνδρεῖος καὶ ἐκ μάντεων καταγόμενος. τῷ Ἀγησίᾳ.

O 6 30g —ὕμνου· οὗτος γὰρ αἴτιος τοῦ ὕμνου νικήσας γεγένηται. Germ.

O 6 31 Πάρεστ ι ] τὸ ἐστί κατάφασις, ἡ κατάφασις δὲ συγκατάθεσις καὶ οἱονεὶ συναρμογή. ἐπεὶ δὲ οὕτως ταῦτά εἰσι, τεθήσεται τὸ πάρεστιν ἀντὶ τοῦ ἁρμόζει. τὸ γὰρ ἐστὶ κατάφασις. ** Νῦν πάρεστι γράφε διὰ τὸ μέτρον καὶ οὐ δύσερίς τις · εἰ δ’ ἄλλως γράφεις, οὐκ ὀρθὸν ἔσται.

O 6 32g * μάτην φιλόνεικος. — ** ὢν ἐγώ. οὖν.

O 6 35 Germ. Τοῦτο αὐτὸ προσμαρτυρήσω τὸ προδεδηλωμένον, ὅτι εἰς πάντα ὁ Ἀγησίας παραπλήσιος ἦν τῷ Ἀμφιαράῳ. τὸ πρὸς Ἀμφιάραον ῥηθέν.

O 6 35g —τῷ Ἀγησίᾳ. —φανερῶς καὶ ἀληθῶς. Germ.

O 6 36 Εἰκότως ἐπιτραπῆναι παρὰ τῶν Μουσῶν αἰτιᾶται, ἐπειδὴ οἶδεν ἁρμοστὸν καὶ ἁρμόδιον ὁ ποιητὴς τὸ ὀμνύειν τοῖς ἐγκωμιάζουσι τὸν ὅρκον ἐπιτρεπόντων τῶν σοφῶν. τοῦτο εἰπεῖν με παραχωρήσουσι· λέγει δὲ διὰ τὴν αὐτοῦ γνώμην, ὡς ἀκριβῶς τοῦτο ἐπισταμένην.

O 6 29-36 M. Τοῦτο τὸ ἐπὶ Ἀμφιαράῳ δηλονότι ῥηθὲν ἔπος πάρεστι νῦν, ἀντὶ τοῦ ἁρμόζει, καὶ τῷ ἀνδρὶ τῷ Συρακουσίῳ, τῷ δεσπότῃ τοῦ μετὰ χορείας ὕμνου, ἤγουν τῷ Ἀγησίᾳ. οὔτε φιλόνεικος ὢν (32) οὔτε τις ἄγαν σκληρὸς εἰς ἔριν, καὶ μέγαν ὅρκον ὀμόσας, τοῦτο τὸ ἔπος, ἤγουν τοῦτον τὸν ἔπαινον ἀληθῶς αὐτῷ, τῷ Ἀγησίᾳ, μαρτυρήσω. αἱ γλυκύφωνοι δὲ ᾠδαὶ ἐπ’ ἐμοὶ τοῦτο δώσουσιν, ἤγουν οὐκ ἀντιτάξονται, συνδραμοῦνται τῇ μαρτυρίᾳ. ἡνίοχε τοῦ Ἀγησίου, ἤγουν ὦ ψυχὴ ἐμή. [5]

O 6 37g —ἤγουν ὑπὸ ζυγὸν ἄγαγε· λέγει δὲ ἀντὶ τοῦ ἄρχου ἐπαινεῖν τοὺς Ἀγησίου ἵππους. ἤτοι τὰς ἡμιόνους, περιφραστικῶς.

O 6 39 καθά ἐστι. Germ.

O 6 37-39 Ἡ σύνταξις αὕτη. ἀλλ’ ὦ Φίντις καὶ ὦ ἡνίοχε, ὦ νοῦ, ζεῦξον ἤδη μοι τὸ σθένος τῶν ἡμιόνων, ᾗ καὶ καθὰ τάχος καὶ ταχέως, αὐτόχρημα. ἢ οὕτως. ἀλλ’ ὦ Φίντις, ζεῦξον ἤδη μοι τὸ σθένος τῶν ἡμιόνων, αἳ καὶ αἵτινες, ἤγουν αἱ ἡμίονοι, ἄντικρυς ὑπάρχουσι τάχος καὶ ταχέως, αὐτόχρημα· αὐτὴ ἡ ποιότης, ἡ ταχυτής. * ἵνα. [5]

O 6 39g — ** καί. —ἤτοι ἐγκωμίου προσήκοντι τόπῳ. πορεύσομεν.

O 6 40g —τὸ ἅρμα ἤτοι τὸν ὕμνον. — ** καὶ. —τῶν Ἀγησίου προγόνων. Germ.

O 6 39-40 Ὄφρα κελεύθῳ τ ’ ἐν καθαρ ᾷ ] ἵνα ἐπιβιβάσωμεν καὶ πορεύσωμεν ἐν καθαρᾷ καὶ ἀνεμποδίστῳ ὁδῷ τὸν ὄκχον καὶ τὸ ἅρμα καὶ ὄχημα. Th.

O 6 40-41

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τὸ πρὸς εἰς τὸ γένος συναπτέον, οὕτω· καὶ ἵκωμαι καὶ ἔλθω καὶ πρὸς τὸ γένος τῶν ἀνδρῶν. αἱ τοῦ Ἀγησίου ἡμίονοι, ἤγουν τὸ αὐτὰς ἐγκωμιάζειν.

O 6 42g * ὁδηγῆσαι ἡμᾶς. τὴν τοῦ ἐγκωμίου.

O 6 43g — ἐστεφανοῦντο γὰρ καὶ οἱ ἵπποι. ** ἤτοι ἐστεφανώθησαν.

O 6 44g — ** πρέπει. —εἰσόδους, ἀρχάς. ἀνοιγνύναι.

O 6 45g —ταῖς ἡμιόνοις. M.

O 6 37-45 Ἀλλ' ὦ Φίντις, ἤγουν ἡνίοχε· πρὸς τὸν ἑαυτοῦ δὲ λέγει νοῦν· ζεῦξον ἤδη ἐμοί, ἤγουν ἀπὸ τοῦ νῦν, τὸ σθένος τῶν ἡμιόνων, τουτέστι τὴν δύναμιν τοῦ λόγου τοῦ περὶ τῶν ἡμιόνων τοῦ Ἀγησίου καθ' ὅσον τάχος, (39) ὅπως ἐν ὁδῷ καθαρᾷ, τουτέστι δικαίᾳ, ἀναβιβάσωμεν τὸν ὄκχον, ἤγουν τὸ ὄχημα, ἀντὶ τοῦ τὸν ὕμνον τὸν ἐπὶ τῷ ἀφίκωμαί τε καὶ πρὸς τὸ γένος τῶν ἀνδρῶν, ἤγουν πρὸς τὸν Ἴαμον. κεῖναι γάρ (41), ἤγουν αἱ ἡμίονοι τοῦ Ἀγησία μόναι δηλονότι ἐξ ἁπάντων τῶν ἄλλων ἵππων ἐπὶ τὴν ὁδὸν ταύτην, ἤγουν τὴν πρὸς τὸ γένος τοῦ Ἀγησία ἐπίστανται ἡγεμονεῦσαι, ἤγουν ὁδηγῆσαι, προοδοποιῆσαι· ἐπεὶ στεφάνους ἐδέξαντο, ἤγουν ἐστεφανώθησαν ἐν τῇ Ὀλυμπίᾳ. χρὴ τοίνυν (44) ἀναπιτνάμεν, ἤγουν ἀναπεταννύειν, ἀνοίγειν, χάριν αὐτῶν, τῶν ἡμιόνων δηλονότι, τὰς πύλας τῶν ὕμνων, ἀντὶ τοῦ χρὴ ὑμνεῖν αὐτάς. —Ἀπὸ τοῦ πιτνῶ, τὸ πίπτω, καὶ τῆς ἀνὰ προθέσεως ἀναπιτνῶ. ἀφ' οὗ ἀναπιτνᾶν καὶ Δωρικῶς ἀναπιτνάμεναι καὶ ἀναπιτνάμεν ἀντὶ τοῦ ἄνω κεῖσθαι ποιεῖν, ἤγουν ἀνοίγειν, ἀναπετᾶν. ἀποβάλλει δὲ τὸ προσγεγραμμένον καὶ συστέλλεται κατὰ τὴν ἀκολουθίαν τοῦ ἔμεναι, δόμεναι, θέμεναι. Th. [15]

O 6 46 Εὐρώτου τοῦ Λακωνικοῦ ποταμοῦ θυγάτηρ γέγονε Πιτάνα. αὕτη ὑπὸ Ποσειδῶνος ἔγκυος γενομένη καὶ τῷ δοκεῖν εἶναι παρθένος λανθάνουσα, ὅτε καιρὸς ἥκει τοῦ τοκετοῦ, γεννήσασα τὴν Εὐάδνην δέδωκε ταῖς ἀμφιπόλοις λάθρα πρὸς Αἴπυτον τὸν Ἀρκάδων βασιλέα ἀγαγεῖν τὸ βρέφος. ἄλλοι δέ φασι, καὶ ἀληθῆ λέγοντες, ὡς ἡνίκα τοῦτο ἐγέννησε, διὰ τῶν θεραπαινίδων εἰς ἐρημίαν ἐξέθηκεν· ὅθεν ἀνελόμενος Αἴπυτος ἔτρεφεν. ὃ καὶ Πίνδαρος εἰδώς, ἐπειδὴ ἐγκώμιον Ἀγησίου ποιεῖται, ἀντὶ τοῦ εἰπεῖν ἐκθεῖναι αὐτὴν τὸ βρέφος ἐκπέμψαι πρὸς Αἴπυτον λέγει. ἀτιμίαν γὰρ Ἀγησίου εἶχεν ἄν. τὴν Ἀγησίου προμήτορα. [10]

O 6 46g —ποταμοῦ Λακωνικοῦ. ἀναδραμεῖν με τῷ ὕμνῳ.

O 6 47g —ἐγκαίρως· δεῖ γὰρ τοὺς προγόνους αὐτοῦ πρῶτον εἰπόντα εἶτα καὶ ἐπ' αὐτὸν καταβῆναι· ἡ Πιτάνη.

O 6 49g ** ἑνωθεῖσα γαμικῶς. — * τῷ υἱῷ τοῦ Κρόνου. τὴν ὥσπερ ἴα τρίχας ἔχουσαν.

O 6 50g —γεννῆσαι. — ** οἱ γράφοντες ἰοπλόκαμον ἀγνοοῦσι τὰ μέτρα. Th.

O 6 51 Τοῦτο διπλῶς νόει. φασὶ δὲ κρύψαι τὴν παρθενίαν ἐν τοῖς κόλποις τὴν ὠδῖνα, τουτέστιν ἡ παρθενία ἤτοι τὸ δοκεῖν παρὰ πάντων παρθένον εἶναι ἔκρυψε τὴν συμβᾶσαν αὐτῇ ὑπὸ Ποσειδῶνος ὠδῖνα, ἀντὶ τοῦ λανθάνειν ἐποίησεν. ἢ οὕτω. κρύψαι δὲ τὴν ἐν τοῖς κόλποις ὠδῖνα τὴν παρθενίαν, τουτέστι τὸ ἐγκύμονα αὐτὴν ὑπὸ Ποσειδῶνος γενέσθαι, πόῤῥω αὐτὴν τῶν παρθένων ἐποίησε. τὸ δὲ ἐν τοῖς κόλποις λέγει διὰ τὸ εἶναι τὴν ὠδῖνα ἐντὸς κόλπου. εἰ καὶ εὕρηται παρά τισι τῶν βιβλίων κρύψε τὸ ψε ψιλὸν ἀντὶ τοῦ ἔκρυψε κατὰ συγκοπὴν τοῦ ε , ἀλλ' οὐκ ἔχει λόγον· ἀμήχανον γὰρ οὕτω συνταχθῆναι· οὐ γάρ ἐστι τὸ ὠδῖνα εὐθεῖα, ἀλλ' αἰτιατική, ὥστε ζητητέον τοὺς οὕτω λέγοντας, τίς ἔκρυψεν; Tr. Τοῦτο διπλῶς νόει. ἔκρυψε δὲ ἡ Πιτάνη ἐν τοῖς κόλποις τὴν παρθενίαν καὶ παρθενικὴν ὠδῖνα, ἤγουν ἣν συνέλαβεν ὠδῖνα ἔκρυψε παρθένος εἶναι δοκοῦσα. ἢ οὕτως· ἔκρυψε δὲ ἐν τοῖς κόλποις τὴν ὠδῖνα τὴν παρθενίαν, τουτέστι τὴν κρυφίως γενομένην. Παρθένιοι γὰρ λέγονται παῖδες οἱ λάθρα τικτόμενοι παρὰ τῶν ἔτι νομιζομένων εἶναι παρθένων. οὕτω που καὶ Ὅμηρός φησι (IL. Π 179)· Τῆς δ' ἑτέρης

Εὔδωρος Ἀρήιος ἡγεμόνευεν Παρθένιος. ἐμοὶ δὲ δοκεῖ κάλλιον παρθενίᾳ γράφειν, ἵν’ εἴη σαφὴς ὁ λόγος οὕτως· ἔκρυψε δὲ τὴν ἐν τοῖς κόλποις ὠδῖνα ἐν τῇ παρθενίᾳ, ἤτοι ἐν τῷ δοκεῖν ἔτι παρθένος εἶναι. εἰ δ’ ἐπ’ εὐθείας τὸ παρθενία νοήσεις λέγων, ἔκρυψε δὲ ἡ παρθενία τὴν ἐν τοῖς κόλποις ὠδῖνα, οὐ μόνον σαφέστερος ἂν εἴη ὁ λόγος, ἀλλὰ καὶ κατὰ σύνταξιν ἀρίστως ἔχων. οἱ δὲ γράφοντες τὸ ψαι δίφθογγον, ἵνα πρὸς τὸ λέγεται συντάξωσιν, ἀγνοοῦσι τὰ μέτρα. * λέγεται.

O 6 51g — * τὴν παρθενικήν. ἤγουν τῷ νενομισμένῳ τοῦ τοκετοῦ.

O 6 53g * τὰς δούλας. — * αὐταῖς. Germ.

O 6 54 Τὸ προσαίνειν ἀντὶ τοῦ τρέφειν. γίνεται δὲ ἀπὸ τοῦ πόρσω, τὸ μακράν, ἐξ οὗ καὶ πόρσιον τὸ μακρότερον. τῷ μηκύνειν γοῦν παρέπεται ἡ αὔξησις, ἡ δὲ αὔξησίς ἐστι καὶ ἐν τοῖς ἐμψύχοις σώμασιν οὐκ ἄλλως εἰ μὴ διὰ τροφῆς. ῥηθήσεται πορσαίνειν οὖν τὸ τρέφειν. * τρέφειν καὶ αὔξειν.

O 6 54g — * δοῦναι. — * τῷ υἱῷ τοῦ Ἐλάτου τῷ Αἰπύτῳ. τὴν Εὐάδνην.

O 6 55g — ** ὁ Αἴπυτος. — * ἐβασίλευεν. — ** ἐν. M.

O 6 46-55 Πρὸς τὴν Πιτάνην δὲ τὴν τοῦ ὀνόματος αὐτῆς μεταδοῦσαν τῇ πόλει τῇ παρὰ τὸ ῥεῦμα τοῦ Εὐρώτα τοῦ ποταμοῦ δεῖ σήμερον ἀπελθεῖν ἐγκαίρως, ἥτις (48) τῷ Ποσειδῶνι μιγεῖσα τῷ υἱῷ τοῦ Κρόνου λέγεται τεκεῖν αὐτῷ θυγατέρα μελανοπλόκαμον τὴν Εὐάδνην. κρύψε (51) δὲ παρθενίαν ὠδῖνα κόλποις ἡ Πιτάνη, ἤγουν συνέλαβε δὲ ἐν τοῖς μυχοῖς τῆς γαστρὸς ἐγκυμόνησιν, σύλληψιν παρθενικήν. ἀσάφειάν τινα ἔχει ὁ λόγος, ταύτης δὲ αἰτία ἡ διάλυσίς ἐστιν. εἰ γὰρ συνημμένος ὁ λόγος ἐλέγετο, ἦν ἂν σαφὴς ἔχων οὕτως. ἥτις τῷ Ποσειδῶνι μιγεῖσα τῷ υἱῷ τοῦ Κρόνου, λέγεται συλλαβοῦσα ἐν τοῖς μυχοῖς τῆς γαστρὸς σύλληψιν παρθενικὴν τεκεῖν αὐτῷ θυγατέρα μελανοπλόκαμον τὴν Εὐάδνην. κατὰ τὸν μῆνα δὲ τὸν ὡρισμένον (52) τοῦ τόκου, ἤγουν αὐτίκα δὲ καθ’ ὃν μῆνα ἔτεκεν αὐτήν, πέμπουσα ἀμφιπόλους, ἀντὶ τοῦ προσπόλους, ἤγουν δούλους, ἐκέλευσεν αὐτοῖς δηλονότι δοῦναι τὸ βρέφος τῷ ἥρωϊ (54) τῷ Εἰλατίδῃ, ἤγουν τῷ Αἰπύτῳ τῷ υἱῷ τοῦ Ἐλάτου πορσαίνειν, ἤγουν ἀνατρέφειν, αὔξειν. ἀπὸ τοῦ πόῤῥω πόρσω, καὶ ἀπὸ τούτου πορσαίνω, τὸ εἰς προκοπὴν ἄγω καὶ πόῤῥω ποιῶ ἐκείνου, ἐφ’ ᾧ ἐστιν. Th.

O 6 55 Πάντες μὲν οἱ ὑπομνηματισταὶ τῆς Ἀρκαδίας εἶναι πόλιν τὴν Φαισάναν διεδέξαντο, ὁ δὲ Δίδυμος τῆς Ἤλιδος αὐτὴν εἶναί φησι καὶ ὑπεραπολογεῖται τοῦ ῥητοῦ οὕτως, ὅτι ποτὲ οἱ Ἀρκάδες καὶ τῆς Ἤλιδος ἐβασίλευον κατὰ τὸν χρόνον τοῦ Αἰπύτου. οἱ δὲ βουλόμενοι τὴν Φαισάναν Ἀρκαδικὴν εἶναι τὸ περὶ Ἀλφειοῦ οὕτως ἀπολύονται, ὅτι διὰ Φαισάνης ἔχει ὁ ποταμὸς τὰ ῥεύματα· φέρεται γὰρ ἐξ Ἀσίας κώμης Ἀρκαδικῆς· ἢ ὅτι αἱ πηγαὶ τοῦ Ἀλφειοῦ ἐκ Νασσέως τῆς Ἀρκαδικῆς εἰσι καὶ μεταποιοῦνται αὐτοῦ οἱ Ἀρκάδες. * ὄνομα πόλεως.

O 6 56g — πόλει. ἐν τῷ Αἰπύτῳ.

O 6 57g — * ἡ Εὐάδνη. μετέσχεν.

O 6 59g εἰ καὶ κατ’ ἀρχάς. κρύπτουσα.

O 6 60g —τοῦ Ἀπόλλωνος. —τὴν ὠδῖνα, τὸ σπέρμα. ὁ Αἴπυτος.

O 6 61g — ** εἰς τὴν Πυθῶνα. — * τῇ ψυχῇ αὐτοῦ. —βίᾳ κατασχών. — συσφίξας, κατασχών. ἣν πρὸς αὐτὴν ὀργὴν εἶχε.

O 6 62g —ποταπόν; ἄῤῥητον. ταχείᾳ.

O 6 63g — * φροντίδι. ** περὶ ταύτης.

O 6 65g —ἀφορήτου. —τῆς δι’ Εὐάδνην λύπης. — ἤγουν τῆς φθορᾶς τῆς κόρης. * ἡ Εὐάδνη.

O 6 66g

Eulogikon public reading copy · View original HTML at eulogikon.org

—ἐρυθράν. ἀποῤῥίψασα· οὕτω γὰρ ποιοῦσιν αἱ τίκτουσαι.

O 6 68g καρδάριον· ἐξῆλθε γὰρ τῆς πόλεως δῆθεν ἀντλήσουσα ὕδωρ. Germ.

O 6 69 Κυανέα ς ] ἢ τῆς βαθυτάτης κατὰ τοῦ δάσους ἢ τῆς ὑπὸ τῶν ἴων χροίας μελαινομένης. ὑπὸ τὸ δάσος τῶν ἴων.

O 6 69g — * ἤτοι τὰς σκιώδεις διὰ τὸ δάσος ἢ ὅτι τὰ ἴα τοιαύτην ἔχει χροιάν. Tr.

O 6 70 Κυανέας ἢ τὰς σκιώδεις διὰ τὸ δάσος ἢ ὅτι τὰ ἴα τοιαύτην ἔχει τὴν χροιάν. θεόφρονα δὲ λέγει τὸν Ἴαμον ὡς γινώσκοντα τὰ πάντα διὰ τῆς μαντικῆς ὥσπερ οἱ θεοί. M.

O 6 55–70 Ὅστις, ἤγουν ὁ Αἴπυτος, ἀνδρῶν Ἀρκάδων ἐβασίλευε κατὰ τὴν πόλιν τὴν Φαισάναν, ἔλαχέ τε, ἤγουν ἐκληρώθη οἰκεῖν τὸν Ἀλφειόν· ἀπὸ τῆς Φαισάνης γὰρ καταῤῥεῖ ὁ Ἀλφειός, καταντᾷ δὲ εἰς τὴν Ἦλιν· τὸ δὲ μέσον αὐτοῦ κατὰ τὴν Ἐπίδαυρον· ἔνθα ἀνατραφεῖσα (57) αὐτή, δηλονότι ἡ Εὐάδνη, ὑπ᾽ Ἀπόλλωνος πρῶτον ἔψαυσεν Ἀφροδίτης γλυκείας, ἀντὶ τοῦ ἱμερτῆς. κλέπτουσα δέ, ἤγουν πειρωμένη λαθεῖν ἐγκυμονοῦσα τὸν γόνον, τουτέστι τὸ σπέρμα τοῦ θεοῦ, ἤτοι τοῦ Ἀπόλλωνος, οὐκ ἔλαθε τὸν Αἴπυτον ἐν παντὶ χρόνῳ, ἤγουν διὰ παντός. ἀλλ᾽ ὁ μὲν (61) γνοὺς θυμὸν οὐ φατὸν, ἤγουν ἄῤῥητον, μέγαν, ἐν τῇ ψυχῇ κατασχὼν σὺν φροντίδι ὀξείᾳ, τουτέστιν ἐπιτεταμένῃ, ἀπὸ μεταφορᾶς τῶν ὀξέων βελῶν τῶν βλάπτειν μάλιστα δυναμένων, ἀφανὴς ἐγένετο ἀπερχόμενος Πυθῶναδε, ἤγουν εἰς τὴν Πυθῶνα, μαντευσόμενος περὶ ταύτης τῆς ἀφορήτου βλάβης, τουτέστι τῆς κρυφίου διακορήσεως. ἡ δέ (66), ἤγουν ἡ Εὐάδνη, καταθεῖσα τὴν ζώνην αὐτῆς τὴν φοινικόκροκον, ἤγουν τὴν τῷ κρόκῳ βεβαμμένην καὶ τὴν καλπίδα τὴν ἀπὸ ἀργύρου κατεσκευασμένην (ἔστι δὲ ἡ κάλπις ἀγγεῖόν τι ὑδροδόχον) λόχμας ὑπὸ κυανέας (69), ἤγουν ὑποκάτω δένδρων σκιᾶς βαθείας ποιητικῶν διὰ τὴν πυκνότητα ἔτεκεν υἱὸν θεόφρονα, ἤγουν ἐνθέου φρονήσεως δεκτικόν. τοῦτο δέ φησι διὰ τὴν ὕστερον ἠσκημένην αὐτῷ μαντικήν. τῇ Εὐάδνῃ. [20]

O 6 71g —ὁ χρυσὰς κόμας ἔχων Ἀπόλλων. —ποταπήν; πραεῖαν. * θεὰ ἔφορος τοῦ τοκετοῦ.

O 6 72g — ** καί. — * ἵνα τὰ κάλλιστα τῷ παιδὶ ἐπικλώσωσι· τοῦτο δὲ ἐποίει σεμνύνων τὰς αὐτοῦ γονάς. — ** Ἐλευθὼ γράφε καὶ μὴ Εἰλείθυι α . οὕτω γὰρ ἁρμόζει τῷ μέτρῳ. * ἐν τούτῳ γὰρ τῷ τῆς γαστρὸς μέρει ἐστὶ τὸ ἔμβρυον· ἢ τὸ σπλάγχνων ἀντὶ τοῦ γαστρὸς ἁπλῶς. [5]

O 6 74g * γέννας τῆς ἐπιθυμητῆς, ἢ διότι θεοῦ παῖδα ἐγέννα, ἢ ὅτι πᾶσαι ἐπιθυμοῦσι τεκεῖν καὶ τῶν ἐντεῦθεν ἀπηλλάχθαι κακῶν. τὸν Ἴαμον.

O 6 75g —λυπουμένη ἡ μήτηρ. — κυρίως κνίζεσθαι τὸ ἐρωτικῶς λυπεῖσθαι. ** ἀφῆκε.

O 6 76g —γλαυκόφθαλμοι. ** τῶν θεῶν.

O 6 77g —προστάξεσι καὶ γνώμαις. Germ.

O 6 79 Ἰῷ μελισσᾶ ν ] ἰῷ τῷ ὡς ἀπὸ μελισσῶν· μετετρέπετο γὰρ τῇ θεῶν κελεύσει ὁ ἰὸς ὁ τοῦ δράκοντος εἰς μέλι· ἢ ἐν κηρίῳ μελισσῶν. ἐπεὶ οὐδέν ἐστιν ἄλλο ἴδιον ἢ ὁ ἰὸς τῷ δράκοντι μεταδιδόναι, φυλάξας ὁ ποιητὴς τοῦτο, ἐδήλωσε διὰ τούτου τὸ κηρίον. Th. Εἰκότως εἶπε τὸ ἀμεμφεῖ ἰῷ μελισσᾶ ν· ὁ γὰρ τῶν ὄφεων ἰὸς μεμπτὸς διὰ τὸ φθορὰν ἐργάζεσθαι. φροντίζοντες αὐτοῦ. [5]

O 6 79g — * ὁ Αἴπυτος. * πετρώδους· ἐν γὰρ τῷ Παρνασῷ οἱ Δελφοί.

O 6 81g ** τοῦ μαντείου. —τῷ αὐτοῦ. Th.

O 6 82 Μὴ λάβῃς εἰς τὸ παῖδα ἔξωθεν τὸ διά, —ἀλλ᾽ ὥσπερ φαμέν, στερῶ σε πλοῦτον, καὶ ἀφαιρῶ σε οἰκίαν, καὶ ὑβρίζω σε ὕβριν, οὕτω καὶ ἔρομαί σε λόγον. * ἠρώτησε.

O 6 82g —ὅντινα. τοῦ Ἀπόλλωνος.

O 6 83g — ** τὸν παῖδα. — * γεγονέναι. * περισσῶς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 6 84g — ** τῶν ἀνθρώπων. τοῖς ἀνθρώποις.

O 6 86g ὑπέρτατον. — * τὴν αὐτοῦ· — αὐτῷ, δηλονότι ἔφη. M.

O 6 71-86 Ταύτῃ μὲν τικτούσῃ ὁ Ἀπόλλων ὁ χρυσῆν ἔχων κόμην παρέστησεν Ἐλευθώ τε, ἤγουν Εἰλείθυιαν, ἔφορον δηλονότι θεὰν τῶν τόκων, πραΰμητιν, ἤγουν πραέα, φίλα φρονοῦσαν αὐτῇ, καὶ τὰς Μοίρας συμπαρέστησεν, ἵν' εὐδαίμων εἴη δηλονότι ὁ παῖς. ἦλθε δὲ (73) ὁ Ἴαμος εἰς φῶς αὐτίκα ἐκ τῆς ἐπεράστου ἐντὸς τῶν σπλάγχνων ἐγκυμονήσεως. τὸν μὲν κνιζομένη, ἀντὶ τοῦ λυπουμένη, ἀλγοῦσα, κατελίμπανεν (76) ἐν γῇ· δύο δὲ δράκοντες γλαυκῶπες, ἤγουν λαμπροὺς καὶ στίλβοντας ἔχοντες τοὺς ὀφθαλμούς, κατὰ βούλησιν θεῶν ἐθρέψαντο αὐτὸν κηδόμενοι, ἤγουν ἐπιμελούμενοι, δι' ἰοῦ μελισσῶν ἀμεμφοῦς, τουτέστιν οὐ μέμψεως ἀξίου ἀλλὰ ἐπαίνου δηλονότι, ἤτοι διὰ μέλιτος. ὁ βασιλεὺς δέ, ὁ Αἴπυτος δηλονότι, ἐπεὶ ἀφίκετο ἐκ τῆς Πυθῶνος τῆς πετραέσσης, ἤγουν τῆς πετρώδους, τῆς τραχείας, ἐλαύνων, τοὺς ἵππους δηλονότι, ἅπαντας τοὺς ἐν τῷ οἴκῳ ἠρώτα (82), διὰ τὸν παῖδα, ὃν ἡ Εὐάδνη ἔτεκε· τοῦ Φοίβου γὰρ πατρὸς ἔφη αὐτὸν γεγονέναι, υἱὸν δηλονότι, μάντιν δὲ ἔσεσθαι τοῖς ἀνθρώποις ἔξοχον περισσῶς πάντων τῶν ἀνθρώπων, ἤγουν ὑπὲρ πάντα ἀνθρώπους· οὐδέ ποτε ἐκλείψειν, ἤγουν σβεσθήσεσθαι, ἐκποδὼν γενήσεσθαι τὴν γενεὰν αὐτοῦ. οὕτως. [15]

O 6 87g —ἔλεγεν ὁ Αἴπυτος. —οἱ κατ' οἶκον· — οὗτοι. —οὖν. —ὃν ἤρετο αὐτοὺς παῖδα. Germ.

O 6 88 Πᾶσα εὐχὴ διὰ λόγου· ἐπεὶ δὲ οὕτω, ῥηθήσεται καὶ ὁ ἁπλὸς λόγος εὐχή. Th. Διεβεβαιοῦντο, ἐπεὶ ὁ καυχώμενος διαβεβαιοῦται τοῦτο ὃ καυχᾶται. ἢ εὔχοντο ἀντὶ τοῦ μετὰ τῆς πρὸς θεοὺς εὐχῆς διεβεβαιοῦντο. τὸ δὲ πεμπταῖον γεγενημένον ἀντὶ τοῦ πέντε ἡμέρας ἔχοντα μετὰ τὸ γεννηθῆναι. ἔστι δὲ ἀπὸ τοῦ ποιητοῦ λέγοντος πέντε τοῦτον ἡμέρας ἔχοντα μετὰ τὸ γεννηθῆναι· ἐκεῖνοι γὰρ οὔτε ἀκοῦσαι οὔτε ἰδεῖν διεβεβαιοῦντο. διεβεβαιοῦντο. [5]

O 6 90 Th. Τὸ σχοίνῳ ἐνταῦθα καὶ τὸ βατείᾳ καταχρηστικῶς εἶπε. σχοῖνος γὰρ τὸ λεγόμενον ἰδιωτικῶς βροῦλον καὶ ἡ τούτων συναγωγὴ καὶ βατεία ἡ τῶν βάτων συναγωγή· ἐνταῦθα δὲ τὸ σχοίνῳ καὶ βατείᾳ ἀντὶ τοῦ δάσει νόει, ἢ διότι ἐν ταῖς βάτοις τὰ ῥόδα καὶ τὰ ἴα εὑρίσκονται. πολλῇ καὶ δασείᾳ. [5]

O 6 91g πυρώδεσι. —παμποικίλοις καὶ ὀξέσι. στιλπνότητι.

O 6 92g — * δεδροσισμένος. — * Δέον ἁβρῶς εἰπεῖν, ἤτοι δαψιλῶς βεβρεγμένος, ἁβρὸν εἶπε πρὸς τὸ σῶμα. ** τό.

O 6 93g —τὸ ἐν τοῖς ἴοις γεννηθῆναι. —ὠνόμασεν. αὐτόν.

O 6 94g —ἐν. —ἡ Εὐάδνη. ὃ καλεῖται.

O 6 95g — ἀκατάπαυστον· πάντες γὰρ οἱ ἐξ ἐκείνου οὕτω καλοῦνται. M Οὕτως ἄρα ἐδήλου.

O 6 87-95 οἱ δέ, ἤγουν οἱ ἐν τῷ οἴκῳ, οὔτ' οὖν ἀκοῦσαι οὔτε ἰδεῖν τοῦτον εὔχοντο, ἤγουν ἠρνοῦντο μετὰ καταρῶν, καὶ ταῦτα πεμπταῖον, ἤγουν πέντε ἡμερῶν γεγενημένον (89), τουτέστιν ὄντα. ἀλλ' ἐγκέκρυπτο γὰρ ( ὁ ἀλλὰ ἀντὶ τοῦ κα ί ) ἤγουν καὶ γὰρ ἐγκέκρυπτο ἐν σχοίνῳ καὶ ἐν βατίᾳ, ἤγουν βάτῳ ἀπειράτῳ, τουτέστιν ἀψηλαφήτῳ, ἀψαύστῳ, διὰ τὰς ἀκάνθας, ἀκτῖσιν ἴων, ἤγουν λαμπρότησι, διαυγείαις ξανθαῖς καὶ κατὰ πολὺ πορφυροῖς, περιφραστικῶς ἀντὶ τοῦ ὑπὸ διαυγῶν ἴων ξανθῶν καὶ κατὰ πολὺ πορφυρῶν βεβρεγμένος (92) τουτέστι δεδροσισμένος τὸ τρυφερὸν σῶμα. διὸ καὶ τοῦτο, ὃ ἐκαλεῖτο δηλονότι, τὸ Ἴαμος, διέδωκεν ἡ μήτηρ αὐτοῦ καλεῖσθαι αὐτὸν κατὰ πάντα τὸν ἑξῆς χρόνον, ἀθάνατον, ἀντὶ τοῦ ἀθανάτως. Th. [10]

O 6 96 Ἐπεὶ εἰς τοῦτο ἡλικίας ἦλθεν ὡς γένειον ἀνθῆσαι ξανθόν. τὸ δὲ τερπνᾶς εἶπε διὰ τὸ τοὺς ἐν τοιαύτῃ ἡλικίᾳ ὄντας ὡραίους φαίνεσθαι. δέον δὲ εἰπεῖν χρυσοστέφανον πρὸς τὸ καρπό ν , χρυσοστεφάνοιο εἶπε πρὸς τὸ ἥβης. τὸ γένειον.

O 6 97g —τῇ Πελοπονήσῳ· ἀπὸ μέρους τὸ πᾶν. ** ἐπεκαλέσατο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 6 99g μεγαλοδύναμον. —ἴδιον· πατὴρ γὰρ τῆς μητρὸς αὐτοῦ Εὐάδνης. τὸν τοξικὸν Ἀπόλλωνα.

O 6 101 Th. Θεοδμήτης λέγει, ἢ ἣν ἔχουσιν οἱ θεοὶ δόμον, Ἀπόλλων καὶ Ἄρτεμις, ἢ τῆς ὑπὸ θεῶν κατασκευασθείσης καὶ οἱονεὶ δομηθείσης. ὕφαλον γὰρ οὖσαν Ζεὺς ἀνῆκεν εἰς φῶς. ** τῆς νήσου.

O 6 101g —τῆς οἰκουμένης ὑπ' Ἀρτέμιδος καὶ Ἀπόλλωνος. — θεόδμητον ἴσως λέγει αὐτὴν διὰ τὸ πλανωμένην στῆναι ὑπὸ τῆς γεννήσεως τοῦ Ἀπόλλωνος. —ἐπιτηρητήν, φύλακα. ζητῶν αὐτούς.

O 6 102g —τροφὴν αὐτῷ ἐκ τῶν λαῶν προξενοῦσαν. τῇ ἰδίᾳ· — τῇ ἑαυτοῦ κεφαλῇ, ἤτοι τῇ ἰδίᾳ.

O 6 104 Th. Τὸ νυκτὸς πρὸς τὸ καταβὰς συνάπτεται. μὴ λάβῃς δὲ ἔξωθεν ἐπ ί , ἀλλ' ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ καταβά ς . νυκτὸς γὰρ ἦν ἡ τοιαύτη κατάβασις. * δίχα τινὸς ἐν τῇ κεφαλῇ καλύμματος· οὕτω γὰρ ἦν ἔθος εὔχεσθαι.

O 6 95-104 M. Ἐπεὶ δὲ ἔλαβεν ὁ Ἴαμος καρπὸν ἥβης ἡδείας, πάγκαλον προτεινούσης στέφανον, ἤγουν γένεια, ἃ προέτεινεν ἡλικίας ἀκμὴ τερπνὴ παγκάλως δι' αὐτῶν στεφανοῦσα, τουτέστιν ἐπεὶ δὲ εἰς ἀκμὴν ἡλικίας ἔφθασε τερπνῆς, καὶ γενείοις παγκάλως ἐστεφανώσατο, καταβὰς ἐκάλεσεν (98) ἐν τῷ μέσῳ τοῦ Ἀλφειοῦ, ἤγουν κατὰ τὴν Ἐπίδαυρον, τὸν Ποσειδῶνα τὸν ἑαυτοῦ πάππον τὸν εὐρυβίαν, ἤγουν τὸν κατὰ πολὺ ἰσχυρόν, καὶ τὸν σκοπόν, ἤτοι τὸν ἔφορον, τὸν ἡγεμόνα τῆς Δήλου τῆς νήσου τῆς θεοδμήτου τὸν τοξοφόρον, τουτέστι τὸν Ἀπόλλωνα τὸν πατέρα αὐτοῦ, αἰτῶν (102) αὐτὸς ἐν νυκτὶ ὑπαίθριος, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ἐν ἀσκέπῳ τόπῳ, τιμήν τινα τῇ ἑαυτοῦ κεφαλῇ, περιφραστικῶς ἀντὶ τοῦ ἑαυτῷ, λαότροφον, τουτέστιν ὑπὸ τοῦ λαοῦ αὐξανομένην. λαοτρόφος, ὁ λαὸν τρέφων· λαότροφος δὲ προπαροξυτόνως, ὁ ὑπὸ λαοῦ τρεφόμενος. ἐξεναντίας ἐβόησεν. [10]

O 6 105g — * ἡ ἄρτια καὶ ἀληθῆ λέγουσα· Ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα τὸ θεῖον (Aesch. Prom. 1032.) Germ.

O 6 106 Ὄσσ α ] ἡ φήμη, καὶ ἡ ἁπλῶς φωνὴ τοῦ Ἀπόλλωνος. Th. Τὸ πατρικὴ ὄσσα ἢ ἀντὶ δοτικῆς ληπτέον, ἵν' ᾖ ἀντεφθέγξατο ὁ ἀρτιεπὴς Ἀπόλλων ἐν πατρικῇ ὄσσῃ ἢ ἀντεφθέγξατο ἡ πατρικὴ ὄσσα ἡ ἀρτιεπής· ἢ δίχα τοῦ ἄρθρου τὸ ἀρτιεπὴς λέγε οὕτως· ἀντεφθέγξατο ἡ πατρία ὄσσα ἀρτιεπὴς ἤγουν παραυτίκα τῶν ἐκείνου λόγων. τὸ δὲ μετάλλασέ τέ μιν διὰ μέσου, ἀντὶ τοῦ ἠρεύνα ὅτου χάριν αὐτὸν ἐπεβοήσατο. τὸ δὲ ἀντεφθέγξατο πρὸς τὸ ὄρσο ἔχει τὴν δύναμιν καὶ πάγκοινον τὸν χῶρον καλεῖ διὰ τὴν ἐν αὐτῷ ὕστερον συμβᾶσαν πανήγυριν τῶν Ὀλυμπίων. ἡ πατρική. [10]

O 6 106g — ὁ πατρικὸς χρησμός. —ἡ φωνὴ τοῦ Ἀπόλλωνος. —ἠρεύνα. ὅρμησον.

O 6 107g —ἐνταῦθα ἢ ἐλθ έ . τὸν πᾶσιν ἀνθρώποις κοινόν.

O 6 108g — * τὴν Ὀλυμπίαν. — ἐλθεῖν. —τοῦ ἐμοῦ λόγου· οὐ γὰρ ἑωρᾶτο θεὸς ὢν ἄϋλος. ** ἀφίκοντο.

O 6 109g —ὁ Ἀπόλλων καὶ ὁ Ἴαμος. τὴν μόνην τῷ ἡλίῳ βατὴν διὰ τὸ ὕψος.

O 6 111g * ὅπου. — * αὐτῷ. — παρέσχεν. —πλοῦτον· — ἀπὸ μεταφορᾶς τοῦ ἀποθέτου πλούτου. — * διπλοῦν. μαντικῆς.

O 6 112g —ἤτοι πρὸς τὸ παρόν. — αὐτοῦ τοῦ Ἀπόλλωνος δηλονότι. —καταλαμβάνειν. εἰ γὰρ ἡ ἀλήθεια σαφὴς καὶ δήλη, τὰ ψευδῆ ποικίλα καὶ ἄγνωστα.

O 6 114 Germ. Θρασυμάχανο ς ] ὡς ἐν ταυτῷ φιλοσυντόμως λέγων τὰς δύο ἀρετάς. ἔστι δὲ ἡ λέξις τοῦ Ὁμήρου. ἡνίκα· — ὁπηνίκα δ' ἄν.

O 6 114g —ὁ ἐν θρασέσι καὶ δυσκατεργάστοις μηχανὰς εὑρίσκων. ἔντιμον.

O 6 115g —Ἀλκαῖος γὰρ ὁ πάππος τῆς μητρὸς αὐτοῦ Ἀλκμήνης. Th.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 6 116 Τὸ πατρί θ ’ ἑορτά ν ] τὸ οὐκ ἔστιν ἀργόν, ὡς οἴονταί τινες, ἀλλὰ τοῦτο λέγει διὰ τὸ προϋπάρχειν ἐκεῖ Κρόνου ἱερόν, ὅθεν καὶ Κρόνιος λόφος καλεῖται, ἢ διότι ἡ τοῦ Διὸς ἑορτὴ καὶ τῶν ἄλλων ἕνδεκα θεῶν ἦν, ὡς ἔφαμεν τὸ Ἑορταῖς θεῶν μεγίσταις, ἐν τῷ Ψαύμιος Ὀλυμπιονίκει (V. 11). τὸ δὲ κτίσῃ ἀντὶ τοῦ ποιήσῃ· ὁ γὰρ κτίζων οἰκίαν ποιεῖ ταύτην. * τῷ Διΐ· — ** τοῦ Διός.

O 6 116g —τὴν Ὀλυμπιακὴν πανήγυριν. —καταστήσῃ. —ἐν ᾗ πλεῖστοι συνάγονται. Germ.

O 6 117 Τεθμόν τ ε ] θεσμόν, νόμον. ἔστι δὲ ἱερὸν Διὸς ἐκεῖ καὶ μαντεύονται ἀπὸ τῶν γινομένων θυμάτων. * νόμον.

O 6 117g — θείη δηλονότι. οὐ γὰρ δύναται τὸ κτίσῃ ἀπὸ κοινοῦ λέγεσθαι· συνυπακούεται δὴ τὸ οἰκεῖον κατ’ ἀναλογίαν τοῦ προῤῥηθέντος. —ἀγώνων. Germ.

O 6 118 Ἤτοι τῷ μεγίστῳ τέρατι τῶν ἄλλων βωμῶν καὶ ἐν ἄλλαις γὰρ πόλεσιν ὑπῆρχον βωμοὶ τοῦ Διός. ** τοῦ Διός.

O 6 118g — * τῷ ὑψηλῷ. —ὅτε Ἡρακλῆς τὸν ἀγῶνα θήσει. Th.

O 6 119 Ἐμαντεύοντο ἐν τῇ Ὀλυμπίᾳ οἱ Ἰαμίδαι ἢ μηρὸν πιμελῇ κεκαλυμμένον εἰς πῦρ ἐμβάλλοντες ἢ δορὰν προβάτου σχίζοντες καὶ ἐκ τῆς σχίσεως, εἰ μὲν εὐθεῖα γένηται, καλὰ ἔσεσθαι μαντευόμενοι, εἰ δὲ λοξή, ἀποτρόπαια. * μαντεῖον.

O 6 120g μαντείου ἢ τοῦ Ἰάμου. — ποταπόν; ἔνδοξον. πλοῦτος.

O 6 122g —σὺν τῷ ἐνδόξῳ. — * αὐτοῖς. — ** ἠκολούθει αὐτοῖς. M.

O 6 104-122 Ἀντεφθέγξατο δὲ αὐτῷ χρηματισμὸς πατρικὸς ἀρτιεπής, ἤγουν ἀληθῆ χρηματίζων, μετάλλασσέ τε αὐτόν, ἤτοι ἐζήτησε, τουτέστι καὶ ἐπεστράφη αὐτοῦ. ἔστι δὲ ὁ λόγος πρωθύστερος. ὤφειλε γὰρ οὕτως· ἐζήτησε δὲ αὐτόν, ἤγουν ἐπεστράφη αὐτοῦ χρηματισμὸς τοῦ πατρὸς ἀψευδῆ χρηματίζων, καὶ ἀντεφθέγξατο· ὄρσο (107), τέκνον, ἤγουν διεγέρθητι, κινήθητι ὄπισθεν τῆς φήμης, ἤγουν τοῦ ἐμοῦ χρηματισμοῦ, τῆς ἐμῆς φωνῆς, ἐλθεῖν ὧδε εἰς τὴν χώραν τὴν πάγκοινον, ἐσομένην δηλονότι. τίνα δὲ ταύτην τὴν χώραν λέγει, ἐν τῷ ἐπαγομένῳ λόγῳ δείκνυσιν. ἐπάγει γάρ· ἀφίκοντο δὲ ἐπὶ τὴν πέτραν τοῦ Κρονίου λόφου τοῦ ὑψηλοῦ τὴν ἠλίβατον, ἤγουν τὴν μετέωρον καὶ ὀρθίαν, τουτέστι τὴν Ὀλυμπίαν, ὅπου (111) παρέσχεν αὐτῷ, τῷ Ἰάμῳ δηλονότι ὁ Ἀπόλλων θησαυρὸν μαντείας διπλοῦν, τότε μὲν φωνὴν ἀκούειν αὐτοῦ, δηλονότι τοῦ Ἀπόλλωνος, ψευδέων ἄγνωστον, ἤγουν οὐ γινώσκουσαν ψεύδη, ἐνεργητικῶς· εἰ γὰρ ἐπὶ παθητικῆς ἐλέγετο σημασίας, δοτικῇ ἂν συνετάττετο· ὅταν (114) δὲ ἐλθὼν ὁ Ἡρακλῆς ὁ θρασυμήχανος, ἤγουν ὁ γενναῖα μηχανώμενος, τὸ βλάστημα τὸ σεβάσμιον τῶν ἀπὸ τοῦ Ἀλκαίου, τοῦ Ἀμφιτρύωνος, ἑορτήν τε τοῦ πατρὸς αὐτοῦ τοῦ Διὸς κτίσῃ, ἀντὶ τοῦ συστήσῃ, πλειστόμβροτον, ἤγουν ὑπὸ πλείστων ἀνθρώπων συγκροτουμένην, καὶ νόμον (117) μέγιστον ἀγώνων, θείη δηλονότι, ἐν βωμῷ Διὸς ἀκροτάτῳ, ἀντὶ τοῦ ὑψηλοτάτῳ· τότε δὴ προσέταξε τῷ Ἰάμῳ ποιῆσαι χρηστήριον, ἤγουν μαντεῖον· ἀφ’ οὗ χρόνου (120) κατὰ πολὺ δεδοξασμένον ἐστὶ κατὰ τοὺς Ἕλληνας τὸ γένος τῶν Ἰαμιδῶν, ἤγουν τῶν ἀπὸ τοῦ Ἰάμου καταγομένων, ἀφ’ οὗ ἀπὸ κοινοῦ, ὄλβος, ἀντὶ τοῦ εὐδαιμονία ἠκολούθησεν, αὐτῷ δηλονότι. Tr.

O 6 122 Τὸ τιμῶντες εἰ μὲν μετὰ τοῦ οἱ ἄρθρου εἴποις, καθολικῶς γνωμικὸς ἔσται ὁ λόγος. εἰ δὲ χωρὶς τοῦ ἄρθρου, πρὸς τοὺς Ἰαμίδας νοήσεις· καὶ τὸ τεκμαίρει χρῆ μ ’ ἕκαστον ἢ δι’ αὐτοὺς ἢ διὰ πάντας ἐρεῖς. διάδηλοι πᾶσι γίνονται.

O 6 123g —μηνύει, ὅστις ἐστίν. Th.

O 6 124 Τοῦτο λέγει ὑπὲρ τοῦ Ἀγησίου ἢ ὡς φθονηθέντος παρά τινων διὰ τὴν κατορθωθεῖσαν αὐτῷ νίκην, ἢ ἁπλῶς τοῦτο λέγων, ὅτι οἱ νικῶντες βασκαίνονται. πρὸς γὰρ τὸν ἔχονθ’ ὁ φθόνος ἕρπει, φησὶ Σοφοκλῆς (Ai. 157.). τὸ δὲ ποτὶ πρὸς τὸ μορφὰν συναπτέον οὕτως· οἷς πρὸς τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μορφήν, ποταπήν; εὐκλέα καὶ ἔνδοξον στάζει χάρις αἰδοία καὶ σεμνή, τουτέστιν οἷς διὰ τὴν κατορθωθεῖσαν αὐτοῖς νίκην μεγάλη τις εὐφροσύνη συμβαίνουσα χαρίεντα αὐτῶν τὰ πρόσωπα τίθησιν. ἡ γὰρ ἐν τῷ προσώπῳ ἐπιφαινομένη ἡδονὴ τεκμήριόν ἐστι τῆς ἐν τῇ ψυχῇ ἡδονῆς. δέον δὲ εἰπεῖν εὐκλεῶς πρὸς τὸ στάζε ι , εὐκλέα εἶπε πρὸς τὸ μορφή ν . τὸ δὲ πρώτοις πρὸς τὸ στάζει συναπτέον, οὐ πρὸς τὸ ἐλαυνόντεσσι ν . * πρᾶξις.

O 6 124g — * ἄνθρωπον ἢ Ἰαμίδην. ** φθονούντων.

O 6 126g * τούτοις. —ἐν ᾧ ποτε δώδεκα δρόμους ποιεῖ τὸ τέλειον ἅρμα· λέγει δὲ τὸν Ὀλυμπιακὸν ἀγῶνα. δι’ ἵππων ἁμιλλωμένοις· — ἐλαύνουσι τοὺς ἵππους δηλονότι.

O 6 127 —σεμνή. —πρός. ἡδονή.

O 6 128g — * ποταπήν; ἔνδοξον. M.

O 6 122-128 Οἱ τιμῶντες δέ, ἀντὶ τοῦ οἱ ἀσκοῦντες ἀρετάς, ὥσπερ οὗτοι δηλονότι, εἰς φανερὰν ὁδὸν ἔρχονται, ἤγουν εἰς διάδηλον καὶ περιφανῆ πολιτείαν. τεκμαίρει χρῆμ’ ἕκαστον (124), ἤγουν ἕκαστον ἄνθρωπον ἡ πρᾶξις δεικνύει. ψόγος δὲ ἀπ’ ἄλλων φθονούντων κρέμαται, ἀντὶ τοῦ ἐπιφέρεται τούτοις (126), ὧν ἐπὶ τὴν ἔνδοξον ὄφιν χάρις, νίκης δηλονότι, αἰδοῦς ἀξία, στάζει, ἀντὶ τοῦ παραγίνεται, πρῶτον, τουτέστιν ἐξαιρέτως, περὶ δωδέκατον δρόμον ἐλαυνόντων τοὺς ἵππους. ἀληθῶς, ὥσπερ οὖν ἐστιν.

O 6 129g —ὄρος Ἀρκαδικοῦ. Germ.

O 6 130 Μάτρωες ἄνδρες οἱ ἀπὸ μητρὸς καταγόμενοι· καὶ πάτρωες οἱ ἀπὸ πατρός. * ὦ.

O 6 130g — * οἱ πρὸς μητρὸς συγγενεῖς σου, ἐνταῦθα γὰρ ἡ σὴ προμήτωρ, Εὐάδνη, ὡς ἔφαμεν, ἀνετράφη ὑπὸ τῷ Αἰπύτῳ. * κατοικοῦντες.

O 6 131g — * ἐδεξιώσαντο. παρακλητικαῖς.

O 6 132g —ἐν. κατὰ πολύ.

O 6 133g —εὐσέβεια γὰρ τὸ τοῖς θεοῖς θύειν. ἤγουν ἔφορος ἀγώνων ἐστί· καλεῖται γὰρ ἐναγώνιος, ὡς καὶ ἄλλαττα ὀνόματα.

O 6 135g μερίδα. Th.

O 6 136 Τὸ τιμᾷ εἰ μὲν τρίτον πρόσωπον νοήσεις, οὕτως ἐρεῖς· καὶ τιμᾷ τὴν Ἀρκαδίαν τὴν εὐάνορα, διὰ τὸ ἐκεῖ ναὸν αὐτοῦ εἶναι· εἰ δὲ ἀντὶ τοῦ τιμῇ, τὸ ἔχει ἀπὸ κοινοῦ λάβῃς οὕτω· καὶ ἔχει τὴν εὐάνορα Ἀρκαδίαν ἐν τιμῇ, τουτέστιν ἢ ἐκεῖ κατοικῶν τιμᾶται, ἢ ἐκεῖ κατοικεῖ εἰς ταύτης τιμήν. τὴν καλοὺς ἄνδρας ἔχουσαν.

O 6 129-137 Germ. Ἡ σύνταξις αὕτη. εἰ δὲ ἐτύμως καὶ ἀληθῶς οἱ ἀπὸ μητρὸς καταγόμενοι μάτρωες ἄνδρες τοῦ Ἀγησίου, οἱ ναιετάοντες καὶ οἱ κατοικοῦντες ὑπὸ τοῖς ὄροις τῆς Κυλλήνης, ἤγουν τῆς Ἀρκαδίας, τὸν Ἑρμῆν τὸν κήρυκα τῶν θεῶν, εὐσεβέως καὶ εὐσεβῶς, πολλὰ δὴ ἐν πολλαῖς θυσίαις ἐν λιταῖς καὶ ἐν παρακλήσεσι, δώρησαν καὶ ἐδεξιώσαντο καὶ ἐφιλοφρόνησαν, ὃς ὁ θεὸς ἐναγώνιος ἔχει τοὺς ἀγῶνας τὴν μοῖράν τε τῶν ἀέθλων, τουτέστι τὴν πάλην, τιμᾷ τε τὴν Ἀρκαδίαν τὴν εὐάνορα· κεῖνος, ὦ παῖ τοῦ Σωστράτου, καὶ τὰ λοιπά. * ὁ Ἑρμῆς.

O 6 137g — ** ὦ Ἀγησία. τῷ μεγάλους ἤχους διὰ τῶν βροντῶν ποιοῦντι Διΐ.

O 6 139g τελειοῖ. —σοῦ. Th.

O 6 140 Τὸ ἔχω τινὰ ἐπὶ γλώττῃ δόκησιν ἀκόνας λιγυρᾶς τοῦτο λέγει, ἀντὶ τοῦ ἐπέρχεταί μοι ἔννοιά τις καὶ λόγος ἡδὺς ὑπὲρ σοῦ, παρακινῶν με λέγειν τοῦτο πρὸς σέ. ὥσπερ γὰρ ἡ ἀκόνη ὀξύνει τὸ παραθηγόμενον, οὕτω καὶ ἡ ἐμὴ μουσικὴ ὥσπερ τις ἀκόνη ἐστὶ πρὸς ἐμέ. ἐπεὶ δὲ διὰ τῆς μουσικῆς ἔψαλλε πάντα τὰ αὐτοῦ ποιήματα, εἰκότως καὶ τὴν νῦν ἐπερχομένην αὐτῷ δόκησιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὑπὲρ τοῦ Ἀγησίου εἰπεῖν τῆς αὐτοῦ μουσικῆς ταύτην εἶναί φησι. τὸ δὲ πνοαῖς αὐλῶν λέγει, διότι καὶ μετὰ μουσικῆς καὶ αὐλῶν ᾖδε τοὺς ὕμνους. ἔννοιαν καὶ τρόπον ἐγκωμιαστικόν.

O 6 141g τῇ ἐμῇ. —παροξυσμοῦ. —ἐμμούσου. * ἡ δόκησις· — ** ἡ δόξα.

O 6 142g —καὶ αὐτὸν εἰπεῖν. — * προσέρχεται. Germ.

O 6 143 Καλῶς εἶπε καλλιῤῥόοις ὡς ἐπὶ ὑγρότητος, καὶ πνοαῖς ἐπεὶ καὶ ἡ πλῆξις αὕτη τῆς φόρμιγγος διὰ τοῦ ἀέρος· γίνεται, πλησσομένου τούτου διὰ τῆς κρούσεως τοῦ πλήκτρου. ἡδέως ἠχοῦσιν.

O 6 143g —ᾠδαῖς. M.

O 6 129-143 Εἰ δ' ἀληθῶς, ὦ Ἀγησία, οἱ ἄνδρες οἱ σοὶ πρόγονοι πρὸς μητρὸς οἱ οἰκοῦντες ὑποκάτω τοῦ ὄρους τῆς Κυλλήνης· Ἀρκὰς γὰρ ἦν πρὸς μητρὸς ὁ Ἀγησίας· θυσίαις λιτανευτικαῖς (132) πολλάκις πολλαῖς ἐδώρησαν, ἀντὶ τοῦ ἐδωρήσαντο, ἐδεξιώσαντο εὐσεβῶς τὸν κήρυκα τῶν θεῶν τὸν Ἑρμῆν, ὃς (134) τῶν ἀγώνων ἐξουσιάζει καὶ μερίδος τῶν βραβείων, τὴν Ἀρκαδίαν τε τὴν καλῶς ἔχουσαν ἕνεκα γενναιότητος ἀνδρῶν τιμᾷ, ἤγουν δοξάζει οἰκῶν ἐν αὐτῇ· κεῖνος (137) ὁ Ἑρμῆς, ὦ παῖ τοῦ Σωστράτου, σὺν τῷ πατρὶ αὐτοῦ τῷ Διῒ τῷ βαρυγδούπῳ, τουτέστι τῷ τῶν βροντῶν αἰτίῳ τῶν τὸν βαρὺν κτύπον ἐργαζομένων, κραίνει (139), ἀντὶ τοῦ διοικεῖ τὴν σὴν εὐτυχίαν. δόξαν ἔχω, ἀντὶ τοῦ λόγον φέρων τινὰ ἐπὶ γλώσσῃ (141), ἤγουν πρόχειρον εἰρῆσθαι ἀπὸ τοῦ νοῦ δηλονότι, ὡς σίδηρον ἀπὸ ἀκόνης λιγυρᾶς, τουτέστιν ὀξέως ποιούσης ἠχεῖν τὰ ἀκονούμενα, ὅς με ἕλκει ἐθέλοντα ἐπὶ πνοὰς καλλιῤῥόους (143), ἤγουν ᾠδὰς εὐήχους, τὰς ἀπὸ τῶν ὀργάνων ἀναφερομένας. λέγω ἡ τῆς ἐμῆς μητρὸς μήτηρ· — τουτέστι τῆς ἐμῆς πατρίδος μήτηρ ἤτοι τῶν Θηβῶν.

O 6 144 Th. Ἡ Μετώπη θυγάτηρ ἦν Λάδωνος τοῦ ποταμοῦ, γυνὴ δὲ Ἀσωποῦ τοῦ ἐν Θήβαις ποταμοῦ, ἀφ' οὗ θυγατέρα ἔσχε Θήβην, ἧς πόλις ἐπώνυμος. Θηβαῖος δὲ ὁ Πίνδαρος· διὸ καὶ τὴν Μετώπην μητρομάτορα καλεῖ, οἱονεὶ μητέρα τῆς μητρὸς αὐτοῦ Θήβης. φασὶ δὲ τὴν Μετώπην οἱ μὲν λίμνην, οἱ δὲ ποταμόν. * ἡ Ἀρκαδική.

O 6 144g Στύμφαλος γὰρ πόλις Ἀρκαδίας· τὸ δὲ εὐανθὴς ἀντὶ τοῦ ὡραία· — ** ἤγουν ἡ θυγάτηρ τῆς Στυμφαλίδος. πολεμικήν, ἱππικωτάτην.

O 6 145g —ἐγέννησεν. πλείστου ἄξιον· λέγει δὲ τιμᾶν τὴν πατρίδα.

O 6 147g * πίνω. —πολεμικοῖς. ἔμμουσον· ποικίλος γὰρ ὁ μετὰ μουσικῆς.

O 6 143-148 M. Μητρομήτωρ ἐστὶν ἐμή, ἀντὶ τοῦ τῆς ἐμῆς πατρίδος, τουτέστι τῶν Θηβῶν μήτηρ ἡ Μετώπη ἡ εὐανθής, ἤγουν ἡ φαιδρά, ἡ τῆς Στυμφαλίδος θυγάτηρ. θυγατέρα δὲ λέγουσι τὴν Μετώπην τῆς Στυμφαλίδος διὰ τὸ εἶναι τὴν Στυμφαλίδα περιεκτικὴν αὐτῆς. μητρομήτωρ δὲ εἰπὼν ἐπάγει ὥσπερ ἐφερμηνεύων· ἥτις (145), ἤγουν ἡ Μετώπη, τὴν Θήβαν ἔτεκε τὴν πλήξιππον, ἤγουν τὴν πλήττουσαν τοὺς ἵππους ἐν τοῖς δρόμοις, τουτέστι τὴν ἱππικήν, τὴν πολεμικήν. ταύτης ἐπέραστον ὕδωρ πίομαι, ἀντὶ τοῦ εὐπορίαν λόγων ἀπὸ ταύτης πορίσομαι ποικίλον ὕμνον συντιθεὶς χάριν ἀνδρῶν αἰχμητῶν, τουτέστι πολεμιστῶν. * διέγειρον.

O 6 148bisg — * συγχορευτάς· — τοὺς συγχορευτάς. Th.

O 6 149 Οὗτος χοροδιδάσκαλος ἦν τοῦ παρὰ Πινδάρῳ χοροῦ, ᾧ τινι Αἰνέᾳ πρὸς τὸν δῆμον ἐχρῆτο Πίνδαρος διδάσκοντι τὰ αὐτοῦ ποιήματα καὶ μεθ' ἑτέρων ψάλλοντι διὰ τὸ αὐτὸς ἰσχνόφωνος εἶναι καὶ μὴ δύνασθαι λέγειν ἀξίως. * ὦ· — χοράρχης ἦν οὗτος.

O 6 150g * τὴν ἐν Παρθενίῳ ὄρει Ἀρκαδίας τιμωμένην. τοὺς ἄλλους.

O 6 151g —παλαιόν. ** τὴν Θηβαίαν.

O 6 153 Germ. Ἐκ τῶν ἐν τῇ Βοιωτίᾳ κατοικούντων ἀγροίκων Ὑάντων πάντη διαβαλλομένων τῇ ἀγνωσίᾳ ὡς καὶ παραφθαρέντος τοῦ ὀνόματος τούτων καὶ ὗς ᾀδομένου δοκεῖν οὕτως ἐξ ἀρχῆς αὐτοὺς καλεῖσθαι. Th. Ὕαντες, ἔθνος ἀρχαῖον καὶ βάρβαρον, ᾤκησαν ἐν Βοιωτίᾳ, οὓς διὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πολλὴν προσοῦσαν αὐτοῖς ἀλογίαν σκώπτοντές τινες καὶ παραφθείροντες τὸ ὄνομα ἕνα ἕκαστον τούτων ὗν ἔλεγον, καὶ ἐπεκράτησε τοσοῦτον αὕτη ἡ διαφθορά, ὡς εἰς ὄνειδος τοῖς Θηβαίοις τοὺς ἄλλους προφέρειν ταύτην τὴν παροιμίαν τὸ Βοιωτία ὗς. λέγει οὖν Πίνδαρος πρὸς τὸν Αἰνέαν, ὅτι διέγειρον τὸν τὰ ἔπη ᾄδοντα χορόν, ἵνα γνῶσιν ἅπαντες, ὡς οὐ τῇ παροιμίᾳ προσήκομεν τῇ λεγούσῃ Βοιωτία ὗς, ἀλλ' ἐσμὲν Μουσῶν θρέμματα. χοῖρον.

O 6 153g — * κῆρυξ. —ἀληθὴς διὰ τὴν φωνήν· ἐγὼ γὰρ ἰσχνόφωνος. Th.

O 6 154 Ὅτε πρός τινα πόλιν οἱ Λάκωνες στρατηγὸν ἔπεμπον, βουλόμενοι δηλῶσαί τι αὐτῷ τῶν ἀποῤῥήτων οὐκ ἐπίστευον χάρτῃ, ἀλλὰ τοιοῦτόν τι ἐποίουν· τορεύοντες ξύλον στρογγύλον τριῶν ἢ τεττάρων πηχῶν, τέμνοντες εἰς δύο τὸ μὲν ἓν τῷ ἐκπεμπομένῳ στρατηγῷ ἐδίδουν, θάτερον δὲ αὐτοὶ κατεῖχον. ὁπότε δὲ πρὸς αὐτὸν μηνῦσαί τι ἐβούλοντο, περιειλίσσοντες στενὸν ἱμάντα τῷ παρ' αὐτοῖς ξύλῳ ἔγραφον· εἶτα ἀπολύσαντες τὸν ἱμάντα τῷ στρατηγῷ αὐτὸν ἔπεμπον. ὁ δὲ ἐνειλίσσων τῷ οἰκείῳ ξύλῳ τοῦτον ἀνεγίνωσκε τὰ γεγραμμένα πρὸς αὐτόν. λέγει οὖν τὸν Αἰνέαν σκυτάλην Μουσῶν, οἱονεὶ ἄγγελον τῶν αὐτοῦ ἐπῶν πρὸς τοὺς ἄλλους. εὐπλοκάμων.

O 6 154g —μηνυτής. μεγαλοπρεπῶς ᾀδομένων.

O 6 155g —ὕμνων ἐμῶν τῶν πρὸς ἄλλους. M.

O 6 148-155 Ὦ Αἰνέα, διέγειρον νῦν τοὺς ἑταίρους, ἤγουν τοὺς συγχορευτάς, πρῶτον μὲν ὑμνῆσαι τὴν Ἥραν τὴν Παρθενίαν (150), ἤγουν τὴν ἐν τῷ Παρθενίῳ ὄρει τῆς Ἀρκαδίας τιμωμένην, ἔπειτά τε γνῶναι, ἀντὶ τοῦ γνώριμον ποιῆσαι κατὰ ἀληθῆ λόγον, εἰ φεύγομεν τὴν Βοιωτίαν ὗν (153), λέγω τὸ ἀρχαῖον ὄνειδος, τουτέστι τὴν παλαιὰν διαβολὴν τὴν ἐπὶ τῇ ἀμουσίᾳ. ὑπάρχεις γὰρ ἄγγελος ὀρθός, ἤγουν κήρυξ ἀληθής, τῶν καλλιτρίχων Μουσῶν σκυτάλη, τουτέστι ῥάβδος, γλυκὺς κρατήρ, ἤγουν γλυκὺ ἀγγεῖον, γλυκὺς οἶκος τῶν ᾠδῶν τῶν ἀγαφθέγκτων, τουτέστιν ὧν πολὺ τὸ κλέος. * εἰπὲ αὐτοῖς.

O 6 156g — ** εἰπὲ αὐτοῖς· τοῖς ἑταίροις δηλονότι. —ἤτοι ἐπαινεῖν. νῆσος παρακειμένη τῇ Σικελίᾳ ἢ πόλις πλησίον Συρακουσῶν· — νῆσος παρακειμένη ταῖς Συρακούσαις.

O 6 158g * Ὀρτυγίαν ἢ Συράκουσαν. — νομίμῳ ἐξουσίᾳ. —διεξάγων. ὑγιῆ, νόμιμα βουλευόμενος.

O 6 159g —ἐρυθρόπουν. * περιέπει καὶ τιμᾷ.

O 6 160g — Δήμητρα ὁ σῖτος καὶ ἡ ἔφορος καρπῶν θεός. Th.

O 6 161 Λεύκιππον λέγει τὴν Περσεφόνην ἢ διότι ἔθος ἐστὶ τοῖς ποιηταῖς τοιούτοις ἐπιθέτοις κοσμεῖν τοὺς θεούς, ὡς καὶ ὄπισθεν φοινικόπεζαν εἶπε τὴν Δήμητραν, ἢ διότι λευκῷ ἅρματι ἐποχουμένη εὑρέθη ὑπὸ τῆς μητρός, ὅτε ἁρπασθεῖσαν ὑπὸ Πλούτωνος ἐζήτει αὐτήν. * τῆς Περσεφόνης.

O 6 161g — * ἀμφέπει ἀπὸ κοινοῦ· ἐν γὰρ τῇ Σικελίᾳ τὰ τῆς Περσεφόνης ἀνακαλυπτήρια ἐτελοῦντο. ἤτοι τὸν ἐν τῇ Αἴτνῃ Δία ἀμφέπει.

O 6 156-162 M. Εἶπον δὲ τοῖς ἑταίροις μεμνῆσθαι τῶν Συρακουσῶν τε καὶ τῆς Ὀρτυγίας, ἥντινα, ἤγουν τὴν Ὀρτυγίαν, καθαρῷ σκήπτρῳ διοικῶν ὁ Ἱέρων, τουτέστιν ἁγνῇ καὶ καθαρᾷ βασιλείᾳ, ἄρτια (159), ἤγουν ἔγκαιρα, ἀληθῆ βουλευόμενος, ἀμφέπει, τουτέστι περιέπει, τιμᾷ τὴν Δήμητρα τὴν φοινικόπεζαν, ἤγουν τὴν ἐρυθροὺς ἔχουσαν τοὺς πόδας· ἀπὸ μέρους δὲ πᾶσαν ἐρυθρὰν θέλει δηλοῦν· καὶ τῆς θυγατρὸς αὐτῆς τῆς λευκίππου, ἤγουν τῆς Κόρης τῆς καὶ Περσεφόνης, τὴν ἑορτὴν τιμᾷ δηλονότι, καὶ τὸ κράτος τοῦ Διὸς τοῦ κατὰ τὴν Αἴτνην τιμωμένου, περιφραστικῶς ἀντὶ τοῦ καὶ τὸν Δία τὸν κατὰ τὴν Αἴτνην τιμώμενον. λεύκιππον δὲ λέγει τὴν Περσεφόνην, ἐπεί φασι μετὰ τὴν ἁρπαγήν, ἣν ἥρπασεν αὐτὴν ὁ Πλούτων, εὑρεθεῖσαν διὰ λευκοπώλου ἅρματος ἀνῆχθαι ὑπὸ τῆς μητρὸς εἰς τὸν Ὄλυμπον. Th.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 6 162 Γλυκύφθογγοι λέγει, ἢ διότι μουσικῇ καὶ αὐλοῖς ἔχαιρεν, ὡς καὶ πρώην ἔφη (Ol. I, 14)· ἀγλαΐζεται δὲ καὶ μουσικῆς ἐν ἀώτῳ· ἢ διότι αὐτὸν ἑκάστοτε ἐπαινεῖ, ἵν’ ᾖ τὸ λύραι αἱ ἐμαί. ἐκ δὲ πάντων τούτων, ὧν ἄνωθεν ἔφη, δείκνυσιν αὐτὸν νομίμως ἄρχοντα, ἄριστα βουλευόμενον, πρὸς θεοὺς εὐσεβέστατον καὶ βίον ἐνήδονον ζῶντα. γλυκύφθογγοι.

O 6 163g * αὐτὸν τὸν Ἱέρωνα. — ᾠδαί, ὕμνοι. ἀμβλυνεῖ καὶ παύσει.

O 6 164g — * τὴν εὐδαιμονίαν αὐτοῦ. — * ἐπερχόμενος. φιλίαις ἀποδοχαῖς.

O 6 165g —ἐπιθυμηταῖς· ἐπιθυμοῦσι γὰρ πάντες ἀρέσκειν τοῖς ἄρχουσιν αὐτῶν. * τοῦ.

O 6 166g — * τὸν ὕμνον. Th.

O 6 167 Τὸ Στυμφαλίων ἀντὶ τοῦ Ἀρκαδικῶν· Στύμφαλος γὰρ πόλις Ἀρκαδίας. ἔστι δὲ καὶ τὸ οἴκοθεν καὶ τὸ Στυμφαλίων τειχέων καὶ τὸ ματέ ρ ’ εὐμήλοιο λιπόν τ ’ Ἀρκαδίας ταυτό. τὸ δὲ οἴκοθεν οἴκαδε παροιμία ἐστὶν ἐπὶ τῶν ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἰόντων. ἀπὸ τῆς μητρίδος αὐτοῦ Ἀρκαδίας εἰς τὴν πατρίδα αὐτοῦ Συράκουσαν.

O 6 167g — ** ἀπὸ τῶν ἐν Στυμφαλίδι πόλεων εἰς Σικελίαν. ** συνίζησις.

O 6 168g —προσερχόμενον· —ἤγουν πρῶτον εἰπόντα περὶ Ἀρκαδίας καὶ νῦν Συράκουσαν λέγοντα. Th.

O 6 169 Μὴ λάβῃς εἰς τὸ Ἀρκαδίας ἔξωθεν τὸ ἀπ ό , ἀλλ’ ἔστιν ἡ τοιαύτη γενικὴ πρὸς τὸ μητέρ α . ὥσπερ γάρ φαμεν ἀνθρώπῳ Αἰθιοπίας συνέμιξα, ἤγουν Αἰθίοπι, οὕτω καὶ τοῦτο. τὸ δὲ εὐμήλοιο ἢ πολυθρέμμονος ἢ πολυκάρπου. μῆλον γὰρ καὶ ὁ καρπὸς καὶ τὸ πρόβατον. ἤγουν τὸ λέγειν περὶ τῶν ἐν Ἀρκαδίᾳ προγόνων αὐτοῦ.

O 6 162-169 Μ. Ἡδύλογοι δὲ λύραι καὶ μολπαὶ γινώσκουσιν αὐτόν, ἀντὶ τοῦ λύραι δὲ καὶ μολπαὶ δι’ ἡδέων λόγων ὑμνοῦσιν αὐτόν, ἤγουν τὸν Ἱέρωνα, διὰ τὰ κατορθώματα αὐτοῦ. εἴθε μὴ θραύσοι ἤγουν μὴ κοιμίσοι (164), μὴ ἀφανίσοι ὁ χρόνος ὁ ἐφέρπων, τουτέστιν ὁ ἐπερχόμενος, τὸν ὄλβον, ἤτοι τὴν εὐδαιμονίαν αὐτοῦ, δηλονότι τοῦ Ἱέρωνος. σὺν φιλοφροσύναις δέ (165), ἤγουν δεξιώσεσιν ἐπεράστοις εἴθε δέξαιτο τὸν ὕμνον τοῦ Ἀγησίου, ὃν ὑμνεῖται δηλονότι ὁ Ἀγησίας, οἴκοθεν, ἤγουν ἀπὸ τῆς πατρίδος τοῦ Ἀγησίου, λέγω ἀπὸ τῶν τειχῶν τῶν Στυμφαλίων, τουτέστι τῶν πόλεων τῶν ἐν Στυμφαλίδι, προσερχόμενον οἴκαδε, ἤγουν εἰς τὴν ἑτέραν αὐτοῦ πατρίδα, ἤτοι τὴν Σικελίαν· Ἀρκὰς γὰρ καὶ Συρακούσιος ὁ Ἀγησίας. λέγω λείποντα τὸν ὕμνον τὴν μητέρα τῆς Ἀρκαδίας τῆς καλῶς ἐχούσης ἕνεκα θρεμμάτων, τουτέστι τὴν Στυμφαλίδα. καλαὶ καὶ συμφέρουσαι τῇ νηΐ.

O 6 171g τρικυμίαν ἐχούσῃ. — ** ταχείας. Th.

O 6 173 Τοῦτο εἶπε διὰ τὸ ἔχειν τὸν Ἀγησίαν δύο πατρίδας, Ἀρκαδίαν καὶ Συράκουσαν. ὥσπερ γὰρ χειμαζομένης νηὸς ἐν νυκτὶ αἱ δύο ἄγκυραι ὑφάλου πέτρας ἐχόμεναι σώζουσιν αὐτὴν καὶ μὴ τοῖς ἀνέμοις ὑπείκειν ἐργάζονται, τὸν αὐτὸν τρόπον καὶ ὁ δύο πατρίδας ἔχων ὠφελεῖται· ἀτυχούσης γὰρ τῆς μιᾶς ἐπὶ τὴν ἑτέραν ἐλθὼν ὠφελεῖται. ἐστηρίχθαι ἔν τινι πέτρᾳ ὑφάλῳ· — ἀπὸ τοῦ σκίμποδος σκίμπτομαι τὸ στηρίζομαι, ἀφ’ οὗ τὸ ἀπεσκίμφθαι.

O 6 173g —ὁ ὑπὲρ αὐτοῦ φροντίζων. Germ.

O 6 174 Τῶν δ ’ ἐκείνων τ ε ] τούτων τῶν Ἀρκάδων καὶ τῶν Συρακουσίων. τῶν Συρακουσίων.

O 6 174g —τῶν Ἀρκάδων. —ἔνδοξον. τύχην.

O 6 175g —τῷ Ἀγησίᾳ. —αὐτόν. ὦ Πόσειδον ὁ τῆς θαλάσσης ἄρχων.

O 6 177g λείαν καὶ ἡδυτάτην τὴν κατὰ τὸν βίον ὁδόν. * τὸν πλοῦν· — ** ὄντα τὸν πλοῦν.

O 6 178g — αὐτῷ τῷ Ἀγησίᾳ. χρυσῆν ἠλακάτην ἐχούσης.

O 6 179g — * ὁ ἀνήρ. — ** τῆς θαλάσσης. * αὔξανε, ἤτοι ἡδεῖαν τοῖς δεχομένοις καὶ κρείττονα τῶν ἄλλων ποίει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 6 170-180 Μ. Ἀγαθαὶ δέ εἰσι δύο ἄγκυραι ἐκ νηὸς ταχείας ἀπεσκίμφθαι, ἤγουν κρέμασθαι, ἐρείδουσαι αὐτήν· τουτέστιν ἀγαθαὶ δὲ δύο πατρίδες δεξιοῦσθαί τινα, ὥσπερ δύο ἄγκυραι ἀπεσκίμφθαι ἐκ νηὸς ταχείας. ὁ θεὸς εἴθε παρέχοι τὴν μοῖραν τούτων (174), ἤγουν τῶν Ἀρκάδων, ἐκείνων τε, ἤγουν τῶν Συρακουσίων, κλυτήν, τουτέστιν ἐπὶ πολλὰς ἀκοὰς ἐρχομένη μετὰ δόξης. σὺ δέ, ὦ δέσποτα (176) Πόσειδον, ποντόμεδον, ἤγουν βασιλεῦ τῆς θαλάττης, ἄνερ τῆς Ἀμφιτρίτης τῆς χρυσηλακάτου, φιλῶν τοῦτον, ἤτοι τὸν Ἀγησίαν ὡς ἀπόγονον σόν, εὐθὺν (177) πλοῦν, ἀντὶ τοῦ ἄπονον ζωὴν δίδου, αὐτῷ δηλονότι, καμάτων, ἀντὶ τοῦ δυστυχιῶν ἐκτὸς οὖσαν· τῶν ἐμῶν δὲ ὕμνων τὸ ἄνθος εὐτερπὲς ἄεξε, ἀντὶ τοῦ αὔξων τερπνὸν ποίει. Ἐπίνικοι Ὀλυμπιονίκαις.

O 7 t Διαγόρᾳ Ῥοδίῳ πύκτῃ. Ὠιδὴ ζ′. [δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ζ′ εἴδους. Ἔστι δὲ στροφῶν ε′. Παλαιόν. Τοῦ ζ′ εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ια′.

O 7 prae gl Τὸ α′ Ἰωνικὸν ἀπ’ ἐλάσσονος δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές. Τὸ β′ προσοδιακὸν δίμετρον ἀκατάληκτον, Ἰωνικοῦ τοῦ α′, τοῦ δὲ β′ χοριάμβου. Τὸ γ′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ′ τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον ἢ ληκύθιον. Τὸ ε′ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ ς′ δακτυλικὸν πενθημιμερές. Τὸ ζ′ προσοδιακὸν ὅμοιον τῷ β′. Τὸ η′ ἐγκωμιολογικὸν ἤτοι ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν. Τὸ θ′ ὅμοιον τῷ ς′. Τὸ ι′ Ἰωνικὸν ἀπ’ ἐλάσσονος δίμετρον ἀκατάληκτον. Τὸ ια′ δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Ἐφ’ ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος. Περὶ τῶν κώλων τῶν ἐπῳδῶν. Αἱ ἐπῳδοὶ κώλων ἑκάστη ιγ′. Τὸ α′ δακτυλικὸν πενθημιμερές. Τὸ β′ προσοδιακὸν ἀπὸ μείζονος Ἰωνικοῦ τρίμετρον ἀκατάληκτον. Τὸ γ′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ δ′ δακτυλικὸν τρίμετρον ἀκατάληκτον, ἢ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ Ἰωνικοῖ. Τὸ ε′ ἀναπαιστικὸν μονόμετρον. Τὸ ς′ δακτυλικὸν ἑφθημιμερές, ὃ καλεῖται ἀκέφαλον διὰ τὸ ἔχειν βραχεῖαν τὴν α′ συλλαβήν. Τὸ ζ′ προσοδιακὸν δίμετρον ἀκατάληκτον. Τὸ η′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ θ′ δακτυλικὸν πενθημιμερές. Τὸ ι′ ἰαμβέλεγος, τοῦ α′ ἰάμβου λελυμένου. ἔστι γὰρ ἐξ ἰαμβικοῦ καὶ δακτυλικοῦ πενθημιμερῶν. Τὸ ια′ Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ ἐλάσσονος. Τὸ ιβ′ προσοδιακὸν δίμετρον καταληκτικὸν ἀπὸ ἐλάσσονος Ἰωνικοῦ καὶ χοριάμβου καταληκτικοῦ. Τὸ ιγ′ τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, ὃ καλεῖται Στησιχόρειον. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα, ἤτοι ἐφ’ ἑκάστῃ ἐπῳδῷ κορωνὶς καὶ παράγραφος, ἐπὶ δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος. Th. Ταύτην τὴν ᾠδήν φασιν ἀνακεῖσθαι χρυσοῖς γράμμασιν ἐν τῷ τῆς Λιναίας Ἀθηνᾶς ἱερῷ· ἀνέθεσαν δὲ ἢ Πίνδαρον τιμῶντες ἢ Διαγόραν. Μ. Ταύτην τὴν ᾠδὴν ἀνακεῖσθαί φησι Γόργων ἐν τῷ τῆς Ληναίας Ἀθηνᾶς ἱερῷ χρυσοῖς γράμμασιν. ἐνίκησε δὲ καὶ Πύθια καὶ Ἴσθμια. ** Τὸ προοίμιον ἐκ παραδείγματος.

O 7 1g —ποτήριον. — ** ὥσπερ. — ** ἄνθρωπος. εὐδαίμονος.

O 7 2g —τῆς αὐτοῦ. — * λαβών. οἱονεὶ πηδῶσαν, ὥσπερ ἔστιν ὁρᾶν ἐν τοῖς καλλίστοις τῶν οἴνων.

O 7 4g ἤτοι οἴνῳ. —δῶρον παράσχοι ταύτην. αὐτοῦ.

O 7 5g —πρῶτος ἐκ ταύτης γευόμενος. * ἐξαίρετον τῶν ἄλλων κτημάτων.

O 7 8g τὴν ἡδονήν. — * τὴν αὐτοῦ συγγένειαν. τὸ ἴδιον.

O 7 9g —σὺν τούτοις δέ. —τῶν ἐν τῷ συμποσίῳ. ** παρόντων.

O 7 10g — * ἐποίησε. —αὐτὸν τὸν γαμβρόν. * μακαριστόν.

O 7 11g —συγγενικῆς. — * ἕνεκα τοῦ λέχους· — ** τοῦ λέχους. θεῖον πόμα ἤτοι ὕμνον.

O 7 12g — ῥευστόν. Germ.

O 7 1-12 Ἡ σύνταξις αὕτη. ὡς εἴ τις ἄνθρωπος ἑλὼν ἀπὸ χειρὸς ἀφνειᾶς φιάλην πάγχρυσον κορυφὴν τῶν κτεάνων καχλάζοισαν ἔνδον ἐν δρόσῳ τῆς ἀμπέλου προπίνων δωρήσεται τῷ νεανίᾳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γαμβρῷ οἴκοθεν οἴκαδε διὰ τὴν ὁμόφρονα εὐνήν, τιμήσας τὴν χάριν τε τοῦ συμποσίου τὸ κῆδός τε τὸ ἐόν, παρεόντων δὲ τῶν φίλων ἐνέθηκέ μιν ζηλωτόν· οὕτω καὶ ἐγὼ τὸ νέκταρ τὸ χυτόν, καὶ τἄλλα. αὗται γὰρ τοὺς λόγους παρέσχον μοι. [5]

O 7 13g —ἀγωνισταῖς, ἤτοι τῷ Διαγόρᾳ. τοῖς γὰρ δεχομένοις ὁ ἔπαινος γλυκύς.

O 7 15g * τῆς ἐμῆς. —ἱλαροὺς καὶ χαρίεντας αὐτοὺς ποιῶ διὰ τοῦ ὕμνου. ἐν ἀμφοτέροις γὰρ τούτοις ἐνίκησε Διαγόρας.

O 7 1-17 Th. Ὥσπερ εἴ τις ἄνθρωπος ἑλὼν καὶ λαβὼν ἀπὸ τῆς ἀφνειᾶς καὶ ἐνδόξου χειρὸς αὐτοῦ φιάλην καὶ ποτήριον πάγχρυσον, κορυφὴν καὶ ἐξαίρετον τῶν ἄλλων κτεάνων καὶ κτημάτων, καχλάζουσαν καὶ κινουμένην ἔνδον ἐν δρόσῳ ἀμπέλου, ἤτοι οἴνῳ, δωρήσεται καὶ δῶρον ταύτην παράσχοι νεανίᾳ (5) γαμβρῷ αὐτοῦ οἴκοθεν οἴκαδε· ἑαυτοῦ γὰρ οὖσαν γαμβρῷ ἑαυτοῦ ἔδωκε· προπίνων καὶ πρῶτος γευόμενος ἀπὸ ταύτης, τιμήσας καὶ τὴν χάριν τοῦ συμποσίου καὶ τὸ ἐὸν (9) καὶ ἴδιον κῆδος καὶ συγγένειαν, τουτέστι τίμιον τὸ συμπόσιον τῇ φιλοδωρίᾳ ποιήσας, καὶ ὅτι τὸ αὐτὸν συγγενῆ ἔχειν πλείστου ἄξιόν ἐστιν, ἐπειδὴ τοιαῦτα χαρίζεται· ἐν δέ, ἤγουν σὺν τούτοις ἔθηκέ μιν καὶ αὐτόν, τὸν γαμβρόν, παρόντων τῶν φίλων ζηλωτὸν καὶ μακαριστὸν ἕνεκα τῆς εὐνῆς καὶ τοῦ λέχους οὗπερ ἠξίωται, τῆς ὁμόφρονος καὶ συγγενικῆς· καὶ ἐγὼ πέμπων τοῖς ἀεθλοφόροις καὶ ἀγωνισταῖς ἀνδράσι (14) νικώντεσσι καὶ νικῶσιν ἐν Ὀλυμπίᾳ καὶ ἐν Πυθοῖ, νέκταρ χυτὸν καὶ ῥευστόν, ἤτοι ὕμνον, δόσιν Μουσῶν, γλυκὺν καρπὸν τῆς ἐμῆς φρενός, ἱλάσκομαι καὶ ἱλαροὺς καὶ χαρίεντας αὐτοὺς τίθημι. εἰ δὲ οὕτως ἐστὶν ἡ τῆς παραβολῆς ταύτης ἀπόδοσις, μὴ θαυμάσῃς· πολλὰ γὰρ ἂν τοιαῦτα ζητῶν εὑρήσεις. Th. Τὸ φιάλαν εἰ μὲν συνάψεις πρὸς τὸ πάγχρυσο ν , κορυφὴν αὐτὴν τῶν ἄλλων κτεάνων νοήσεις, οὐχ ὡς ποτήριον, ἀλλ’ ὡς χρυσῆν. ἔφη γὰρ πρόσθεν (Ol. III, 44)· Κτεάνων δὲ χρυσὸς αἰδοιέστατος. εἰ δὲ συνάψεις τὸ πάγχρυσον πρὸς τὸ τιμήσα ς , εἴποις οὕτω· τιμήσας τὴν πάγχρυσος κορυφὴν τῶν κτεάνων, τουτέστι τὸν αὐτῷ προσόντα χρυσόν· διότι οὐχ ἕτερόν τι κτῆμα, ἀλλὰ φιάλην ἐκ χρυσοῦ ἐχαρίσατο. τὸ δὲ ἀφνειᾶς ἀπὸ χειρὸς ἢ πρὸς τὸ ἑλὼν σύναπτε, ἢ πρὸς τὸ δωρήσεται · κρεῖττον δέ ἐστι τὸ πρῶτον, ὅπερ ἀγνοοῦντές τινες διὰ τὸ ἔχειν τινὰ ἀσάφειαν οὐ δέχονται. τὸ δ’ οὕτως ἔχει· ἑλὼν ἀφνειᾶς ἀπὸ χειρός, τουτέστιν αὐτὸς ταύτην κατέχων, ἐπεὶ ἑτέρῳ ἔδωκεν, ὥσπερ ἀπὸ τῆς κατεχούσης αὐτὴν χειρὸς ταύτην ἀφεῖλε τὴν κύλικα. τὸ δὲ κῆδος ἢ ὡς ἔφαμεν λέγε, ἢ κῆδος ἐὸν νόει τὸν ἴδιον γαμβρόν· ἵν’ ᾖ τὸ κῆδος τιμάσας ἐὸν καὶ τὸ ἐν δέ μιν ζηλωτὸν ἔθηκε ταυτόν. πρὸς δὲ τὸ εὐνᾶς εἰ καὶ τὸ ἕνεκα ἔξωθεν ἐλάβομεν, ἀλλὰ κατὰ τὴν κοινὴν συνήθειαν· ἔστι γὰρ ἡ τοιαύτη γενικὴ πρὸς τὸ ζηλωτό ς . εἰ γὰρ ἡ εὐνὴ ζηλωτὸν ἐκεῖνον ἐποίησε, πῶς οὐκ εἰκός ἐστι λέγειν ζηλωτὸν εὐνῆς; ὥσπερ γὰρ ῥεῦμα πηγῆς λέγομεν, οὕτω καὶ τοῦτο. ὅπερ εἰ μὴ δέχεταί τις, οὐδεὶς ἡμῖν λόγος. τὸ δὲ ἱλάσκομαι εἶπεν ἐκ μεταφορᾶς τῶν ἱκετευομένων, οὓς οἱ ἱκετεύοντες τῷ συνεχεῖ τῆς ἱκεσίας πρὸς οἶκτον καὶ ἔλεον αὐτῶν μαλθάσσουσιν. M. Ὥσπερ εἴ τις φιάλην λαβὼν διόλου χρυσῆν, κορυφὴν κτεάνων, ἤγουν ἐξαίρετον κτῆμα τῶν κτημάτων, καχλάζουσαν ἔνδον δρόσῳ ἀμπέλου, τουτέστιν οἴνῳ, ἀντὶ τοῦ οἶνον ἔχουσαν ἔνδον ἀναπηδῶντα τῇ ἑαυτοῦ φυσικῇ θέρμῃ, διὰ χειρὸς πλουσιοδώρου δωρήσεται, ἤγουν χαρίσεται νεανίᾳ (5) γαμβρῷ ἑαυτοῦ προπίνων, τουτέστιν ἅμα τῷ πόματι καὶ τὴν φιάλην χαριζόμενος, οἴκοθεν, ἤγουν ἀπὸ τοῦ ἰδίου οἴκου, ὥστε ἐνεγκεῖν τὸν νεανίαν εἰς τὴν ἑαυτοῦ οἰκίαν, τὸ ἐπαγωγόν τε τοῦ συμποσίου τιμήσας, περιφραστικῶς, τουτέστι τὸ συμπόσιον καὶ τὴν συγγένειαν τὴν ἑαυτοῦ (9)· φίλων δὲ συμπαρόντων ἐποίησεν αὐτόν, ἤγουν τὸν ἑαυτοῦ γαμβρόν, ζηλωτόν, τουτέστι μακαριστὸν ἕνεκα τῆς συναφείας τῆς γαμικῆς, ᾗ ἐξ ἀνάγκης ἕπεται ἡ ὁμοφροσύνη· οὕτω δηλονότι καὶ ἐγὼ νέκταρ χυτόν, λέγω δόσιν Μουσῶν, τουτέστιν ἣν αἱ Μοῦσαι διδόασι, γλυκὺν καρπόν, ἤγουν τόκον τῆς ἐμῆς γνώσεως πέμπων ἀνδράσιν (14) ἀθλοφόροις, ἤτοι νικηταῖς ἐν Ὀλυμπίᾳ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πυθοῖ νικῶσιν, ἀντὶ τοῦ νικήσασιν, ἱλάσκομαι αὐτοὺς δηλονότι, ἤγουν ἱλαρούς, χαρωποὺς ποιῶ. [55]

O 7 17 Th. Εἰ μὲν ὀξύνεις τὸ ὁ, οὕτως ἐρεῖς· ὅδε καὶ οὗτος ὑπάρχει ὄλβιος καὶ εὐδαίμων, ὃν κατέχουσι φῆμαι ἀγαθαί· εἰ δὲ καθ' ὁμαλισμὸν γράφεις, οὕτως· ὁ δὲ ὄλβιος οὗτός ἐστιν, ὃν φῆμαι κατέχουσιν ἀγαθαί. εὐδαίμων.

O 7 18g ἤγουν ὃν πάντες θαυμάζουσιν. ἐν ἄλλῳ καιρῷ.

O 7 19g —ἄνθρωπον. —ἐπιβλέπει. —νίκης εὐτυχία. θάλλειν καὶ ζῆν αὐτὸν ποιοῦσα εἰς τὸ ἑξῆς.

O 7 20g — γλυκυτάτῃ. Th.

O 7 21 Πολυφθόγγοις διὰ τὰς ἐν αὐτοῖς ὀπάς. λέγει δὲ ὅτι ἡ κατορθωθεῖσά τινι νίκη εἰ ἐπαίνου τεύξεται, ἀδιαλείπτως αὐτή τε θάλλει καὶ ὥσπερ ζῇ οὐχ ὑπὸ λήθης ἀφανιζομένη, καὶ τὸν ποιήσαντα ταύτην τοιοῦτον τοῖς ἑξῆς παρίστησι. τὸ δὲ φόρμιγγι καὶ τὸ αὐλοῖς λέγει, ἐπειδὴ διὰ τοιούτων αὐτὸς ᾖδε τὰ ἔπη. ἀδιαλείπτως· σύναπτε δὲ πρὸς τὸ ζωθάλμιο ς . [5]

O 7 21g — ** κιθάρᾳ. — ** πολυφθόγγοις. ἤτοι αὐλοῖς ἐντεταμένως ἠχοῦσιν.

O 7 17-22 M. Οὗτος δὲ μακάριος, ὃν κατέχουσι φῆμαι ἀγαθαί, τουτέστι διαλαλήσεις χρησταί, ἃς οἱ ὕμνοι δηλονότι ποιοῦσι. τὸ γὰρ ἐπαγόμενον τοῦτο δίδωσι συνυπακούεσθαι. ἐπάγεται γάρ· ἄλλοτε (19) δ' ἄλλον ἐποπτεύει χάρις ζωθάλμιος, ἀντὶ τοῦ ἄλλοτε δὲ ἄλλον θάλπει, περιέπει τὸ ἐπαγωγὸν τῶν ὕμνων τὸ θαλερᾶς ζωῆς πάροχον, ἅμα μὲν (21) καὶ σὺν φόρμιγγι ἡδέα μέλη ἐργαζομένῃ καὶ ἐν ἔντεσιν, ἤγουν κατασκευάσμασιν αὐλῶν, περιφραστικῶς ἀντὶ τοῦ καὶ ἐν αὐλοῖς παμφώνοις, τουτέστι ποικίλως φωνοῦσιν. ** δή. [5]

O 7 23g — * τῆς φόρμιγγος καὶ τῶν αὐλῶν. τῷ νῦν προκειμένῳ εἰς ὕμνον.

O 7 24g — * θαλασσίαν. Th.

O 7 25 Λέγουσί τινες τὴν Ῥόδον, ἧς ἡ νῆσος ἐπώνυμος, παῖδα μὲν Ἀφροδίτης εἶναι, γυναῖκα δὲ Ἡλίου, βεβαιοῦντες τοῦτο ἀπὸ τοῦ νύμφην· ἄλλοι παῖδ' Ἀφροδίτης καὶ Ἡλίου. σὺ δὲ τοῖς πρώτοις πείθου· μαρτυρήσει δὲ καὶ Πίνδαρος προιών. ποντίαν δὲ λέγει διὰ τὸ τὴν ἐξ αὐτῆς ὀνομασθεῖσαν Ῥόδον ἐν θαλάσσῃ εἶναι καὶ ταύτην ἐν αὐτῇ κατοικεῖν. τὸ δὲ εὐθυμάχαν ἢ πρὸς τὸ Ῥόδον νόει, ὡς καὶ ὄπισθεν ἔφη τὸ Θήβαν πλήξιππον (Ol. VI, 85), ἢ πρὸς τὸ ἄνδρ α . εὐθυμάχης δὲ ἀνὴρ ὁ ὁμόσε τῇ μάχῃ χωρῶν καὶ μηδαμῶς εἰς δειλίαν νεύων. διὰ τοῦτο δὲ εἶπε τὸ ὑμνέων τὴν Ῥόδον, διὰ τὸ τὸν Διαγόραν Ῥόδιον εἶναι. ** ὑμνῶν. [10]

O 7 25g — ** τὴν θυγατέρα. ** τοῦ Ἡλίου.

O 7 26g — * τὴν γυναῖκα. τὴν ἡρωΐδα λέγει, ἧς ἡ νῆσος ἐπώνυμος.

O 7 28 Germ. Εὐθυμάχαν τὸν ἀντιπροσωποῦντα τοὺς συναγωνιστὰς καὶ μὴ παρακάμπτοντα καὶ παραγκωνίζοντα. ἵνα.

O 7 28g — * τὸν μεγαλόσωμον Διαγόραν ἢ οὗ ἐν Ὀλυμπίᾳ ἀνδριὰς ἵσταται πηχῶν δʹ καὶ δακτύλων εʹ. — ** τὸν Διαγόραν. τῇ Ὀλυμπίᾳ.

O 7 30g ** ὑμνήσω. —δι' ἧς ἐνταῦθα ἐνίκησε. —δῶρα. ἤτοι ἐν Πυθίᾳ· ἐνταῦθα γὰρ ἡ Κασταλία πηγή.

O 7 32g τὸν αὐτοῦ. —ἀρέσκοντα τῇ δικαιοσύνῃ, ἤτοι τὸν δικαιότατον. Germ.

O 7 33 Ἔμβολος τὸ ἀπὸ πλατέος εἰς ὀξὺ λῆγον, ὥσπερ ἐστὶν ἀπὸ μέσης νηὸς μέχρι καὶ τέλους, λέγεται. μείζων γὰρ αὕτη Λιβύης καὶ Εὐρώπης.

O 7 34 Th. Ἐτέθη ταῖς πόλεσι τὰ ὀνόματα ἀπὸ τῶν τοῦ Ἡλίου υἱωνῶν, Λίνδου, Ἰηλυσοῦ, Καμείρου. γράφεται δὲ καὶ Ἐμβόλου καὶ Ἐμβόλῳ · καὶ τὸ μὲν Ἐμβόλου οὕτως ἀποδώσεις· ναίοντας τὴν τρίπολιν νῆσον πέλας τοῦ Ἐμβόλου τῆς εὐρυχώρου Ἀσίας. ἀντικρὺ γὰρ Ῥόδου Λυκία, ἥτις ἐστὶ τῆς Ἀσίας, ἐν δὲ τῇ Λυκίᾳ χωρίον τι Ἔμβολος καλούμενον διὰ τὸ εἰς ὀξὺ λήγειν τε καὶ στενὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ προήκειν εἰς θάλατταν. τὸ δὲ Ἐμβόλῳ οὕτω· ναίοντας τὴν τρίπολιν νῆσον ἐν Ἐμβόλῳ πέλας τῆς εὐρυχώρου Ἀσίας. μέρος γάρ τι τῆς Ῥόδου τὸ πρὸς Ἀσίαν εἰς ὀξὺ καὶ στενὸν παρατέταται, ὡς ἐοικέναι ἐμβόλῳ νηός. ἔμβολα γὰρ τὰ τῶν πλοίων ὀξέα, ἃ δὴ καὶ πρῶραι καλοῦνται. τὴν τρεῖς ἔχουσαν πόλεις, Λίνδον, Ἰηλυσὸν καὶ Κάμειρον.

O 7 34g — * Ῥόδον. * τῆς Λυκίας, ἤτοι τῷ ἄκρῳ αὐτῆς τῆς Ῥόδου.

O 7 35g —τὸν πατέρα καὶ τὸν υἱόν. —οἱ γὰρ μετὰ Τληπολέμου ἐνταῦθα οἰκήσαντες Ἀργεῖοι. M.

O 7 23-35 Καὶ δὴ μετ’ ἀμφοτέρων, ἤγουν τῆς φόρμιγγος καὶ τῶν αὐλῶν, ἦλθον σὺν τῷ Διαγόρᾳ τῷ νικηφόρῳ, τουτέστι τοῦ Διαγόρου τὴν ὁδὸν ἡγουμένου· οὗτος γὰρ νικήσας ἐγένετο αἴτιος τῆς ὁδοῦ ταύτης· ὑμνῶν (25) τὴν Ῥόδον τὴν θαλασσίαν τὴν παῖδα τῆς Ἀφροδίτης, καὶ νύμφην, ἤγουν γυναῖκα τοῦ Ἡλίου· ὅπως (28) ἄνδρα πελώριον, ἤτοι πάνυ μέγαν, αὐτὸν τὸν Διαγόραν δηλονότι, εὐθυμάχαν, ἤγουν ἄτρεπτον ἐν μάχαις, ὁμόσε χωροῦντα, ἐν τῇ Πίσῃ στεφανωσάμενον, τουτέστι νικήσαντα, καὶ (31) ἐν τῇ Κασταλίᾳ τῇ ἐν Πυθοῖ, ἐπαινέσω ἄποινα, ἀντὶ τοῦ εἰς ἀμοιβὴν τῆς πυγμῆς, καὶ τὸν πατέρα αὐτοῦ τὸν Δαμάγητον τὸν ἀρεστὸν γεγονότα τῇ δίκῃ, ἤτοι τὸν τιμήσαντα τὴν δίκην, τοὺς ναίοντας, ἀντὶ τοῦ τοὺς κατοικήσαντας σὺν αἰχμῇ, τουτέστι δυνάμει, στρατιᾷ Ἀργείᾳ τὴν νῆσον τὴν τρίπολιν, ἤγουν τὴν Ῥόδον, ἐφ’ ᾗ τρεῖς ἦσαν πόλεις, Λίνδος, Ἰηλυσὸς καὶ Κάμειρος, πέλας, ἤτοι πλησίον τοῦ ἐμβόλου τῆς Ἀσίας τῆς εὐρυχόρου, τουτέστι τῆς ἐπὶ πολὺ πλάτος κατὰ κύκλον ἀνοιγομένης. τῷ Διαγόρᾳ καὶ Δημαγήτῳ καὶ τοῖς ἄλλοις Ῥοδίοις· — ἕνεκα τῶν.

O 7 38g κοινόν· — ** πᾶσιν ἀνθρώποις. — μηνύων ἤγουν ἱστορῶν. —ἀποδοῦναι. τῇ ἰσχυροτάτῃ.

O 7 36-40 Th. Ἐθελήσω ὀρθῶσαι καὶ ἀποδοῦναι τοῖσι καὶ τούτοις, Διαγόρᾳ, Δημαγήτῳ καὶ τοῖς ἄλλοις Ῥοδίοις, λόγον ξυνὸν καὶ κοινὸν τῇ εὐρυσθενεῖ γέννᾳ τοῦ Ἡρακλέους, ἀγγέλλων ἐξ ἀρχῆς ἀπὸ Τληπολέμου· τουτέστι δείξω τοὺς Ῥοδίους ἐξ Ἡρακλέους τὸ γένος κατάγοντας, ἀρξάμενος τῆς κατὰ Τληπόλεμον διηγήσεως. τὸ δὲ ἀπὸ Τληπολέμου ὥσπερ μεθερμηνευτικόν ἐστι τοῦ ἐξ ἀρχῆς. Th.

O 7 41 Τληπόλεμος ὁ τῶν Ῥοδίων πρόγονος υἱὸς ἦν Ἡρακλέους καὶ Ἀστυδαμείας. λέγει οὖν τοὺς Ῥοδίους ἐκ μὲν τοῦ πατρὸς τοῦ Τληπολέμου εἰς Δία ἀνάγειν τὸ γένος, εἴπερ Ῥόδιοι μὲν ἐκ Τληπολέμου, ἐξ Ἡρακλέους δὲ Τληπόλεμος, ἐκ Διὸς δὲ Ἡρακλῆς· ἐκ δὲ τῆς μητρὸς αὐτοῦ Ἀστυδαμείας εἰς Ἀμύντορα· Ἀμύντωρ γὰρ ὁ τῆς Ἀστυδαμείας πατήρ. εἶναι.

O 7 42g —ἀπόγονοι Ἀμύντορος. Germ.

O 7 43 Τὸ δὲ ματρόθε ν ] ποιητικῶς ἐπακολουθεῖ τὸ Ἀστυδαμείας τῷ ἐπιῤῥήματι τοῦ ματρόθεν ἐπαναλύσει. Th. Τὸ μητρόθεν πρὸς τὸ τόδε συναπτέον, τὸ δὲ Ἀμυντορίδαι διὰ μέσου. θυγατρὸς Ἀμύντορος.

O 7 43g —ὑπεραπολογεῖται Τληπολέμου. ἁμαρτίαι· —ἤγουν οἱ ἄνθρωποι ἁμαρτίαις ὑπόκεινται καὶ οὐκ ἐπὶ τοῦ αὐτοῦ βαίνουσιν.

O 7 45g ** ἐπίκεινται. ἄπορόν ἐστιν.

O 7 46g —τινά. * ὅπερ.

O 7 48g * κάλλιστον. — * τούτου. Th.

O 7 46-48 Ἀμήχανον δὲ ὑπάρχει εὑρεῖν τοῦτο ὅτι καὶ ὅπερ ὑπάρχει φέρτατον καὶ κράτιστον νῦν ἀνδρὶ τυχεῖν τούτου καὶ ἐν τῇ τελευτῇ, τουτέστιν οὐδεὶς οἶδεν, ὡς εἴ τῳ πάρεστι νῦν εὐδαιμονία, καὶ ὕστερον ταύτης τεύξεται. τοῦτο δὲ λέγει ὑπὲρ Τληπολέμου πρῶτον μὲν εὐτυχοῦντος, ὕστερον δὲ φόνον πεποιηκότος, εἰ καὶ μετὰ ταῦτα πάλιν εὐδαιμονέστατος γέγονε, Ῥοδίων βασιλεὺς καταστάς. ἡ δὲ ἱστορία ἔχει οὕτω. Λικύμνιον νόθον κασίγνητον Ἀλκμήνης ἐκ τῆς πατρίδος αὐτοῦ ἐλθόντα εἰς Τίρυνθα Τληπόλεμος στασιάσας πρὸς αὐτὸν ἀπέκτεινεν ἐλαΐνῳ ῥοπάλῳ

βαλὼν πόῤῥωθεν. οἱ δέ φασιν, ὅτι βοῦν πλῆξαι θέλων καὶ ῥάβδον πόῤῥωθεν ῥίψας πρὸς ταύτην ἀποτυχῶν ταύτης βάλλει Λικύμνιον καὶ ἀναιρεῖ. ἐλθόντι οὖν εἰς Δελφοὺς καὶ ἀπαλλαγὴν τοῦ μίσους ζητοῦντι ἔχρησεν Ἀπόλλων Ἀργείους παραλαβόντα μετοικίζειν εἰς Ῥόδον. νόθος δὲ ἀδελφὸς τῆς Ἀλκμήνης ὁ Λικύμνιος οὕτως ἦν· Ἠλεκτρυὼν γὰρ Λυσιδίκην τὴν Πέλοπος ἀδελφὴν λαβὼν κατὰ νόμους ποιεῖ Ἀλκμήνην, Μηδέᾳ δὲ πορνικῶς συνελθὼν ποιεῖ Λικύμνιον. Μ. [15]

O 7 36-48 Ἐθελήσω ἀγγέλλων, ἤγουν διηγούμενος, διορθῶσαι, τουτέστιν ὀρθῶς εἰπεῖν, ἰθῦναι κοινὸν πᾶσιν ἀνθρώποις λόγον χάριν τῶν ἐξ ἀρχῆς ἀπὸ τοῦ Τληπολέμου καταγομένων, ἤγουν τῶν Ῥοδίων, λέγω τῆς γενεᾶς τοῦ Ἡρακλέος τῆς εὐρυσθενοῦς (40), τουτέστι τῆς κατὰ πολὺ ἰσχυρᾶς. κατὰ μὲν γὰρ τὸ μέρος τὸ ἀπὸ τοῦ πατρὸς ἐκ τοῦ Διὸς εὔχονται εἶναι, ἀντὶ τοῦ μετὰ τοῦ σεμνύνεσθαι λέγουσιν οἱ Ῥόδιοι· ἀπὸ τοῦ εὔχομαι τὸ καυχῶμαι· κατὰ δὲ τὸ ἀπὸ τῆς μητρὸς μέρος Ἀμυντορίδαι εὔχονται εἶναι ἀπὸ τῆς Ἀστυδαμείας. ταῖς φρεσὶ δέ, ἀντὶ τοῦ ταῖς ψυχαῖς τῶν ἀνθρώπων περικρέμανται ἀμπλακίαι, ἤγουν ἁμαρτίαι ἀναρίθμητοι (45), ἀντὶ τοῦ πλεῖσται, μυρίαι, τουτέστι μυρίαι δὲ ἁμαρτίαι περικρέμανται ἑκάστῃ ψυχῇ ἀνθρώπου, ὧν εἴς τινα δηλονότι ἀνάγκη αὐτὴν ἐμπεσεῖσθαι. τοῦτο δὲ ἀμήχανον, ἤγουν ἀδύνατον εὑρεῖν, λέγω ὅπερ νῦν κράτιστον συμβέβηκεν ἀνθρώπῳ, τὸ αὐτὸ καὶ ἐν τῇ τελευτῇ, ἤγουν τῷ θανάτῳ αὐτοῦ τυχεῖν, τουτέστι συμβῆναι, εὑρεθῆναι. * ἀδελφόν. [15]

O 7 50g * οὐ νόμιμον. — * ῥάβδῳ. — * τύπτων. * τοιοῦτον γὰρ τὸ φυτόν.

O 7 52g * πόλει Ἄργους. * οἴκων.

O 7 53g — * τῆς μητρὸς αὐτοῦ. * τῆς τῶν Ῥοδίων.

O 7 54g — * ὁ Τληπόλεμος. — * τὸ χολωθεὶς πρὸς τὸ ἔκτανε συναπτέον. Germ.

O 7 49-54 Ἡ σύνταξις αὕτη. καὶ γὰρ ὁπότε ὁ οἰκιστὴρ τῆσδε τῆς χθονὸς χολωθεὶς καὶ ὀργισθεὶς τὸν Λικύμνιον τὸν νόθον κασίγνητον τῆς Ἀλκμήνης τὸν ἐλθόντα ἐκ τῶν θαλάμων τῆς Μιδέας ἔκτανεν ἐν τῇ Τίρυνθι θένων ἐν σκάπτῳ τῆς σκληρᾶς ἐλαίας. * γάρ. [5]

O 7 55g —στάσεις· λέγει δὲ νῦν τὸν θυμόν. ἐξήγαγον τοῦ καθεστηκότος.

O 7 49-56 Μ. Καὶ γὰρ ὁ οἰκιστὴς ταύτης τῆς γῆς, ἤγουν τῆς Ῥόδου, ὁ Τληπόλεμος δηλονότι, χολωθείς, ἤτοι ὀργισθείς ποτε ἔκτανε τὸν Λικύμνιον τὸν νόθον ἀδελφὸν τῆς Ἀλκμήνης, ἐν Τίρυνθι· πόλις δὲ τοῦ Ἄργους ἡ Τίρυνς· ἐλθόντα ἐκ (53) τῶν θαλάμων, ἤγουν τῶν οἴκων τῆς Μιδέας, τῆς μητρὸς αὐτοῦ, θένων τουτέστι τύπτων αὐτὸν ῥάβδῳ ἀπὸ σκληρᾶς ἐλαίας. αἱ δὲ φρενῶν ταραχαί, ἤγουν αἱ δὲ προπετεῖς καὶ ἀκρατεῖς ὀργαί, παρέπλαξαν καὶ σοφόν, τουτέστιν ἐξήνεγκαν τοῦ ὀρθοῦ καὶ φρόνιμον. ἀπὸ τοῦ πλάζω τοῦ πλανῶ τὸ παρέπλαξαν. περὶ τῆς τοῦ φόνου ἀπαλλαγῆς. [5]

O 7 57g —τὸν Ἀπόλλωνα. —ὁ Τληπόλεμος. * ὁ χρυσᾶς κόμας ἔχων Ἀπόλλων.

O 7 59g τεθυμιασμένου. —τοῦ μὴ πολλοῖς εἰσβατοῦ νεώ. Ἀργείας· Λέρνη γὰρ ἐκεῖσε πηγή.

O 7 61g ἐξ εὐθείας ποιήσασθαι· — ** οὐ χρὴ γράφειν εὐθὺν πρὸς τὸ πλόον · ἀσύντακτον γὰρ τοῦτο· ἀλλὰ στέλλε ἤγουν στέλλου· οὕτω γὰρ ἔχει ὀρθῶς. —περίῤῥυτον. οἴκησιν· λέγει δὲ τὴν Ῥόδον.

O 7 63g * ὁ Ζεύς. ** συνίζησις.

O 7 64g —ὑετοῖς. —τὸ πόλιν καὶ τὸ ἔνθα ἐκ παραλλήλου· ἢ καθ’ ὅλον καὶ μέρος, ἵν’ ᾖ τὸ ἔνθα ὅλον, τὸ δὲ πόλιν μέρος. Th.

O 7 65 Διαιρεθείσης τῆς τοῦ Διὸς κεφαλῆς ὑπὸ Ἡφαίστου καὶ Ἀθηνᾶς ἐξελθούσης· ἐκεῖ γὰρ αὐτὴν ὤδινεν, ἐλθὼν Ἥλιος εἶπε Ῥοδίοις πρώτους θῦσαι αὐτῇ ὡς ἀναγκαῖον ὂν ἐκεῖ ταύτην οἰκῆσαι παρ’ οἷς ἂν πρώτοις θυσία αὐτῇ γένηται. ἀνελθόντες οὖν εἰς τὴν ἀκρόπολιν Ῥόδιοι θῦσαι αὐτῇ, ἐπελάθοντο καὶ πῦρ συμπαραλαβεῖν τοῖς ἐναγίσμασι, καὶ ἀπύρως ἔθυσαν· διὸ συνέβη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀθηναίους πρώτους θύσαντας πυρὶ ἐν αὐτοῖς τὴν θεὸν οἰκεῖν ἠξιῶσθαι. Ζεὺς οὖν Ῥοδίων τὴν γνώμην ἀποδεξάμενος χρυσὸν ὑετὸν αὐτοῖς κατέχεεν. Th. Τὸ ἡνίκα ἄνω καὶ πρὸς τὸ ἔνθα ἔχει τὴν ἀπόδοσιν καὶ οὐ πρὸς τὸ τότε · ἔστι γὰρ ἐνταῦθα τὸ τότε παραπλήσιον ὥσπερ ποιεῖ Ὅμηρος ἔν τισι τῶν παραβολῶν ἄνω μὲν ἐχούσαις τὴν ἀπόδοσιν, ὅμως δὲ ἐπάγει ὕστερον καὶ τὸ οὕτως οὐκ εἰς ἀπόδοσιν τῆς παραβολῆς, ἀλλὰ διὰ τὴν ἑξῆς ἔννοιαν. ὁπότε. [10]

O 7 66g σιδηρῷ. τοῦ Διός.

O 7 67g — ** ἤγουν εἰς τὴν ἀκρόπολιν. ὁρμήσασα, ἐξελθοῦσα.

O 7 68g — ἐβόησε. * μεγάλῃ· δείκνυσι δὲ ἐντεῦθεν τὸ πολεμικὸν τῆς θεοῦ ἢ ὅτι μέγας λόγος ἀνθρώποις ὑπὲρ αὐτῆς ἔσται.

O 7 70g συνέσταλται. —αὐτήν. — * πάντων. ὁ φωτίζων τοὺς βροτοὺς ταῖς ἀκτῖσιν ἥλιος.

O 7 72g ὁ υἱὸς τοῦ Ὑπερίονος, ὃς ἦν εἷς τῶν Τιτάνων. Th.

O 7 73 Μέλλον χρέος λέγει διὰ τοῦτο, διότι ἀναγκαίως ἔμελλεν ἐκεῖσε τὴν θεὸν οἰκήσειν ἐν οἷς ἂν πρώτοις θυσία αὐτῇ γένηται. προσέταξε τηρῆσαι καὶ μὴ ἀμελῆσαι.

O 7 74g τοῖς ἐκγόνοις αὐτοῦ Ῥοδίοις. ** τῇ Ἀθηνᾷ.

O 7 75g — ** ἀνοικοδομήσαιεν. λαμπρόν.

O 7 77g εὐσεβῆ, μεγάλην. Th.

O 7 78 Εἰ μέν ἐστιν ἰάναιε ν , σαφής ἐστιν ἡ σύνταξις· εἰ δέ ἐστιν ἰάναι · πλέον γὰρ τοῦτο ἢ ἐκεῖνο εὕρηται· τοῦτο ἔχει τὴν ζήτησιν. φαμὲν οὖν, ὅτι ἐπειδὴ τὸ ὡς ἂν καὶ πρὸς εὐκτικὸν καὶ πρὸς ἀπαρέμφατον συντάσσομεν (λέγομεν γὰρ ὡς ὂν ποιήσαιεν καὶ ὡς ἂν ποιῆσα ι ) διὰ τοῦτο καὶ πρὸς εὐκτικὸν καὶ πρὸς ἀπαρέμφατον ἀπεδόθη τῷ Πινδάρῳ ἡ σύνταξις· ἔστι δὲ ὅμοιον τῷ παρὰ Θουκυδίδῃ (III, 21)· ὥστε πάροδον μὴ εἶναι παρὰ πύργον, ἀλλὰ δι’ αὐτῶν μέσων διῄεσαν. τῷ Διΐ. [5]

O 7 78g —ψυχήν. —εὐφράναιεν. —τῇ Ἀθηνᾷ. τῇ τὸ ἔγχος σειούσῃ, ἤτοι τῇ πολεμικῇ.

O 7 56-79 Μ. Ἀπελθὼν δὲ εἰς τὸν θεὸν ἐμαντεύσατο, ἤγουν μαντείαν ᾔτησεν. εἰς τὸν θεὸν δὲ εἰπὼν ἀδήλως, διὰ τοῦ ἐπαγομένου δῆλον ποιεῖ, ὅτι εἰς τὸν Ἀπόλλωνα λέγει αὐτὸν ἀπελθεῖν. ἐπάγει γάρ· τῷ μὲν εἶπεν ὁ Χρυσοκόμας. δῆλον δὲ πᾶσίν ἐστιν, ὅτι τὸ Χρυσοκόμης οὐκ ἄλλου τινός ἐστιν ἐπίθετον ἢ τοῦ Ἀπόλλωνος. τούτῳ μὲν ὁ Ἀπόλλων ὁ χρυσῆν ἔχων κόμην εἶπεν ἐκ τοῦ ἀδύτου, ἤγουν τοῦ ναοῦ τοῦ εὐωδίας πεπληρωμένου· στέλλε (61) πλοῦν, ἀντὶ τοῦ στέλλου ἀπὸ τῆς ἀκτῆς, ἀντὶ τοῦ τοῦ αἰγιαλοῦ τῆς Λέρνης, τουτέστιν ἀπὸ τοῦ Ἄργους, εἰς τὸν νομόν, ἤγουν τὴν διατριβήν, τὸν τόπον τὸν ἀμφιθάλασσον, τουτέστι τὸν ὑπὸ θαλάσσης περιλαμβανόμενον, εἰς τὴν Ῥόδον λέγω, ὅπου ποτὲ ὁ βασιλεὺς τῶν θεῶν ὁ μέγας, ἤγουν ὁ Ζεύς, ἔβρεχε τὴν πόλιν ἀντὶ τοῦ ἔβρεξε διὰ νιφάδων χρυσῶν, ἤγουν διὰ ψηγμάτων χρυσοῦ ἀπὸ νεφῶν καταῤῥηγνυμένων, ὁπηνίκα ταῖς τέχναις τοῦ Ἡφαίστου, ἀντὶ τοῦ τῷ ὀργάνῳ, τῷ τῇ τέχνῃ τοῦ Ἡφαίστου κατασκευασθέντι (66), λέγω τῷ ὑπὸ σιδήρου ἠλασμένῳ πελέκει, ἡ Ἀθηνᾶ ἀνορούσασα, ἤγουν ἀνορμήσασα κατὰ τὸ ἄκρον τῆς κορυφῆς τοῦ πατρὸς αὐτῆς τοῦ Διὸς ἠλάλαξε, τουτέστι πολεμικὸν ἐβόησε κατὰ βοὴν ὑπερμήκη, ἤγουν ὑπερβολικῶς ὑψηλήν. ὑπερβολικῶς· ὁ οὐρανὸς δὲ ἔφριξεν αὐτήν, τουτέστι συνεστάλη, ἐφοβήθη, καὶ ἡ γῆ ἡ μήτηρ πάντων. τότε καὶ ὁ θεὸς ὁ φῶς τοῖς ἀνθρώποις φέρων, ὁ Ὑπεριονίδης, ἤγουν ὁ υἱὸς τοῦ Ὑπερίονος, τουτέστιν ὁ Ἥλιος, ἐνετείλατο τοῖς παισὶν αὐτοῦ τοῖς προσφιλέσιν, ἤτοι τοῖς Ῥοδίοις, χρέος μέλλον (73), τουτέστι πρᾶγμα ἐξ ἀνάγκης γενησόμενον παραφυλάξασθαι, ἤγουν τὴν γέννησιν τῆς Ἀθηνᾶς, ὅπως ἂν χάριν αὐτῆς τῆς θεᾶς τῆς γεννηθησομένης πρῶτοι κτίσωσι βωμόν, ἤγουν θυσιαστήριον, ναὸν ἐναργῆ, τουτέστι μετέωρον, περιφανῆ, καὶ σεμνὴν θυσίαν ἐν αὐτῷ ποιήσαντες τὴν ψυχήν τε εὐφράναιεν τοῦ πατρός, ἤγουν τοῦ Διός, τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γενησομένου πατρὸς αὐτῆς, καὶ τῆς κόρης, ἤτοι τῆς θυγατρός, τουτέστι καὶ αὐτῆς τῆς Ἀθηνᾶς τῆς γενησομένης θυγατρὸς αὐτοῦ τοῦ Διός, τῆς ἐγχειβρόμου, ἤγουν τῆς περὶ τὸν ἠχητικὸν πόλεμον εὐφυοῦς, γενησομένης δηλονότι. Germ.

O 7 79 Ἐν δ ’ ἀρετὰν ἔβαλε ν ] ἡ αἰδὼς δὲ τοῦ Προμηθέως ἐνέβαλεν ἐν τοῖς ἀνθρώποις ἀρετὴν καὶ χάρματα. Th. Τουτέστιν ὁ μετὰ τοῦ προβεβουλεῦσθαι ποιῶν τι ὁμοῦ τε κατορθοῖ τοῦτο καὶ ἡδονὴν ἔχει ἅτε κατωρθωκώς. τὸ δὲ αἰδὼς Προμηθέως λέγει, διότι πᾶς ὁ χρώμενος προμηθείᾳ οἱονεὶ τὸν Προμηθέα αἰδεῖται καὶ τιμᾷ. ἡδονάς.

O 7 82g ἀνθρώποις. —δή. ἄσκοπον.

O 7 83g —σκοτισμός. * παρασύρει καὶ μεταφέρει τοὺς ἀνθρώπους, ἤγουν ἔξω τοῦ ὀρθοῦ καὶ προσήκοντος τίθησιν.

O 7 84g ἔστι δὲ αὕτη ἡ παραγωγὴ ἔξω φρενῶν· — ** παρασύρει. οἱ Ῥόδιοι.

O 7 86g — * καυστικῆς. ** σπινθῆρα.

O 7 87g —ἐν τῇ ἀκροπόλει. —σύναπτε τὸ οὐ πρὸς τὸ ἔχοντε ς . ἐποίησαν.

O 7 88g — οὐκ ἔχουσι πῦρ. —θύμασι. ναὸν καὶ βωμὸν τῇ Ἀθηνᾷ.

O 7 89g — * διὰ τὸ ἐκ Διὸς κεφαλῆς γεγενῆσθαι τὴν Ἀθηνᾶν ἐν ἀκροπόλει ἔθυον. M.

O 7 79–89 Ἐμβάλλει δὲ τοῖς ἀνθρώποις, ἤγουν ἐμποιεῖ ἀρετῆς τιμὴν καὶ χαρὰν τοῦ Προμηθέως, τουτέστι τῆς προβουλεύσεως τὸ αἰδέσιμον, ἤτοι ἡ αἰδὼς ἡ ἑπομένη τῷ Προμηθεῖ, περιφραστικῶς ἀντὶ τοῦ ὁ Προμηθεὺς ὁ αἰδέσιμος, ἀλλ’ ἐπιβαίνει (82), ἤγουν ἐπέρχεται καὶ νέφος τι λήθης ἀτέκμαρτον, τουτέστιν ἀπροσδόκητον, καὶ παρέλκει, ἤγουν παρατρέπει, ἐκκρούει, τὴν ὀρθὴν μέθοδον τῶν πραγμάτων ἔξω τῶν λογισμῶν. καὶ οὗτοι γάρ (86), οἱ τοῦ Ἡλίου δηλονότι παῖδες, ἀνέβησαν οὐκ ἔχοντες, ἤγουν οὐ φέροντες σπέρμα φλογὸς καυστικῆς, τουτέστι πῦρ, ὃ τὴν καυστικὴν αὔξει φλόγα. ἀνέβησαν δὲ εἰπὼν ἀδήλως διὰ τῶν ἐπαγομένων δῆλον ποιεῖ ὅτι εἰς τὴν ἀκρόπολιν λέγει αὐτοὺς ἀναβῆναι. ἐπάγει γάρ· τεῦξαν δ’ ἀπύροις ἱεροῖς ἄλσος ἐν ἀκροπόλει, ἤγουν κατεσκεύασαν δὲ ἐν τῇ ἀκροπόλει ναὸν σὺν θυσίαις ἀπύροις, τουτέστιν ἅμα καὶ θυσίας πυρὸς ἀμετόχους τελέσαντες. τοῖς Ῥοδίοις.

O 7 90g πυρώδη· τοιοῦτος γὰρ ὁ χρόνος. * ἔβρεξε.

O 7 91g — * ἤγουν ἡ Ἀθηνᾶ. * αὐτοῖς τοῖς Ῥοδίοις.

O 7 93g * ἀνθρώπων. Ἀθηνᾶ.

O 7 94g — * καλλιέργοις· — ** καλλίστοις ἔργοις. Th.

O 7 92–94 Τὸ τεχνᾶν πασᾶν πρὸς τὸ ἀριστοπόνοις χερσὶ συναπτέον οὕτως· ὤπασέ σφισιν ἡ Ἀθηνᾶ, ἐπεὶ ἡ φρόνησις μηχανᾶται τὰς τέχνας, κρατεῖν τῶν ἐπιχθονίων ἀνθρώπων, ἐν ἀριστοπόνοις χερσὶ πασᾶν τεχνᾶν. λέγει δὲ τὸ χερσὶ τεχνῶ ν , ἐπειδὴ αἱ χεῖρες τὰς τέχνας ἐργάζονται ἢ τὸ ἐπιχθονίων πρὸς τὸ τεχνᾶν, ἵν’ ᾖ τῶν ἐπιχθονίων πασῶν. Th.

O 7 95 Ῥόδιοι οὕτως ἄριστοι ἀνδριαντοποιοὶ ἦσαν, ὡς ζῶσιν ἐοικότας ἀνδριάντας κατασκευάζειν καὶ δεσμεῖν αὐτοὺς τοῖς ποσὶν ὥσπερ δεδοικότας μὴ τοῖν ποδοῖν χρησάμενοι φύγοιεν· ἐδόκουν γὰρ ὥσπερ κινεῖσθαι. τοιοῦτοι καὶ οὓς Δαίδαλος ἐποίει. μὴ εἴποις δὲ τὸ τε ἀργόν, ὥσπερ τινές, ἀλλ’ οὕτω· καὶ φέρον δὲ ἔργα. * ἀνδριάντας· — ** τοὺς ἀνδριάντας λέγει.

O 7 95g — ζῶσιν. — ** ἀρίστην γὰρ τῶν ἀνδριάντων δημιουργίαν ἐξεῦρον. —κινουμένοις· τὰ γὰρ ζῶντα κινοῦνται. ** καί.

O 7 96g —αἱ τῶν Ῥοδίων ἀγυιαί. φέρουσιν· ἀντιχρονικῶς.

O 7 97g — ** ἐστί. —τῶν ἔργων καὶ τοῦ πλούτου. μέγα.

O 7 98g —τῷ μαθόντι εὐφυεῖ. Germ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 7 99 Μείζων ἄδολο ς ] διότι οἱ πρὶν ἀγράπτως τὴν σοφίαν ἐδέχοντο κατὰ διαδοχὴν τούτων γενομένην πατέρων τοῖς παισίν. Th. Τὸ καὶ ἤ Ἀττικόν, ὥσπερ φαμὲν τὸ τί καὶ ποιήσ ω ; ἢ οὕτω· καὶ τῷ δαέντι δὲ καὶ τῷ μαθόντι εὐφυεῖ τελέθει καὶ ὑπάρχει σοφία μείζων τῆς ἐξ εὐφυΐας μόνης, ἄκρατος καὶ ἄδολος· τουτέστιν εἴ τις ὢν εὐφυὴς προσλάβῃ καὶ μάθησιν, οὗτός ἐστιν ὁ τῷ ὄντι σοφός. λέγει δὲ διὰ τοὺς Ῥοδίους ὡς ὄντας καὶ δραστηρίους τῷ νῷ καὶ παρὰ τῆς Ἀθηνᾶς διδαχθέντας. τῆς ἐξ εὐφυΐας μόνης.

O 7 99g —ἄκρατος. M.

O 7 89–99 Κείνοις μέν, ἤγουν χάριν μὲν ἐκείνων τουτέστι τῶν Ῥοδίων, ξανθὴν νεφέλην ἀγαγὼν ὁ Ζεὺς δηλονότι χρυσὸν ἔβρεξεν· αὐτὴ δὲ ἡ γλαυκῶπις, ἤγουν ἡ Ἀθηνᾶ ἡ ὀξὺ ὁρῶσα καὶ στιλπνόν, παρέσχεν αὐτοῖς (92) κρατεῖν, τουτέστι τὸ κράτος ἔχειν τῶν ἐπιχθονίων, ἤγουν τῶν ἀνθρώπων, κατὰ πᾶσαν τέχνην διὰ χειρῶν ἀριστοπόνων, ἤγουν ἄριστα ἔργα κατασκευαζουσῶν. ἔργα δὲ αἱ κέλευθοι, ἤγουν αἱ ὁδοὶ τῆς Ῥόδου δηλονότι ἔφερον, (97) τουτέστιν ἐπικείμενα αὐταῖς εἶχον ὅμοια ζῶσι καὶ ἕρπουσιν, ἀντὶ τοῦ βαδίζουσιν· ἦν δὲ κλέος βαθύ, ἀντὶ τοῦ πολύ, ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης, ἤγουν δασείας. τῷ δαέντι δέ, ἤγουν τῷ διδαχθέντι ὑπ' αὐτῶν τῶν Ῥοδίων, καὶ ἡ φρόνησις ἡ ἄδολος, ἤγουν ἡ φυσική, μείζων γίνεται, τουτέστιν εἰ καὶ φυσική ἐστιν αὐτῷ σοφία, ἥτις ἀεὶ κρατεῖ τῆς ἀπὸ μαθήσεως, ἐπίδοσιν καὶ αὐτὴ λαμβάνει διὰ τὴν ὑπερβολὴν τοῦ κάλλους καὶ τῆς ποικιλίας τῆς τέχνης. Th.

O 7 100 Φασὶν ὡς ἡνίκα Ζεὺς μετὰ τῶν θεῶν μερισμὸν ἐποιεῖτο τοῦ κόσμου, οἱ μὲν ἄλλοι τούτων κλήρους ἔλαβον, Ἥλιος δὲ μὴ παρατυχὼν ἐν τῷ μερισμῷ ἀκλήρωτος ἔμεινε. βουλομένου οὖν τοῦ Διὸς πάλον ἐκ δευτέρου ποιήσασθαι οὐκ εἴασεν Ἥλιος εἰπὼν τὴν ἐκ θαλάττης ἀναδοθεῖσαν νῆσον αὐτῷ δεδόσθαι. ἦν δὲ ἡ Ῥόδος. φασι.

O 7 100g — * δέον παλαιῶν εἰπεῖν πρὸς τὸ ἀνθρώπω ν , παλαιαὶ εἶπε πρὸς τὸ ῥήσιε ς . * λόγοι.

O 7 102g ἐμερίζοντο πρὸς ἀλλήλους. — * ἤτοι ἄλλοι θεοί. δήλην εἰς τὴν ἐπιφάνειαν.

O 7 104g * θαλασσίῳ. * αὐτὴν τὴν Ῥόδον.

O 7 106g διὰ τὸ ἀνύτειν τὸν ἴδιον δρόμον. —τῶν θεῶν. κλῆρον καὶ μερίδα.

O 7 108g αὐτὸν τὸν Ἥλιον. — ἀμέτοχον κλήρου. καθαρόν, φωτιστικόν.

O 7 100–109 M. Φασὶ δὲ λόγοι ἀνθρώπων ἐκ παλαιοῦ χρόνου ᾀδόμενοι οὔπω φανερὰν εἶναι τὴν Ῥόδον ἐν τῷ πελάγει τῷ θαλασσίῳ, ὅτε ὁ Ζεύς τε καὶ οἱ θεοὶ οἱ ἄλλοι διεμερίζοντο ἑαυτοῖς τὴν γῆν· κεκρυμμένην δὲ εἶναι τὴν νῆσον, τουτέστιν αὐτὴν τὴν Ῥόδον, ἐν τοῖς βένθεσι τοῖς ἁλμυροῖς (105), ἀντὶ τοῦ ἐν τοῖς βαθέσι μυχοῖς τῆς ἁλμυρᾶς θαλάττης· ἀπόντος δὲ τοῦ Ἡλίου ἐν τῷ ὑπὸ γῆν δηλονότι ἡμισφαιρίῳ οὐδεὶς ἔνδειξεν, ἀντὶ τοῦ ὑπέδειξε, τουτέστιν ὑπέμνησε, τὸν Δία δηλονότι, διὰ λάχος, ἤγουν κλῆρον αὐτοῦ, ἤτοι τοῦ Ἡλίου. καὶ δὴ (108) κατέλιπον αὐτὸν τὸν ἁγνὸν θεόν· ἁγνὸν δὲ λέγουσιν αὐτὸν διὰ τὸ ἁγνίζειν δύνασθαι ταῖς αὐτοῦ ἀκτῖσι· χώρας ἀκλήρωτον, ἤγουν ἄμοιρον. Th.

O 7 110 Ἡ τοιαύτη δοτικὴ τὸ μνησθέντι πρὸς τὸ θέμεν ἔχει τὴν δύναμιν. μνημονεύσαντι τῷ Ἡλίῳ κλήρου.

O 7 110g — * ἐκ δευτέρου κλῆρον. * θεῖναι.

O 7 111g — * αὐτὸν τὸν Δία. ** ἀφῆκεν.

O 7 112g —λευκῆς ἢ τῆς γηραιᾶς. ** ὁ Ἥλιος.

O 7 113g — ** βλέπειν. ἀναγομένην.

O 7 114g —ἤγουν ἐκ τοῦ τῆς θαλάσσης πυθμένος. εὐφραντικὴν τοῖς θρέμμασιν.

O 7 110–116

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μ. Μνησθέντι δὲ ἀντὶ τοῦ ἀναμνησθέντος, ἤγουν εἰς ἀνάμνησιν ἐλθόντος, τοῦ Ἡλίου δηλονότι, ὁ Ζεὺς ἄμπαλον, ἤγουν ἀναμερισμὸν ἔμελλε θεῖναι, ἀντὶ τοῦ τιθέναι, ἤγουν ποιεῖν, ἀλλ' οὐκ εἴασεν (112) αὐτόν, τὸν Δία δηλονότι, ὁ Ἥλιος· ἐπεὶ εἶπεν ὁρᾶν αὐτὸς ἔνδον τῆς θαλάσσης τῆς λευκῆς τινα γῆν πολύβοσκον ἀνθρώποις, ἀντὶ τοῦ ἀνθρώπων, τουτέστι πολυειδῶς τρέφειν ἀνθρώπους δυναμένην, καὶ ἡδεῖαν μήλοις, ἀντὶ τοῦ πᾶσι τοῖς ἀλόγοις ζώοις, αὐξομένην, ἀντὶ τοῦ ἀναδιδομένην, πεδόθεν, τουτέστιν ἀπὸ τοῦ πυθμένος. * ὁ Ἥλιος.

O 7 118g * χρυσῆν περικεφαλαίαν ἔχουσαν. —μία τῶν Μοιρῶν αὕτη. * ὅρκος θεῶν ἦν τὸ τῆς Στυγὸς ὕδωρ.

O 7 118-119 Th. Εἰκότως εἶπε τὸ Λάχεσι ς , ἐπειδὴ περὶ κλήρου ἦν ὁ λόγος. τὸ δὲ χεῖρας ἀνατεῖναι εἶπεν ἀντὶ τοῦ χειροτονῆσαι, ἐκ μεταφορᾶς τῶν δικαστηρίων. ἐκεῖ γὰρ ἡνίκα τις νόμον ἢ ψήφισμα περὶ τοῦ κοινοῦ ἐποιεῖτο, εἰ καλὸν καὶ συμφέρον ἔδοξε τοῖς πρυτάνεσιν εἶναι, τὰς χεῖρας ἀνέτεινον βεβαιοῦντες αὐτό. παραβῆναι.

O 7 119-120 Th. Ἐκ τοῦ εἰπεῖν θεῶν ὅρκον μὴ παρφάμεν δείκνυσιν, ὡς οὐ μόνον τὰς χεῖρας ἀνέτεινεν ἡ Λάχεσις, ἀλλὰ καὶ ὤμοσε τὸ τῆς Στυγὸς ὕδωρ. * τῷ Διΐ.

O 7 122g ** λαμπρόν· συνίζησις. — ἤτοι εἰς τὴν ἐπιφάνειαν. — * τὴν νῆσον. * τῇ αὐτοῦ.

O 7 124g εἰς τὸ μέλλον. — ** τιμήν. —ἐτελέσθησαν. Th.

O 7 125 Μὴ εἴπῃς τελεύτασαν δὲ καὶ ἐτελέσθησαν κορυφαὶ καὶ τέλη τῶν λόγων πετοῖσαι καὶ πεσοῦσαι ἐν ἀληθείᾳ, τουτέστιν οἱ τοῦ διὸς πρὸς Ἥλιον λόγοι οὐ παρεβάθησαν, ἀλλ' ἐπληρώθησαν. ἔστι δὲ τὸ ἐτελεύτησαν κορυφαὶ λόγων καὶ τὸ ἐν ἀληθείᾳ πετοῖσαι ταυτόν· οἱ γὰρ πληρούμενοι λόγοι ἀληθεύουσιν, οἱ δὲ μὴ πληρούμενοι οὐκ ἀληθεύουσιν. τῶν τοῦ Διὸς πρὸς Ἥλιον.

O 7 125g —τέλη. * πεσοῦσαι, ἤτοι ἀληθεύσασαι.

O 7 127g * ἀνεδόθη. —ἀδολεσχία τοῦτο. * Ῥόδος.

O 7 128g — * αὐτήν. ταχυτάτων.

O 7 129g — * ὁ γεννήτωρ· ἔστι δὲ ταυτὸν τῷ πατήρ. * ἡνίοχος.

O 7 130g —Λάμπου καὶ Φαέθωνος. Μ.

O 7 117-130 Ἐκέλευσε δὲ ὁ Ἥλιος, ἀντὶ τοῦ εἶπεν, ἐζήτησεν αὐτίκα τὴν Μοῖραν μὲν τὴν Λάχεσιν, ἤγουν τὴν τοὺς κλήρους διανέμουσαν, τὴν χρυσῆν περικεφαλαίαν φοροῦσαν, τὰς χεῖρας ἀνατεῖναι, ἀντὶ τοῦ τὴν ἑαυτῆς ψῆφον δοῦναι, ὅρκον δὲ τῶν θεῶν μέγαν γενέσθαι, μὴ παρφάμεν, ἤγουν μὴ ἄλλο τι βουλεύσασθαι αὐτούς, ἀλλὰ σὺν τῷ παιδὶ τοῦ Κρόνου τῷ Διῒ κατανεῦσαι, πεμφθεῖσαν αὐτὴν τὴν νῆσον, ἤγουν ἀναδοθεῖσαν εἰς τὸν αἰθέρα, ἀντὶ τοῦ τὸν ἀέρα (122), τὸν λαμπρόν, γέρας ἔσεσθαι ἐξοπίσω, τουτέστιν εἰς τὸ ἐπιόν, τῇ ἑαυτοῦ κεφαλῇ, ἀντὶ τοῦ αὐτῷ τῷ Ἡλίῳ δηλονότι. ἐτελεύτησαν δέ, ἤγουν ἐτελειώθησαν αἱ κορυφαί, τουτέστι τὰ τέλη, αἱ ἀποκαταστάσεις τῶν λόγων, ἐν ἀληθείᾳ πεσοῦσαι, ἀντὶ τοῦ ἀποβᾶσαι· λέγω ἐβλάστησε μέν, ἀντὶ τοῦ ἀνεδόθη ἐκ τῆς θαλάσσης τῆς ὑγρᾶς ἡ νῆσος (128), ἔχει τε αὐτὴν ὁ πατὴρ ὁ γεννήτωρ τῶν ἀκτίνων τῶν ὀξειῶν, τουτέστι τῶν καυστικῶν ἢ τῶν ταχειῶν, ἤτοι ὁ Ἥλιος ὁ ἀρχός, ἀντὶ τοῦ ὁ ἡνίοχος τῶν ἵππων τῶν πνεόντων πῦρ. ** ὅπου.

O 7 131g — * τῇ ἡρωΐδι. — ** ἑνωθεὶς γαμικῶς. Th.

O 7 132 Τὸ ἑπτὰ πρὸς τὸ παῖδας συναπτέον οὕτω· τέκεν ἑπτὰ παῖδας παραδεξαμένους ἢ ἀπὸ τοῦ Ἡλίου ἢ ἀπ' ἄλλων διδασκάλων σοφώτατα νοήματα, ἤγουν σοφωτάτους γενομένους ἐπὶ τῶν προτέρων ἀνδρῶν, ἤτοι ἐπὶ τῶν ὑπαρχόντων ἐν τοῖς χρόνοις ἐκείνοις ἀνθρώπων. τῶν δὲ παίδων τὰ ὀνόματά εἰσι ταῦτα· Κέρκαφος, Ὄχιμος, Ἀκτίς, Μακαρεύς, Τενάγης, Τριόπης, Φαέθων. ** ἔτεκεν.

O 7 132g — ** παῖδας. ἤγουν τῶν ἐν ἐκείνοις ὑπαρχόντων χρόνοις.

O 7 134g ἢ ἀπὸ τοῦ Ἡλίου ἢ ἀπό τινων ἄλλων διδασκάλων. τῶν παίδων.

O 7 135g — * ὁ Κέρκαφος. προγενέστερον Καμείρου καὶ Λίνδου.

O 7 136g — ἀντὶ τοῦ πρώτιστον. ἐκ Κυδίππης.

O 7 137g — * μακρὰν κωλύουσι. — ** μακρὰν κεχωρισμένως. εἰς τρία.

O 7 139g μερίσαντες. — ** πατρικήν. Th.

O 7 140 Μὴ εἴπῃς τὸ σφὶν ἀντὶ τοῦ σφῶ ν , ὥς τινές φασιν ἀπατώμενοι ἀπὸ τοῦ ἕδρα ι , ἀλλ’ ἔστιν ἡ τοιαύτη δοτικὴ πρὸς τὸ κέκληνται οὕτως· αἱ ἕδραι δὲ κέκληνται καὶ ἐκλήθησαν σφὶν καὶ αὐτοῖς, τῷ Λίνδῳ, τῷ Ἰαλύσῳ, τῷ Καμείρῳ, τουτέστι πρὸς τὰ τούτων ὀνόματα καὶ αὗται τὴν προσηγορίαν ἐσχήκασιν. ἀστέων] τοῦτο πρὸς τὸ ἔχοντ ι .

O 7 140g —ἐκλήθησαν αὐτοῖς αἱ καθέδραι, ἤτοι αἱ πόλεις. M.

O 7 131-140 Ἔνθα, ἤγουν ἐν τῇ Ῥόδῳ τῇ νήσῳ, μιγείς ποτε αὐτὸς ὁ Ἥλιος τῇ Ῥόδῳ τῇ ἡρωΐδι ἐγέννησεν ἑπτὰ παῖδας τοὺς παραδεξαμένους ἐπὶ τοῦ χρόνου τῶν προτέρων ἀνθρώπων σοφώτατα νοήματα, ἤγουν ἐπιτηδεύματα, μαθήματα, ἀφ’ ὧν εἷς μὲν (135) ὁ πρῶτος Κέρκαφος τὸν Κάμειρον ἐγέννησε καὶ πρεσβύτατον τὸν Ἰάλυσον, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ καὶ τὸν Ἰάλυσον πρώτιστα ἐγέννησε, καὶ τὸν Λίνδον. ἀπάτερθε δέ, ἤγουν χωρίς, ἰδίᾳ, εἶχον μερίδα ἀστέων, ἤτοι πόλεων, ἕκαστος εἰς τρεῖς μοίρας διαμερισάμενοι τὴν πατρῴαν γῆν· καλοῦνται δὲ αἱ ἕδραι, ἤγουν αἱ καθέδραι, τὰ φρούρια, ἔνθα ἕκαστος ἐνεθρόνιστο, αὐτοῖς, ἀντὶ τοῦ ἀπὸ τῶν ὀνομάτων αὐτῶν. * ὅπου.

O 7 141g — * παῦσιν. — * ἔσχεν. —τοῦ μιάσματος, ὃ διὰ τὸν φόνον ἔσχεν. τοῦτο εἶπεν ἐπειδὴ γλυκὺ τὸ ἁμαρτίας πεπαῦσθαι.

O 7 143g ἀντὶ τοῦ ἐγένετο. — ** τῶν Τίρυνθον οἰκούντων. βασιλεῖ.

O 7 145g ἵσταται. — * ἐκ θυσίας γινομένη πανήγυρις· — κνίσσης μετέχουσα ἑορτὴ γίνεται δηλονότι. * περί.

O 7 146g — ἐπὶ τοῖς ἀγῶσι γίνεται. Th.

O 7 147 Ὅτε οἱ Ἕλληνες εἰς Τροίαν ἐστράτευσαν, ἦν καὶ Τληπόλεμος οὗτος μετὰ Ῥοδίων. ἀποθανόντος οὖν ἐκεῖ ἤγαγον τὰ ὀστᾶ αὐτοῦ εἰς Ῥόδον ὡς οἰκιστοῦ ταύτης, καὶ ναὸν αὐτῷ ποιήσαντες πανήγυριν κατ’ ἐνιαυτὸν ἄγουσι τὰ λεγόμενα Τληπολέμια. ἔστι δὲ τὸ τῶν ἀγώνων ἆθλον λεύκινος στέφανος, ὃν δὶς ἔσχε Διαγόρας νικήσας. εἰς δὲ τὸ ἄνθεσι καὶ στεφάνῳ ἐστεφανώσατο ἔξωθεν νόει ἀπὸ τοῦ στεφάν ῳ . ἀγνοοῦντες δέ τινες οὕτω γράφουσιν· ὧν ἄνθεσι Διαγόρας ἐστεφανώσατο δίς. καὶ σὺ ἐν παλαιοῖς καὶ πολλοῖς βιβλίοις ἐξετάσας ὡς καὶ ἡμεῖς στεφάνῳ εὑρήσεις. * μὴ λάβῃς εἰς τὸ τῶν ἔξωθεν τὸ ἀπ ό , ἀλλὰ πρὸς τὸ ἄνθεσίν ἐστιν ἡ γενική· τῶν γὰρ ἀγώνων ἦσαν τὰ ἄνθη δι’ αὐτοὺς διδόμενα.

O 7 148g ἐνδόξῳ. —τῷ τῆς Πελοποννήσου. νικῶν.

O 7 150g ἐστεφανώσατο. —νίκην εὐτυχῶν. Th.

O 7 151 Τὸ κρανααῖς ἐν Ἀθήναις λέγει ἢ διὰ τὴν τῶν Παναθηναίων ἑορτὴν ἢ τῶν Ἐλευσινίων ἢ τῶν Ἡρακλείων. διὰ δὲ τὸ εἶναι τὴν Ἀττικὴν κατάξηρον καὶ λεπτόγυιον τὸ κρανααῖς εἶπεν. καταξήροις, λεπτογυίοις.

O 7 151g —ἐστεφανώσατο εὐτυχῶν. Th.

O 7 152 Ἐν τῷ Ἄργει πανήγυρίς ἐστι τῆς Ἥρας τὰ λεγόμενα Ἥραια ἢ Ἑκατόμβαια. θύονται γὰρ ἑκατὸν βόες τῇ θεῷ. τὸ δὲ ἔπαθλον τῶν ἀγώνων χαλκῆ ἀσπὶς καὶ στέφανος ἐκ μυρσίνης. τὸ δὲ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀρκαδίᾳ ἔργα ἀντὶ τοῦ τὰ ἐκεῖ διδόμενα χαλκᾶ σκεύη τοῖς νικῶσιν ἐν τῇ τοῦ Λυκαίου Διὸς πανηγύρει. * νικῶντα τὸν Διαγόραν.

O 7 153g * ἔγνω αὐτὸν νικῶντα ὁ ἐν ταύτῃ χαλκός. — τὰ δὲ ἔργα ἀπὸ κοινοῦ. Th.

O 7 154 Τελοῦνται ἐν Βοιωτίᾳ ἀγῶνες ἐν Θεσπιαῖσιν Ἐρώτια, ἐν δὲ Πλαταιαῖς τὰ Ἐλευθέρια πρὸς τὸν Δία διὰ τὸ ἐν ταύταις νικῆσαι τοὺς Μήδους, ἐν δὲ Λεβαδίᾳ τὰ Τροφώνια, ἐν δὲ Ὠρωπῷ τὰ Ἀμφιαρήϊα. * ἐν ταῖς Θήβαις τὰ Ἡράκλεια ἐτελεῖτο, ὧν ἆθλον ἦν χαλκὸς τρίπους.

O 7 155g νενομισμένοι ἔγνωσαν αὐτόν. —ἔγνω αὐτόν. Germ.

O 7 156 Ἐν τῇ Πελλήνῃ τε καὶ ἐν τῇ Αἰγίνῃ ἐγνώσθη νικῶν ἑξάκις. Th. Ἐν Πελλήνῃ τῆς Ἀχαΐας ἀγῶνές εἰσι Θεοξένια καὶ Ἕρμαια, ὧν τὸ ἆθλον χλαῖνα· ἐν δὲ Αἰγίνῃ τὰ Αἰάκεια, ὧν τὸ ἆθλόν ἐστι κρατήρ. Th.

O 7 157 Οἱ ἐν τοῖς Μεγάροις ἀγῶσι νικῶντες λιθίνης ἠξιοῦντο στήλης διὰ ψηφίσματος, ἐν αἷς τὸ αὐτῶν ὄνομα ἐνεκόλαπτον καὶ τὸ ὑπὲρ αὐτῶν ψήφισμα. ἢ τὸν αὐτοῦ.

O 7 159 Pal. Ψῆφος ὁ λίθος διὰ τὸ δέχεσθαι τὰ ψηφίσματα, ἤγουν ὀνόματα τῶν νικώντων. ἡ διὰ ψηφίσματος τοῖς νικῶσι γινομένη στήλη.

O 7 141-159 M. Τόθι, ἤγουν ὅπου, ἐν τῇ Ῥόδῳ δηλονότι, ἵσταται τῷ Τληπολέμῳ τῷ ποτε ἀρχηγέτῃ τῶν Τιρυνθίων, ἀντὶ τοῦ ἐγένετο, λύτρον, ἀντὶ τοῦ παῦλα, ἐλευθερία ἡδεῖα τῆς συμφορᾶς τῆς οἰκτρᾶς, ἤγουν τῆς πλάνης ἧς ἐπλανήθη· ἐβασίλευσε γὰρ ἐκεῖ· ὅπου ἵσταται αὐτῷ, ἤγουν γίνεται ὥσπερ θεῷ, καὶ πομπή (145), ἤτοι ἑορτή, τιμὴ κνίσσης μετέχουσα, ἣν πρόβατα σφαγιαζόμενα καὶ καιόμενα ποιεῖ· τουτέστιν ὅπου γίνεται αὐτῷ ὥσπερ θεῷ καὶ τιμὴ διὰ θυσιῶν, ὅπου γίνεται αὐτῷ ἀπὸ κοινοῦ, καὶ κρίσις ἐπ' ἀγῶσιν. ἐτελεῖτο γὰρ αὐτῷ ἀγὼν τὰ Τληπολέμεια, ὁ δὲ νικήσας αὐτὰ λεύκην ἐλάμβανε στέφανον. τῶν ἄνθεσιν, ὧντινων, ἤγουν τῶν Τληπολεμείων, τοῖς στεφάνοις ὁ Διαγόρας ἐστεφανώσατο δίς, καὶ ἐν τῇ ἐνδόξῳ Ἰσθμῷ ἐστεφανώσατο τετράκις εὐτυχῶν, ἤγουν ἐπιτυγχάνων, νικῶν, καὶ ἐν τῇ Νεμέᾳ (150) ἄλλην ἐπ' ἄλλῃ στεφανηφορίαν δηλονότι, τουτέστι διττὰς στεφανηφορίας ἐστεφανώσατο· καὶ ἐν ταῖς Ἀθήναις ταῖς κραναaῖς, ἀντὶ τοῦ καὶ ἐν τῇ Ἀττικῇ τῇ πετρώδει καὶ καταξήρῳ, ἔνθα ἐτελεῖτο τὰ Παναθήναια, τὰ Ἡράκλεια, τὰ Ἐλευσίνια, τὰ Πανελλήνια, ἐστεφανώσατο, ἕνα τινὰ τούτων τῶν ἀγώνων δηλονότι ἢ καὶ πάντας νενικηκώς. καὶ ὁ χαλκός (152), τουτέστιν ἡ ἀσπὶς ἡ χαλκῆ ἡ διδομένη ἐν Ἄργει· ἔνθα ἐτελεῖτο τὰ Ἥραια τὰ καὶ Ἑκατόμβαια λεγόμενα· ἔγνω αὐτόν, ἀντὶ τοῦ ἐδεξιώσατο αὐτὸν νενικηκότα. καὶ τὰ ἔργα τὰ ἐν Ἀρκαδίᾳ ἔγνω αὐτόν· ἐτελεῖτο γὰρ ἐν Ἀρκαδίᾳ ἀγὼν τὰ Λύκαια τῷ Λυκαίῳ Διῒ ἀνακείμενος· οἱ δὲ νικῶντες σκεύεσι χαλκοῖς ἐτιμῶντο. καὶ τὰ ἔργα τὰ ἐν Θήβαις ἔγνω αὐτόν· τὰ Ἡράκλεια τὰ καὶ Ἰολάεια ἐτελεῖτο ἐν ταῖς Θήβαις, ἐδίδοτο δὲ τῷ νικήσαντι τρίπους χαλκοῦς· καὶ οἱ ἀγῶνες οἱ Βοιώτιοι (155), ἤγουν οἱ ἐν τῇ Βοιωτίᾳ, οἱ ἔννομοι, τουτέστιν οἱ συνήθως κατὰ νόμους τελούμενοι ἔγνωσαν αὐτόν· ἐτελοῦντο δὲ ἐν τῇ Βοιωτίᾳ διάφοροι ἀγῶνες, ἐν μὲν Θεσπιαῖς τὰ Ἐρώτια, ἐν δὲ Πλαταιαῖς τὰ Ἐλευθέρια, ἐν δὲ Λεβαδείᾳ τὰ Τροφώνεια, ἐν δὲ Ὠρωπῷ τὰ Ἀμφιαράϊα. καὶ ἡ Αἴγιν α , ἔνθα ἐτελεῖτο ἀγὼν τὰ Αἰάκια, ἔγνω αὐτόν, καὶ ἡ Πελλήνη, ἔνθα ἐτελεῖτο τὰ Θεοξένια καὶ τὰ Ἕρμαια· τὸ δὲ ἆθλον ἦν χλαῖνα· ἔγνω αὐτὸν νικῶντα ἑξάκις. καὶ ἐν τοῖς Μεγάροις (157) οὐχ ἕτερον ὄνομα ἐπιγεγραμμένον φέρει ἡ ψῆφος ἡ λιθίνη, τουτέστιν ἡ στήλη, ἀλλ' ἢ τὸ τοῦ Διαγόρου. ἀπὸ τοῦ πλεονάζοντος δὲ τοῦτό φησι· ψῆφον δὲ λέγει τὴν στήλην διὰ τὸ περιέχειν τὰ τῶν κριτῶν ψηφίσματα. ὄρος Σικελίας, ἐν ᾧ χαλκαῖ βόες εἰσὶ μηκώμεναι, ὅταν τι γενήσεται ἄτοπον.

O 7 161 Germ. Τίμα μὲν κατὰ τὸν τεθμὸν τοῦ ὕμνου τὸν Ὀλυμπιονίκην ἄνδρα, τὸν εὑρόντα τὴν ἀρετὴν κατὰ τὸ πύξ. Th.

O 7 162

Ἢ ἀποδέχου τὸν κατὰ νόμους τοῖς ἀγωνισταῖς διδόμενον ὕμνον, ἢ νικῶντας δείκνυε, ἵνα καὶ ὕμνοι σπουδάζωνται. * νόμον.

O 7 163g τίμα. — ** τὸν Διαγόραν. —διὰ πυγμῆς. —νίκην καὶ θαῦμα· λέγω δὴ τὸν Διαγόραν. τῷ Διαγόρᾳ.

O 7 164g —ἤγουν αἰδέσιμον εἶναι διὰ τὰς νίκας. παρὰ πολιτῶν.

O 7 165g —παρά. * τῆς ἀδικίας.

O 7 167g δικαιοσύνην. —κάλλιστα πορεύεται. * μαθών.

O 7 168g —ἅτινα. —αὐτῷ. αἱ ὀρθῶς τὰ πράγματα κρίνουσαι.

O 7 169g — * τὸ φρένες ἢ αὐτοῦ νόει ἢ πρὸς τὸ πατέρω ν , ἵν’ ᾖ τὸ ἐξ ἀγαθῶν πρὸς τὸ πράγματ α . ὑπετίθεσαν· ἤγουν τοὺς αὐτοῦ πατέρας μιμούμενος τοιοῦτός ἐστιν.

O 7 170g — * ἤγουν μὴ ἀφάνιζε τὴν γένεσιν τοῦ Διαγόρου, τὴν ἔχουσαν κοινωνίαν ἀπὸ Καλλιάνακτος ἤτοι καταγομένην. Th.

O 7 171 Ἤγουν σὺν ταῖς εὐτυχίαις τοῦ Διαγόρου καὶ τῶν αὐτοῦ προγόνων καὶ ἡ πόλις ἡ Ῥόδος ἔχει θαλίας καὶ πανηγύρεις καὶ εὐφροσύνας ἑτέρας. Ἐραστείδης πρόγονος αὐτοῦ.

O 7 172g — * εὐτυχίᾳ. Pal.

O 7 173 Αὖρα ι ] πνοαί· ἤγουν ἐν βραχεῖ χρόνῳ ἄλλοτε ἄλλως διατίθεται τὰ πράγματα. τοῦτο δὲ λέγει ὡς πρὸ ὀλίγου λυπηροῦ τινος αὐτῷ συμβάντος. εὐφροσύνας ἑτέρας.

O 7 173g —ἡ Ῥόδος. ἤγουν ἐν μιᾷ καιροῦ ῥοπῇ ὁ μὲν λυπεῖται, ὁ δὲ εὐφραίνεται.

O 7 175g τοῦτο λέγει διά τινα συμβᾶσαν λύπην Διαγόρᾳ. — * ὁρμῶσι. — ** πνοαί. M.

O 7 159-175 Ἀλλά, ὦ Ζεῦ πάτερ ὁ βασιλεύων τῶν νώτων ἀντὶ τοῦ τῆς κορυφῆς τοῦ Ἀταβυρίου ὄρους· τοῦτο δὲ λέγει διὰ τὸ ἱδρῦσθαι αὐτὸν ἐπὶ τῇ κορυφῇ τοῦ Ἀταβυρίου· τίμα μὲν τὸν νόμον τοῦ ὕμνου, ἤγουν τὴν συνήθειαν, τίμα καὶ τὸν ἄνδρα τὸν Ὀλυμπιονίκην, τὸν εὑρόντα ἀρετήν, ἀντὶ τοῦ εὐφημίαν ἕνεκα ἀρετῆς, πύξ, τουτέστι διὰ τῆς πυκτικῆς, δίδου τε (164) αὐτῷ αἰδοίαν χάριν, ἀντὶ τοῦ τιμὴν αἰδεσίμου χάριτος, καὶ παρὰ τῶν ἀστῶν, ἤγουν τῶν πολιτῶν, καὶ παρὰ τῶν ξένων, τουτέστι τῶν ἀπ’ ἀλλοτρίου τόπου, ἐπεὶ ὁδὸν εὐθυπορεῖ, ἤγουν κατ’ εὐθεῖαν πορεύεται οὐκ ἐκτρεπόμενος, ἐχθράν, τουτέστι ξένην, ἀλλοτρίαν ὕβρεως, ἤτοι ἀδικίας, σάφα δαείς· πρὸς τὸν Δία καὶ τοῦτο· σαφῶς μαθών, ἅτινα αἱ τῶν ἀγαθῶν αὐτοῦ πατέρων ὀρθαί, ἤγουν ἀληθεῖς, δίκαιαι φρένες, ἐξέχραον, ἀντὶ τοῦ ἔχραον, ἤγουν ἔχρων, τουτέστιν ἐχρησμῴδουν, παρῄνουν αὐτῷ, ἀφ’ ὧν πατέρων τοιοῦτος παῖς, αὐτὸς δηλονότι ἐβλάστησε, μὴ κρύπτε (170), ἀντὶ τοῦ μὴ ἔα κρυβῆναι ἐν ἀδοξίᾳ, τὸ σπέρμα, ἤγουν τὸ γένος τὸ κοινόν, τουτέστι τὸ φανερὸν καὶ ἔνδοξον πᾶσι καὶ ὠφέλιμον, τὸ ἀπὸ τοῦ Καλλιάνακτος τοῦ προγόνου τοῦ Διαγόρου. καὶ σὺν ταῖς χάρισιν, ἀντὶ τοῦ διὰ τῶν χαρίτων, τουτέστι τῶν ἀνδραγαθημάτων τῶν Ἐρατιδῶν, ἤγουν τῆς ἐν Ῥόδῳ φυλῆς τῆς ἀπὸ τοῦ Ἐρατίδου τοῦ προγόνου τοῦ Διαγόρου, ἔχει ἡ πόλις θαλίας, ἤγουν εὐωχίας, εὐφροσύνας. ἐν δὲ μοίρᾳ χρόνου μιᾷ, τουτέστιν ἐν ὥρᾳ μιᾷ, ἐν καιρῷ ἑνὶ χρόνου, αὖραι, ἀντὶ τοῦ μεταβολαί, διαιθύσσουσιν, ἤγουν ὁρμῶσιν, ἄλλοτε ἄλλαι, καὶ εἴ τι συμβέβηκε δηλονότι καὶ τούτοις λυπηρόν, ταχέως ἐπὶ τὸ κρεῖττον τραπήσεται. Ἐπίνικοι Ὀλυμπιονίκαις.

O 8 t Ἀλκιμέδοντι Αἰγινήτῃ παιδὶ παλαιστῇ. Ὠιδὴ η′. [Δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ η′ εἴδους. ἔστι δὲ στροφῶν δ′. Παλαιόν. Τοῦ η′ εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη θ′.

O 8 prae gl Τὸ α′ τροχαϊκὸν δίμετρον καταληκτικόν, τοῦ γ′ ποδὸς δακτύλου, ἢ χοριαμβικόν. οἱ δὲ λέγοντες τοῦτο τὸ μέτρον ἐπίτριτον οὐ καλῶς λέγουσιν· οὐ γάρ εἰσι δ′ τροχαῖοι, ἵν’ ᾖ ἐπίτριτον. Τὸ β′ Ἰωνικὸν ἀπ’ ἐλάσσονος δίμετρον καταληκτικόν. Τὸ γ′ ἰαμβέλεγος πλεοναζούσης συλλαβῆς· ἐξ ἰαμβικοῦ γὰρ καὶ δακτυλικοῦ πενθημιμερῶν σύγκειται, ἔχε· δὲ καὶ περισσὴν συλλαβήν. Τὸ δ′

ἐπιχοριαμβικὸν ἑνδεκασύλλαβον, ὃ καλεῖται Σαπφικόν, διὰ τὸ ἔχειν τὸν α′ πόδα τροχαϊκὸν ἑπτάσημον ἤτοι ἐπίτριτον. οὐ γάρ ἐστι Πινδαρικόν, ὡς λέγουσι. Τὸ ε′ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς. τοῦτο δὲ καὶ ἀναπαιστικόν ἐστιν ἑφθημιμερὲς σπονδείου ἀρχομένου, ὡς ἐμοὶ δοκεῖ. Τὸ ϛ′ προσοδιακὸν ἑτέρως τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ’ ἐλάσσονος. Τὸ ζ′ δακτυλικὸν πενθημιμερές. Τὸ η′ Ἰωνικὸν ἀπ’ ἐλάσσονος δίμετρον καταληκτικόν. Τὸ θ′ τροχαικὸν δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθιον. Ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. Περὶ τῶν κώλων τῶν ἐπῳδῶν. Αἱ ἐπῳδοὶ κώλων ια′. Τὸ α′ προσοδιακὸν τρίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου καὶ διτροχαίου ἢ ἐπιτρίτου. Τὸ β′ δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ γ′ χοριαμβικὸν δίμετρον καταληκτικόν. Τὸ δ′ ἐγκωμιολογικὸν μιᾶς λειπούσης συλλαβῆς. τὸ γὰρ ἐγκωμιολογικὸν ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν σύγκειται. Τὸ ε′ ὅμοιον τῷ β′, δακτυλικὸν ἢ προσοδιακὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ’ ἐλάσσονος. Τὸ ϛ′ ὅμοιον τούτῳ. Τὸ ζ′ ὅμοιον τούτοις. Τὸ η′ δακτυλικὸν πενθημιμερές, εἰ δὲ βούλει προσοδιακὸν δίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ καταληκτικοῦ. Τὸ θ′ προσοδιακὸν τρίμετρον ἀκατάληκτον· ὁ α′ δὲ ποὺς τοῦ α′ κώλου ἀντὶ Ἰωνικοῦ παίωνα β′ ἔχει. Τὸ ι′ Ἰωνικὸν ἀπ’ ἐλάσσονος τρίμετρον βραχυκατάληκτον ἐκ τροχαϊκῆς συζυγίας καὶ παίωνος γ′ κατὰ τὸ σύνηθες τῶν Ἰωνικῶν. Τὸ ια′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα. Th. Γέγραπται ὁ ἐπινίκιος Ἀλκιμέδοντι παιδὶ παλαιστῇ, Τιμοσθένει ἀδελφῷ αὐτοῦ παλαιστῇ Νέμεα, καὶ Μελησίᾳ ἀλείπτῃ Ἀλκιμέδοντος. συμπαρέλαβε δὲ καὶ τοὺς τρεῖς, τὸν μὲν Ἀλκιμέδοντα ὡς Ὀλυμπιονίκην ἐν πάλῃ, τὸν δὲ Τιμοσθένην ὡς ἀδελφὸν αὐτοῦ Νεμέοις νικήσαντα πάλῃ, Μελησίαν δὲ ὡς ἀλείπτην Ἀλκιμέδοντος ἢ καὶ τοῦ ἀδελφοῦ. ἦσαν δὲ οὗτοι ἐξ Αἰγίνης νήσου. πρώτη.

O 8 1g —τῶν καλοὺς προξενούντων στεφάνους. τῶν ἄλλων τριῶν ἀγώνων.

O 8 3 Th. Δέσποιναν εἶπεν ἀληθείας τὴν Ὀλυμπίαν, ὅτι ἐκεῖ μαντεῖον ἦν Ἰαμιδῶν, ἐν ᾧ μαντευόμενοι τἀληθῆ ἐγίνωσκον, ὡς καὶ αὐτὸς ἤδη λέξει. οἱονεὶ ταμεῖον.

O 8 3g —ὅπου. — * οἱ Ἰαμίδαι. τοῖς ἐν πυρὶ θύμασι.

O 8 4g — * σκοποῦντες. —ἀπόπειραν λαμβάνουσιν. λαμπρὸν κέραυνον ἔχοντος ἢ ταχὺν κατὰ ἀντίφρασιν.

O 8 6 Germ. Εἴ τι ν ’ ἔχει λόγο ν ] ὀντὶ τοῦ φροντίδα, εἴτε συμφέροντα εἴτε ἀσύμφορον, περὶ τῶν μαιομένων καὶ ζητούντων ἐν θυμῷ μεγάλην ἀρετήν· καὶ γὰρ κινουμένου τοῦ θυμικοῦ ἐν τῇ καρδίᾳ, ὅθεν καὶ εὐκάρδιος, παρακινεῖταί τις πρὸς γενναιότητα, ὅθεν καὶ τὸν Ἀχιλλέα διὰ τὸ πάνυ εἶναι θυμικὸν εἶναι καὶ ἀνδρειότατον· ἥτις ἀρετὴ ὑπάρχει ἀναπνοὴ καὶ ἀνάπαυσις τῶνδε τῶν μόχθων καὶ τῶν κόπων· καὶ γὰρ ὁπότε συμφέρον ἀποφθέγξηται αὐτῷ εἶναι, τόδε τι πάντως χάριεν· ὁπότε δὲ οὐ συμφέρον ἀλλὰ μᾶλλον καὶ παραβλάπτον, καὶ οὕτω χάριεν· ἐκωλύθησαν γὰρ τῆς βλάβης. * ὁ Ζεύς.

O 8 6g — * φροντίδα. προθυμουμένων.

O 8 7g — ἤτοι μέγα κλέος ἐκ τῆς νίκης. τὸ θυμῷ ἢ πρὸς τὸ λαβεῖν συναπτέον ἢ πρὸς τὸ μαιομένω ν .

O 8 9g οὓς ὑφίστανται ἐν τοῖς ἀγῶσιν. —ἀναπνοὴν καὶ παραμυθίαν. Tr.

O 8 10 Οὐ χρὴ ἄνεται γράφειν οὐδ’ εὐσεβεία ς , ἀλλὰ πληρέονται καὶ εὐσεβέων καὶ λιτα ί . οὕτω γὰρ ἔχει πρός τε τὴν σύνταξιν καὶ τὸ μέτρον ὀρθῶς. οὐ μόνον δὲ ταῦτα, ἀλλὰ καὶ πολλὰ ἕτερα ἐκαινοτομήθη τῷ σοφωτάτῳ Μοσχοπούλῳ κἀμοί, ὡς ἐξετάζων εὑρήσεις, ἀνοικείως ἔχοντα πρὸς τὸ μέτρον. * ἀναδίδοται ἡ μαντεία ἢ ἡ ἀρετή.

O 8 10g —ἀντάμειψιν. Th.

O 8 11

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εἰ μὲν συνάψεις τὸ ἀνδρῶν πρὸς τὸ λιταῖ ς , οὕτως ἐρεῖς· ἐν δὲ ταῖς λιταῖς τῶν ἀνδρῶν ἤτοι τῶν Ἰαμιδῶν ἀνύεται καὶ δίδοται ἡ μαντεία πρὸς χάριν εὐσεβείας, ἤγουν εἰς ἀνταμοιβὴν τῆς τῶν ἀγωνιζομένων πίστεως πρὸς τὸ θεῖον. εἰ δὲ τὸ ἀνδρῶν πρὸς τὸ εὐσεβείας συνάψεις, οὕτως· ἐν δὲ ταῖς λιταῖς, ἃς Ἰαμίδαι ὑπὲρ τῶν ἀθλούντων ποιοῦσιν, ἄνεται καὶ ἀναδίδοται παρὰ τοῦ πυρὸς ἡ μαντεία πρὸς χάριν καὶ ἀνταμοιβὴν τῆς τῶν ἀθλούντων ἀνδρῶν εὐσεβείας. τουτέστιν εἰ μὲν εὐσεβεῖς καὶ δίκαιοί εἰσιν οἱ ἀγωνιζόμενοι, ἐξάπτεται τὸ ἐν τοῖς μηροῖς πῦρ καὶ νίκην αὐτοῖς παριστᾷ· εἰ δὲ ἀσεβεῖς καὶ ἄδικοι, οὐκ ἐξάπτεται. M. [10]

O 8 1-11 Μᾶτερ ὦ χρυσοστεφάνω ν ] ὦ Ὀλυμπία μῆτερ, τουτέστιν αἰτία τῶν βραβείων τῶν χρυσοστεφάνων, ἀντὶ τοῦ καλλιστεφάνων, ἤγουν τῶν κάλλιστον ἐχόντων κόσμον, τουτέστιν ὦ Ὀλυμπία, ἐν ᾗ δίδονται οἱ κάλλιστοι στέφανοι τῶν βραβείων, δέσποιν’ ἀληθείας, ἤγουν ἀληθείας προϊσταμένη· εἶτα θέλων δηλῶσαι, ὅπως προΐσταται τῆς ἀληθείας, ἐπάγει· ὅπου ἄνδρες μάντεις, οἱ Ἰαμίδαι δηλονότι, ἐν ἐντόμοις θύμασι σκοποῦντες παραπειρῶνται, ἀντὶ τοῦ ἀποπειρῶνται, ἤγουν εἰς γνῶσιν ζητοῦσιν ἐλθεῖν τοῦ Διὸς τοῦ ἀργικεραύνου, τουτέστι τοῦ αἰτίου τῶν ταχέων κεραυνῶν· λέγω εἴ τινα (6) φροντίδα ἔχει αὐτὸς δηλονότι ὁ Ζεὺς περὶ τῶν ἀνθρώπων τῶν ζητούντων κατὰ ψυχὴν μεγάλην ἀρετὴν λαβεῖν, ἀντὶ τοῦ τιμὴν μεγάλης νίκης· τῶν δὲ μόχθων, ἤγουν τῶν καμάτων ἀνάπνευσιν, ἄνεσιν. πληροῦνται δὲ αἱ λιταί, ἤγουν αἱ δεήσεις τῶν εὐσεβῶν ἀνδρῶν τῶν Ἰαμιδῶν δηλονότι, πρὸς χάριν τουτέστι χαριέντως, θαυμασίως. * τῶν ἀγωνιζομένων ἤτοι τῶν Ἰαμιδῶν. [15]

O 8 11g — * παρακλήσεσιν, ἃς ἐποιοῦντο ἐν τῇ θυσίᾳ πρὸς τὸν Δία. ἤγουν ὦ ἐν Ὀλυμπίᾳ Ζεῦ.

O 8 13g τὸν νῦν ὕμνον. —τὴν δίκην στεφάνου διδομένην αὐτοῖς εὐφημίαν. ἤγουν εὐμενῶς.

O 8 14g —ἔστιν ἐκείνῳ. ** ἄν.

O 8 15g —στέφανος ἐκ τῆς αὐτόθι νίκης. —ἐπέλθῃ. Pal.

O 8 16 Τοῦτο λέγει, ὅτι ὁ μὲν Ἀλκιμέδων Ὀλύμπια ἐνίκησεν, ὁ δὲ Τιμοσθένης Νέμεα. ἤγουν ὁ μὲν ἐν πάλῃ, ὁ δὲ ἐν πυγμῇ, ὁ δὲ ἐν δρόμοις νικᾷ.

O 8 17g * ἤγουν πολυσχιδής ἐστιν ἡ εὐτυχία καὶ ὁ μὲν τὴν ὁ δὲ τὴν μετὰ τῆς τῶν θεῶν βοηθείας κτᾶται. — ** γάρ. ** εὐτυχίας.

O 8 12-18 M. Ἀλ λ ’ ὦ Πίσας εὔδενδρο ν ] πρὸς τὴν Ὀλυμπίαν ἀποτείνων ἤρξατο, εἶτα πολλὰ διὰ μέσου θεὶς καὶ μὴ ἐπαγαγὼν τὴν ἀπόδοσιν ἐπαναλαμβάνει τὸν πρὸς αὐτὴν λόγον, καὶ οὕτως ἐπάγει προσεχῆ καὶ ῥᾳδίαν τὴν ἀπόδοσιν καί φησιν· ἀλλ’ ὦ ἄλσος εὔδενδρον τῆς Πίσης τῆς ἐπὶ τῷ Ἀλφειῷ, ἤγουν ἀλλ’ ὦ Ὀλυμπία, δέξαι τοῦτον τὸν κῶμον, τουτέστι τὸν μετὰ χορείας ὕμνον, καὶ ταύτην τὴν στεφανηφορίαν, ἤγουν τὴν ἐν στεφάνοις ἀνακήρυξιν· μεγάλη δόξα (14) ἀεί ἐστι, δηλονότι ἐκείνῳ τῷ ἀνθρώπῳ, ᾧ τινι ἂν ἕσπηται, ἤγουν ἀκολουθήσῃ τὸ σὸν γέρας, ἤτοι ἡ σὴ τιμὴ ἡ λαμπρά. ἄλλα δὲ (16) τῶν ἀγαθῶν, τουτέστιν ἄλλα δὲ ἀγαθὰ ἐπ’ ἄλλους ἔβησαν ἀντὶ τοῦ ἔρχονται. πολλαὶ δὲ ὁδοί εἰσιν, ὧν ἑκάστη εἰς διάφορον εὐπραγίαν ἄγει βοηθούντων τῶν θεῶν, ἤγουν πολλαὶ δὲ καὶ διάφοροι εὐπραγίαι εἰσίν, ὧν ἄλλον ἄλλης ἐστὶ τυχεῖν βοηθούντων τῶν θεῶν. Th. [15]

O 8 19 Ἐπειδὴ ὁ Ἀλκιμέδων καὶ ὁ Τιμοσθένης νεώτεροι ὄντες ἐνίκησαν, διὰ τοῦτό φησιν, ὅτι ἡ προσοῦσα ὑμῖν μοῖρα προσῳκείωσεν ὑμᾶς τῷ αἰτίῳ τῆς γεννήσεως Διΐ, τουτέστιν ἐξ ἁπαλῶν ὀνύχων εὐτυχεῖτε. ** ὦ.

O 8 19g —σὲ καὶ τὸν ἀδελφόν. —ὥσπερ ἀπὸ κλήρου ᾠκείωσεν. —ἡ εὐτυχία. Germ.

O 8 20 Ζηνὶ γενεθλί ῳ ] ὅτι ἀνάκειται τῷ Ζηνὶ ἡ τῶν παίδων ἥβη. τῷ τῆς γεννήσεως αἰτίῳ.

O 8 20g — * Ζεύς. φανερώτατον ἐν τῇ πάλῃ· —πρόφατον] ** διὰ τὸ μέτρον.

O 8 22g ** τὸν σὸν ἀδελφόν. — ** ἤτοι ἐν τῇ Ὀλυμπίᾳ. ἐν πάλῃ.

O 8 24g ἐστί. — * τινὰ αὐτόν. —εὐπρεπής, ὡραῖος. — ἐν τῇ πράξει. ἤγουν οὐ καταισχύνων τὸ κάλλος διὰ τῶν πράξεων, ἀλλ' ἐν ἀμφοτέροις θαυμαστός.

O 8 26g ἀνεκήρυξεν. —ἐν τῇ Ὀλυμπίᾳ. ἐν.

O 8 27g —τὴν δολιχὸν ἤγουν πολὺ ναυτικὸν ἔχουσαν. — * πατρίδα ὑμῶν. M.

O 8 19-27 Ὦ Τιμόσθενες, ὑμᾶς δὲ ἐκλήρωσεν, ἤγουν ἔταξεν ἡ τύχη ἐν τῷ Ζηνὶ τῷ γενεθλίῳ, τουτέστιν ἐν τῇ νεότητι, ἐφ' ᾗ τιμᾶται γενέθλιος Ζεύς, ὡς ἔφορος δηλονότι τῆς γεννήσεως. ὃν μέν, ἤγουν ἔστι μὲν ὄν, τουτέστι σὲ ἐν τῇ Νεμέᾳ πρόφαντον (21), τουτέστιν ἔξοχον, λαμπρόν· τὸν Ἀλκιμέδοντα δὲ τὸν σὸν ἀδελφὸν ἐποίησεν ἡ τύχη Ὀλυμπιονίκην παρὰ τῷ λόφῳ τοῦ Κρόνου. ἦν δὲ ὁ Ἀλκιμέδων καλός, ἤγουν εὐειδὴς εἰς τὸ ὁρᾶν αὐτόν τινα (24), καὶ τῷ ἔργῳ, τουτέστι καὶ διὰ τῆς πράξεως οὐ κατελέγχων, ἤγουν οὐ καταισχύνων τὸ εἶδος ἤτοι τὴν μορφήν, ἐξένεπεν (26), ἤγουν ἀνεκήρυξεν, ἀντὶ τοῦ ἀνακηρυχθῆναι ἐποίησε νικῶν ἐν πάλῃ τὴν πατρίδα αὐτοῦ τὴν Αἴγιναν τὴν δολιχήρετμον, ἤγουν τὴν μακροῖς ἐρετμοῖς, ἤτοι μακραῖς κώπαις χρωμένην, τουτέστι τὴν ναυτικήν. Germ.

O 8 28 Οὕτως ἀποῤῥητέον. διὰ τί εἶπε ξενίου καὶ οὐκ εἶπε φιλίο υ ; καὶ τῶν ἑτέρων τι παραδηλῶν σοφώτερον, ὅτι καὶ ξένιοι ἦσαν οἱ Αἰγινῆται καθὸ δικαιότατοι· παρακολούθημα δὲ τοῦ δικαίου, οὐχὶ τοῦ ἀδίκου, τὸ ξενοδοχεῖν. * εἰς τὴν Αἴγιναν· — ** ἐν τῇ Αἰγίνῃ.

O 8 28g —σωστική. —τοῦ ἐφόρου τῆς τῶν ξένων ὑποδοχῆς. σύνεδρος.

O 8 29g — ἐνεργεῖται· — ἐπιμελεῖται, ἀξιοῦται. — * δικαιοσύνη. ἐπέκεινα τῶν ἄλλων.

O 8 30g — * ὅπερ πρᾶγμα. ἐστί.

O 8 31g —καὶ νεύει ὡς ἡ Αἰγινητῶν φιλοξενία. Germ.

O 8 32 Ὅτι γὰρ πολὺ καὶ πολλᾷ ῥέπο ι ] ὅ τι γὰρ πολύ, τὸ φιλοξενεῖν, καὶ πολλὰ καὶ πολλαχῶς εἰς τοὺς φιλοξενουμένους ῥέποι, ὥστε μὴ διακρίνειν ἐν ὀρθῇ φρενὶ παρὰ καιρόν, δυσπαλὲς καὶ δύσκολον ὑπάρχει. Germ. Τὸ φρενὶ μὴ παρὰ καιρὸν τοῦτό ἐστιν· ὅπερ δὴ τοῖς ἄλλοις ἀδύνατον, τοῦτο τοῖς Αἰγινήταις εὐχερέστατον. δικαίᾳ, —τοῦτο.

O 8 32g —γνώσει. —ἀλλ' ἐγκαίρως. δύσκολον.

O 8 30-33 Pal. Ὅπου γὰρ ὑπάρχει πλῆθος πολὺ λαοῦ παντοδαποῦ νεῦον εἰς πολλά, εἰς ἀδικίας λέγω, πλεονεξίας, καὶ τὰ τοιαῦτα, τὸ εὑρεθῆναί τινα ἐξ ἐκείνου τοῦ λαοῦ ὥστε διακρίνειν τὸ καλὸν καὶ τὸ ἀγαθὸν ἐν δικαίᾳ φρενὶ μὴ παρὰ τὸ πρέπον, δύσκολον ὑπάρχει. τοῦτο δὲ λέγει διὰ τοὺς παρόντας νικητὰς ὡς καλῶς καὶ δικαίως ζῶντας ἐν τῇ Αἰγίνῃ πολυανθρώπῳ οὔσῃ. Th.

O 8 28-33 Ἐπειδὴ ἡ Αἴγινα νῆσός ἐστι καὶ τοὺς παραπλέοντας ὑποδέχεται καὶ φιλοξενεῖ, διὰ τοῦτο εἶπεν ἀσκεῖσθαι ἐν αὐτῇ τὴν πάρεδρον τοῦ ξενίου Διὸς Θέμιν, ἐπαινῶν τοὺς Αἰγινήτας ὡς οὐ μόνον φιλοξένους ὑπὲρ πάντας ἀνθρώπους, ἀλλὰ καὶ μετὰ δικαιοσύνης τοῦτο ποιοῦντας· πρὸς ὅ ἐστιν ἡ κατασκευή· ὅ τι δὴ πρᾶγμα πολύ ἐστι καὶ ῥέπει καὶ νεύει πολλὰ καὶ κατὰ πολύ, ὁποία ἐστὶν ἡ τῶν Αἰγινητῶν φιλοξενία πρὸς ἅπαντας, δυσπαλὲς καὶ δύσκολον ὑπάρχει διακρίνειν τοῦτο τὸ πρᾶγμα ἐν ὀρθῇ καὶ δικαίᾳ φρονήσει μὴ παρὰ καιρόν, ἀλλ' ἐγκαίρως. τουτέστιν ἔχει μέν τις φιλοξενίαν, ἀλλ' οὐ δύναται διακρίνειν πρὸς τίνας δεῖ ταύτην ποιεῖν καὶ πρὸς τίνας οὔ, ἀλλ' ἀλόγως ἐργάζεται. Αἰγινῆται δὲ καὶ πολλὴν ταύτην ἔχουσι καὶ μετ' ἀληθοῦς διακρίσεως ταύτην μεταχειρίζονται. M. Ἔνθα, ἤγουν ἐν τῇ Αἰγίνῃ, ἐπιμελείας ἀξιοῦται Θέμις, ἀντὶ τοῦ Δίκη, πάρεδρος τοῦ Διὸς τοῦ ἐφόρου τῶν ξένων, μάλιστα πάντων τῶν ἄλλων ἀνθρώπων. καὶ γὰρ ὅπερ (30) ἂν ᾖ τι πολὺ καὶ πολλαχόσε, ἤγουν εἰς πολλὰς ὁδοὺς τείνει διαφερούσας ἀλλήλων, τοῦτο διοικεῖν ἀσφαλεῖ κρίσει λογισμοῦ καὶ δικαίᾳ οὐκ ἔξω τοῦ ἐγκαίρου, ἤγουν τοῦ ἁρμόζοντος, δυσχερές ἐστιν· ὥσπερ ἐν αὐτῇ τῇ Αἰγίνῃ δηλονότι πλῆθος συῤῥεῖ ξένων διαφέρον τὰς γνώμας, εἶτα ὀρθῶς διοικεῖται. ἡ παρὰ τῶν θεῶν νενομοθετημένη φιλοξενία.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 8 33g — ** τῶν θεῶν. τὴν ὑπὸ θαλάσσης περιεχομένην νῆσον.

O 8 35g πάντοθεν ἰοῦσιν. —ὑπέθηκεν. ἔρεισμα καὶ ἀσφάλειαν.

O 8 36g —θείαν. ὁ ἐπιών.

O 8 38 Germ. Τὸ μὴ κάμοι τοῦτο δὲ ἀλλοπαθές. ἐπέθηκε γὰρ τὸ ἔργον ἐκεῖνο τῷ χρόνῳ, ὡς λέγομεν ἐπί τε τοῦ ἀέρος καὶ τῆς θαλάσσης, ἡνίκα ἐν νηνεμίᾳ ὦσι, γελᾶν, τὸ ἐπισυμβαῖνον τοῖς θεωροῦσι πάθος ἐκείνοις ἐπεντιθέντες. ἀκόλουθον δὲ καὶ τὸ ἀμειδὴς ὁ Ἅιδης. τὸ τοὺς ξένους ὑποδέχεσθαι.

O 8 39g Δωρικῷ· — * τῷ Ἀργείῳ. —οἰκουμένην, κατεχομένην· σύναπτε δὲ πρὸς τὸ χώραν · τὸ δὲ ὁ δ ’ ἐπαντέλλων χρόνος διὰ μέσου. Th.

O 8 40 Αἰακὸς ἐκ μὲν νομίμου γυναικὸς Πηλέα καὶ Τελαμῶνα γεννᾷ, ἐκ δὲ Ψαμμάθης Νηρηΐδος οὐ κατὰ νόμον αὐτῷ συνελθούσης Φῶκον· ὃν ὡς νόθον ἀδελφὸν Πηλεύς τε καὶ Τελαμὼν ἀποκτείναντες διὰ τὸ μὴ κοινωνὸν σχεῖν τοῦ πατρῴου κλήρου, ὁ μὲν εἰς Σαλαμῖνα, Πηλεὺς δὲ εἰς Θετταλίαν παραγίνεται. τελευτήσαντος δὲ Αἰακοῦ καὶ ἐρήμου βασιλέως τῆς νήσου ἀπολειφθείσης Τριάκων τις Ἀργεῖος συλλέξας πλῆθος ἐξ Ἄργους εἰς Αἴγιναν ἐλθὼν κατοικεῖ. εἰσὶ δὲ οἱ Ἀργεῖοι τὸ ἀνέκαθεν ἐκ γένους Δωρικοῦ. M.

O 8 33-40 Τεθμὸς δέ τις ἀθανάτω ν , ἤγουν συνθήκη δέ τις, βουλὴ τῶν θεῶν, καὶ ταύτην τὴν χώραν τὴν ἁλιερκέα, ἤτοι τὴν θαλάσσῃ περιειλημμένην, παντοδαποῖς (35) ξένοις, ἤγουν ἀπὸ παντὸς τόπου ἀφικνουμένοις, ὑπέστησε κίονα δαιμονίαν, ἤτοι θείαν ἢ ὀλβίαν, τουτέστιν ὑποκειμένην ἐποίησεν εἰς ἀνάπαυσιν καὶ ἀσφάλειαν παντοδαπῶν ξένων ὥσπερ εἴ τις κίονα ὑπόθοιτο οἴκῳ. ὁ δὲ (37) ἐπερχόμενος χρόνος τοῦτο ἐνεργῶν εἴθε μὴ ἀτονήσειε. διὰ μέσου τοῦτο· τὸ δὲ ἑξῆς· παντοδαποῖς ὑπέστησε ξένοις κίονα δαιμονίαν Δωριεῖ λαῷ ταμιευομένην ἐξ Αἰακοῦ, τουτέστιν ὑπὸ τῶν Ἀργείων· οἱ γὰρ Ἀργεῖοι τοῦ Δωρικοῦ γένους· διοικουμένην μετὰ τὸν Αἰακόν. ἐκ Διὸς καὶ Αἰγίνης ἡρωΐδος Αἰακός, ἀφ’ ἧς παρωνομάσθη ἡ πόλις ἡ Αἴγινα. Pal.

O 8 41 Τούτους ἐπιβούλους εὑρὼν ἑαυτοῦ ὁ Ζεὺς ὀργισθεὶς παρέδωκε τῷ Λαομέδοντι κτίσαι τὸ Ἴλιον τοῦ Λαομέδοντος τούτους ἐξαιτησαμένου· οἱ δὲ εἵλοντο συλλήπτορα τὸν Αἰακόν. ἐκ τούτου γοῦν τοῦ τείχους τοῦ κτισθέντος παρὰ τοῦ Αἰακοῦ ἑάλω ὕστερον ἡ Τροία. Th. Ποσειδῶν καὶ Ἀπόλλων καὶ Ἥρα καὶ ἕτεροι τῶν θεῶν ἐπεβούλευσαν τῷ Διῒ τῆς ἀρχῆς καθελεῖν. καὶ ὃς αἰσθόμενος Ἥραν μὴν ἐν ἀέρι κρεμᾷ χρυσοῦν ἄκμωνα αἰωρήσας ἐκ τῶν αὐτῆς ποδῶν, Ποσειδῶνα δὲ καὶ Ἀπόλλωνα καταδικάζει ὑπηρετῆσαι Λαομέδοντι πρὸς τὸν τῆς Ἰλίου τειχισμόν. οἱ δὲ συμπαραλαμβάνουσιν Αἰακόν· δι’ ἥντινα δὲ αἰτίαν, αὐτὸς λέγει ὅτι ἦν πεπρωμένον πορθηθῆναι αὐτὴν καὶ παραδεδόσθαι πυρί. τούτου δὲ οὕτως ὄντος οὐκ ἦν θεμιτὸν ἔργον θεῶν ἀνδρῶν καταβεβλῆσθαι χερσί. διὰ τοῦτο οὖν συμπαρέλαβον Αἰακόν, ἵνα ἐκ τοῦ δομηθέντος αὐτῷ τείχους ἁλώσιμος ἔσται ἡ πόλις· διὸ καὶ οἱ εἰσπηδήσαντες εἰς τὸ τεῖχος τρεῖς δράκοντες οἱ μὲν δύο καταπεσόντες ὀλώλασι δηλοῦντες ὡς τὸ ὑπὸ τῶν δύο θεῶν δομηθὲν τεῖχος ἀνάλωτον ἔσται, ὁ δὲ εἷς ἐντὸς εἰσῆλθε τῆς πόλεως ἐν συριγμῷ, ἐπεὶ καὶ οἱ πόλιν πορθοῦντες βοῇ χρῶνται. τὸν Αἰακόν.

O 8 41g — * ὁ Ἀπόλλων. —ὁ μέγιστος βασιλεὺς τῆς θαλάσσης. * τῇ Τροίᾳ.

O 8 42g —τῶν τειχῶν περιβολήν· τὸ δὲ ἐπί πρὸς τὸ Ἰλίῳ σύναπτε. * κατασκευάσαι· — ** κατασκευάσειν.

O 8 43g —συμπράκτορα. τὴν Τροίαν.

O 8 44g — * μεμοιρασμένον. ἐγειρομένων.

O 8 46g ταῖς τὰς πόλεις πορθούσαις. Germ.

O 8 47 Λαῦρον ἀμπνεῦσαι καπνὸν ἀντὶ τοῦ ἐμπυρισθῆναι. σφοδρόν.

O 8 47g —ἀναπνεῦσαι ἐκ τοῦ κάοντος αὐτὴν πυρός. γλαυκοὺς ἔχοντες ὦπας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 8 48g —ἡ πόλις. Germ.

O 8 47-48 Ἡ ἀναπνοὴ διττή ἐστι· λέγεται γὰρ καὶ εἰσπνοὴ καὶ ἐκπνοή. γλαυκὸν (48) δέ ἐστι τὸ μέσον λευκοῦ καὶ μέλανος· ἔχει γὰρ καὶ τὸ λευκόν. ἔλαβε δὲ εἶδος ἀντὶ γένους· ὤφειλε γὰρ εἰπεῖν ὄφιες· τοῦτο δέ ἐστι τὸ πλεονεκτούμενον. * τὸν νεωστὶ κατασκευασθέντα· — ** εἰ βούλει τὸν νεωστὶ κατασκευασθέντα πύργον, λέγε ὑποστίζων εἰς τὸ ἐκτίσθη.

O 8 50g * κατέπεσον. Th.

O 8 51 Οἱ μὲν τὸ δατιζομένῳ κουφίζουσιν, ἵνα μὴ ἀσύνδετον ᾖ, λέγοντες αὖθι δὲ καὶ αὐτόθι ἔνθα κατέπεσον, ἀτιζομένῳ καὶ ἄτην καὶ βλάβην ἀπὸ τῆς πτώσεως ἔχοντες βάλον καὶ ἀφῆκαν τὰς ψυχάς. οἱ δὲ δατιζομένῳ ἀντὶ τοῦ εἰς πολλὰ ὑπὸ τῆς πτώσεως κατακοπέντες φασί, λέγοντες ἀσυνδέτως. * αὐτόθι.

O 8 51g —ἀφῆκαν. — ** τὸ πνοὰς κάλλιον διὰ τὸ μέτρον ἢ τὸ ψυχά ς . Germ.

O 8 48-51 Ἡ σύνταξίς ἐστιν αὕτη. ἐπεὶ ἐκτίσθη νέον καὶ νεωστὶ τὸ τεῖχος, τριῶν δρακόντων γλαυκῶν καὶ λευκῶν ἐσαλλομένων εἰς τὸν νέον πύργον, οἱ δύο μὲν κάππετον καὶ κατέπεσον, αὖθι δὲ ἀτυζομένω καὶ ἀτυζόμενοι βάλον καὶ κατέβαλον καὶ ἀπέῤῥιψαν τὰς ψυχάς, ἤγουν ἀπέθανον. ὁρμήσας εἰσῆλθεν.

O 8 52g — * συρίξας· — ἀντισυρίξας. ἐσαφήνιζε πρὸς τὸν Αἰακόν.

O 8 53g —ἐξ ἐναντίας ἢ κακόν. — φροντίζων. ** σημεῖον.

O 8 55 Th. Λαομέδων εἰπὼν τῷ Ἡρακλεῖ, ἣν τὸ κῆτος ἀνέλῃ, ὃ ἐπιὸν τὴν χώραν αὐτοῦ ἐλυμαίνετο, δώσειν τοὺς αὐτοῦ ἵππους, ὡς οὐκ ἔδωκε, λαβὼν Ἡρακλῆς Πηλέα καὶ Τελαμῶνα κατὰ τῆς Τροίας ἐστράτευσε καὶ εἷλεν αὐτήν. τὸ πρώτοις οὖν λέγει διὰ Πηλέα καὶ Τελαμῶνα, τὸ δὲ τετράτοις διὰ Νεοπτόλεμον. τέταρτος γὰρ οὗτος ὡς πρὸς Αἰακόν, εἴπερ οὗτος μὲν υἱὸς Ἀχιλλέως, Ἀχιλλεὺς δὲ Πηλέως, Αἰακοῦ δὲ Πηλεύς. ἡ πόλις.

O 8 55g — * ἰδίαις· — ** ἐπὶ ταῖς σαῖς· δέον εἰπεῖν τεᾶς πρὸς τὸ χειρό ς , τεαῖς εἶπε πρὸς τὸ ἐργασίαι ς . ὦ Αἰακέ.

O 8 56g —πορθεῖται. οὕτως.

O 8 58g τοῦ μέγαν κτύπον διὰ τῶν βροντῶν ποιοῦντος. χωρίς.

O 8 59g — ** σοῦ. * Πηλεῖ καὶ Τελαμῶνι· — ** τῷ Τελαμῶνι.

O 8 60g —τῆς ἁλώσεως. * τῷ Νεοπτολέμῳ.

O 8 41-61 Μ. Τὸν παῖς ὁ Λατοῦ ς ] ὅντινα, ἤγουν τὸν Αἰακόν, ὁ υἱὸς τῆς Λητοῦς ὁ Ἀπόλλων καὶ ὁ Ποσειδῶν ὁ μεγάλην βασιλεύων βασιλείαν μέλλοντες ἐπιτεύξειν, ἀντὶ τοῦ τεύξειν, ἤγουν κατασκευάσειν στέφανον ἤτοι περίβολον, περιτείχισμα τῷ Ἰλίῳ, ἐκάλεσαν συνεργὸν ἕνεκα τοῦ τείχους, ὅτι (44) ἦν μεμοιραμένον κινουμένων πολέμων ἐν μάχαις πορθητικαῖς τῶν πόλεων ἀναπνεῦσαι αὐτήν, ἤγουν τὴν πόλιν, λάβρον καπνόν, ἀντὶ τοῦ ἀναπνοὴν ἀναπέμψαι σφοδροῦ καπνοῦ, τουτέστι πυρποληθῆναι. γλαυκοὶ δὲ (48) δράκοντες τρεῖς, ἤγουν στιλπνοὶ τοὺς ὀφθαλμοὺς καὶ τῇ ἐνοράσει ἐκφοβοῦντες, ἐπεὶ ἐκτίσθη νέον, ἤτοι παραχρῆμα, τὸν πύργον, ἤγουν τὸ τεῖχος ἐσαλλόμενοι, ἀντὶ τοῦ εἰσπηδῆσαι πειρώμενοι, οἱ δύο (50) μὲν κατέπεσον, αὐτόθι δὲ ἀτυζόμενοι, ἤγουν ταραττόμενοι, ἐν ἄτῃ γενόμενοι, τὰς πνοὰς ἀπέβαλον, ἤτοι ἀπέπνευσαν, ὁ εἷς δὲ εἰσῆλθε βοήσας, ἀντὶ τοῦ συρίξας. ἔννεπε δέ (53), ἀντὶ τοῦ εἶπεν εὐθὺς ὁ Ἀπόλλων ὁρμαίνων, ἤγουν διαλογιζόμενος, σκοπῶν τέρας ἐναντίον, τουτέστιν ἐχθρόν, οὐ δεξιόν· ἡ Πέργαμος, ἤγουν ἡ ἐξοχὴ τοῦ τείχους, ὦ ἥρως Αἰακέ (56), ἐπὶ ταῖς σαῖς ἐργασίαις, ἤτοι κατασκευαῖς τῆς χειρός, ἀντὶ τοῦ ἐπὶ ταῖς ἐργασίαις τῆς σῆς χειρός, ἁλίσκεται, ἀντὶ τοῦ ἁλώσιμος ἔσται. οὕτως ἐμοὶ λέγει, ἀντὶ τοῦ νοεῖν δίδωσι, τὸ πεμφθὲν φάσμα, ἤγουν ἡ πεμφθεῖσα ὄψις τοῦ Διὸς τοῦ υἱοῦ τοῦ Κρόνου τοῦ τῶν βαρυήχων βροντῶν αἰτίου· οὐκ ἄτερ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

(59), ἤγουν οὐκ ἔξω τῶν ἀπογόνων σου ἁλώσιμος ἔσται, ἀλλ’ ἅμα τοῖς πρώτοις σοῖς ἀπογόνοις, ἤγουν τῷ Τελαμῶνι, ἄρξεται, τουτέστιν ἀρχὴν λήψεται τοῦ ἁλίσκεσθαι, καὶ τοῖς ἀπὸ σοῦ δηλονότι τετάρτοις, ἤτοι τῷ Νεοπτολέμῳ, ἁλώσεται δηλονότι. * τῷ Νεοπτολέμῳ.

O 8 61g — * ὁ Ἀπόλλων. — * εἰπών. Germ.

O 8 62 Ξάνθο ν ] Λυκία ὄνομα τοῦ τόπου καὶ ἐκ τοῦ ποταμοῦ τοῦ ἐκεῖσε ῥέοντος τὴν χώραν σημαίνει. Th. Ἐν Ξάνθῳ, ἐν Ἀμαζόσιν, ἐν Ἴστρῳ πρὸς τοὺς Ὑπερβορέους ἐτιμᾶτο Ἀπόλλων, ὥσπερ καὶ Ποσειδῶν ἐν τῷ Ἰσθμῷ τῆς Πελοποννήσου, ἔνθα τὰ Ἴσθμια εἰς αὐτὸν ἐγίνοντο, καὶ ἐν τῇ ἐξοχῇ τῆς Κορίνθου. σύναπτε δὲ τὸ ποντίᾳ Ἰσθμῷ καὶ τὸ Κορίνθου δειράδ ι . * ποταμὸν ἐν Τροίᾳ· — ** ποταμὸν Λυκίας.

O 8 63g * ἐρχόμενος. * ὁ τὴν γῆν τριαίνῃ κινῶν Ποσειδῶν.

O 8 65g * ταχύ. —ἐκίνει. ἀποκομίζων.

O 8 67g εἰς τὴν Αἴγιναν. —τοῖς αὐτοῦ, ἤτοι τῷ ἅρματι. * ἐξοχῇ.

O 8 68g —ἐπιτηρήσων. εὐωχίαν.

O 8 69g —ἔνδοξον. Germ.

O 8 64-69 Ὁ Ὀρσοτρίαινα δὲ τάνυε καὶ παρώξυνε τὸ θοὸν ἅρμα ἐπὶ τῇ Ἰσθμῷ τῇ ποντίᾳ καὶ ἐπὶ τῇ δειράδι τῆς Κορίνθου, ἐποψόμενος καὶ μέλλων ἰδεῖν τὴν δαῖτα τὴν κλυτήν, ἀποπέμπων τὸν Αἰακὸν ἀνὰ ταῖς ἵπποις ταῖς χρυσέαις δεῦρο καὶ ἐνταῦθα εἰς τοῦτον τὸν τόπον, ἤγουν ἐν τῇ Αἰγίνῃ. οἱ τοιοῦτοι δευτέρα γενεά, τετάρτη δὲ ὁ Πύῤῥος ὁ καὶ Νεοπτόλεμος. τρίτον γὰρ ἐπορθήθη ἡ Τροία. ἡδύ.

O 8 70g —ὅμοιον· ὁ μὲν γὰρ τοῦτο, ὁ δὲ ἐκεῖνο ἀποδέχεται. M.

O 8 61-70 Ὣς ἄρ α ] ὁ ἄρα ἀντὶ τοῦ δή. οὕτω δὴ ὁ θεὸς ὁ Ἀπόλλων σαφῶς εἰπὼν εἰς τὸν Ξάνθον τὸν ποταμόν· ἀπὸ τούτου δὲ τὴν Λυκίαν θέλει δηλοῦν, ἤπειγε, τουτέστιν ἔσπευδεν ἐλαύνων τοὺς ἵππους δηλονότι, καὶ ἐκ τούτου εἰς τὰς Ἀμαζόνας τὰς καλαῖς ἵπποις χρωμένας, ἤγουν τὰς πολεμικάς, καὶ ἀπ’ ἐκείνων εἰς τὸν Ἴστρον τὸν ποταμόν, τουτέστιν εἰς τὴν Σκυθίαν· ὁ ὀρσοτριαίνης δέ (64), ἤγουν ὁ Ποσειδῶν ὁ τὴν τρίαιναν φέρων, ἀποπέμπων τὸν Αἰακὸν δεῦρο, ἤγουν ὧδε, τουτέστιν εἰς τὴν Αἴγιναν, ἐν χρυσοῖς ἵπποις, ἐπέτεινε τὸ ταχὺ ἅρμα, ἤτοι ἐπέσπευδεν ἐπὶ τὸν Ἰσθμὸν τὸν περὶ τὴν Κόρινθον καὶ ἐπὶ τὴν δειράδα, ἤγουν τὴν ἐξοχὴν τῆς Κορίνθου, θεασόμενος τὴν δαῖτα, ἀντὶ τοῦ τὴν θυσίαν τὴν κλυτήν, ἤτοι τὴν εὐκλεῆ, τὴν περιᾳδομένην, τὴν τελουμένην αὐτῷ, ἐκεῖ δηλονότι. τερπνὸν δὲ (70) ἐν τοῖς ἀνθρώποις, τουτέστιν ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν οὐδὲν ἔσται ἀντὶ τοῦ ἐστίν, ἐν ἴσῃ μοίρᾳ ταττόμενον, πᾶσι δηλονότι, ἤγουν οὐδέν ἐστιν ἡδὺ ἐν τοῖς ἀνθρωπίνοις πράγμασιν, ἐφ’ ᾧ πάντες ἐπίσης τερφθήσονται, διὸ οὐδὲ τοῖς θεοῖς δηλονότι οἱ αὐτοὶ τόποι ἀρέσκουσιν. * τῷ· — ** τοῦ· διὰ τὸ μέτρον.

O 8 72g δόξαν, ἣν ἔσχεν ἐκ πάλης. ἤγουν μηδεὶς μέμψιν ἐπαγέτω μοι.

O 8 74g ἐν τῇ. — * ὁμοίως. τὴν ἀπὸ τῆς πάλης νίκην.

O 8 76g ἄλλην δ’ ἐρέω μετὰ ταῦτα, ἤγουν ἐν ἀνδρικῇ ἡλικίᾳ. Th.

O 8 70-77 Τὸ τερπνὸν ἐν ἀνθρώποι ς ] προκατάστασίς ἐστιν οὗ μέλλει εἰπεῖν περὶ τοῦ Μελησίου, ὃς ἦν ἀλείπτης Ἀλκιμέδοντος καὶ τοῦ ἀδελφοῦ αὐτοῦ Τιμοσθένους. ἐνίκησε δὲ οὗτος ὁ Μελησίας νέος ὢν ἐν τῇ Ὀλυμπίᾳ. βούλεται οὖν Πίνδαρος ταύτην τὴν νίκην εἰπεῖν νῦν, καὶ ἐπειδὴ τὸ παιδικῆς νίκης μεμνῆσθαι μέμψιν ἂν αὐτῷ παρὰ τῶν ἀκουόντων ἤγαγεν, ὡς ἤδη πρεσβύτου ὄντος τοῦ Μελησίου, φησίν· εἰ δὲ ἐγὼ ἀνέδραμον ἐν τῷ ὕμνῳ κῦδος καὶ δόξα τῷ Μελησίᾳ ἐξ ἀγενείων, ἤγουν εἰ ἐπαινέσαιμι αὐτόν, ὅτι ἀγένειος ὢν ἐν Ὀλυμπίᾳ πάλαι νενίκηκε, μὴ βαλέτω με ὁ φθόνος ἐντραχεῖ λίθῳ, ἤγουν μηδεὶς διὰ φθόνον κακῶς ἀγορευέτω με. ἐρέω γὰρ καὶ λέξω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν τῇ Νεμέᾳ ταύτην τὴν χάριν, ἤγουν ἣν ἐν τῇ πάλῃ νίκην ἔσχεν ὁμῶς καὶ ὁμοίως, ἤτοι ἀγένειος ὤν. τὴν δέ, καὶ ἄλλην δὲ μάχην ἀνδρῶν ἐκ παγκρατίου, ἐρέω ἀπὸ κοινοῦ. καὶ γὰρ ἀγένειος ὢν Μελησίας ἐν Ὀλυμπίᾳ καὶ ἐν Νεμέᾳ ἐκ πάλης ἐστεφανώθη καὶ ἀνὴρ γενόμενος παγκράτιον ἐν Νεμέᾳ ἐνίκησε. τὸ δὲ μάχην ἀνδρῶν (76) λέγει, ἐπειδὴ ἀνὴρ ὢν παγκράτιον πρὸς ἄνδρας ἠγωνίσατο. M. [15]

O 8 71-77 Εἰ δὲ ἐγὼ διὰ τοῦ ὕμνου εἰς τὸ κλέος ἀνατρέχω τοῦ Μελησίου τὸ ἐξ ἀγενείων, ἤγουν τὸ ἐκ παίδων αὐτῷ γεγενημένον, μὴ βαλέτω με φθόνος λίθῳ σκληρῷ, ἀντὶ τοῦ διασυρμῷ ὀνειδιστικῷ, βαρεῖ. καὶ ἐν τῇ Νεμέᾳ (74) γὰρ ὁμοίως ἐρέω, ἀντὶ τοῦ λέγω, ταύτην τὴν χάριν, τουτέστι τὴν τιμήν, τὴν νίκην ὑπάρξαι δηλονότι αὐτῷ· τὴν δὲ τῶν ἀνδρῶν μάχην, ἀντὶ τοῦ τὴν δὲ νίκην τοῦ ἀγῶνος, ὃν ἠγωνίσατο ἐν ἀνδρὸς ἡλικίᾳ, ἔπειτα, ἤγουν μετὰ ταῦτα, λέγω ὑπάρξαι αὐτῷ ἐν παγκρατίῳ. * ἤγουν ὁ προαθλήσας οὗτος εἰδὼς τὴν μάχην ὡς δεῖ μεταχειρίζεσθαι, κάλλιστος ἂν ἀλείπτης ἄλλων γένοιτο· τοιοῦτος δὲ καὶ ὁ Μελησίας. [5]

O 8 77g —ἕτερον. εὐχερέστερον.

O 8 78g —ἀνόητον ὥστε διδάξαι· * ὁ γάρ τι ποιήσας οὗτος καὶ διδάξας αὐτὸ ἄριστος. ** τὸ μὴ πρότερον διδαχθῆναι.

O 8 80g ἐλαφρότεραι πρὸς διδαχήν. —ἤγουν τῶν μὴ προκατωρθωκότων ὃ διδάξουσιν. ὁ πειραθεὶς τούτων καὶ προκατωρθωκώς.

O 8 81g — ** διδάξει. ἐξοχώτερον καὶ κρεῖττον.

O 8 82g — * τῶν μὴ πειραθέντων. ποία μηχανή; ἔστι δὲ τὸ τίς τρόπος ἑρμηνεία τοῦ κεῖνο ς .

O 8 83g —αὐξήσει καὶ νικητὴν ποιήσει. τῶν ἐπὶ ταῖς πανηγύρεσι τῶν θεῶν γινομένων ἀγώνων.

O 8 85g ἀγαπητὴν αὐτῷ. — ** τιμήν. —λαβεῖν. M.

O 8 77-85 Τὸ διδάξασθαι δέ, ἀντὶ τοῦ τὸ διδάξαι τῷ εἰδότι, ἤγουν τῷ ἐμπείρῳ, τῷ ἐπισταμένῳ, ἐστὶ ῥαΐτερον, ἤτοι ῥᾷον ἀντὶ τοῦ ῥᾴδιον, ἤγουν εὔκολον. καὶ ὁ Μελησίας δηλονότι, εἰ μὴ αὐτὸς ἦν ἔμπειρος ἀθλητής, οὐκ ἂν ἄλλους ἀλείφων ἐποίει νικᾶν. τὸ δὲ μὴ προμαθεῖν ἄγνωμον, ἤγουν ἄπειρον καὶ ἀνεπιτήδειον εἰς διδασκαλίαν ἑτέρων. τῷ εἰδότι εἰπὼν εὔκολον εἶναι τὸ διδάξαι ὤφειλεν ἐπαγαγεῖν· τῷ δὲ μὴ εἰδότι οὐκ εὔκολον· ὁ δὲ ἐπὶ τὸ πρᾶγμα μετατίθησι τὸν λόγον καί φησι· τὸ μὴ προμαθεῖν δὲ ἄπειρον, ταυτὸ λέγων ὥσπερ εἰ ἔλεγεν· ὁ δὲ μὴ προμαθὼν ἄπειρος τούτου δηλονότι, ἤγουν τοῦ διδάξαι. κουφότεραι γάρ, ἀντὶ τοῦ κοῦφαι, ἤγουν ἐλαφραί, ἀμαθεῖς αἱ φρένες τῶν ἀπειράτων, ἤτοι τῶν μὴ πεπειραμένων, τῶν μὴ προμαθόντων. κεῖνα δὲ τὰ ἔργα ἐκεῖνος (81) ἂν εἴπο ι , ἤγουν ὁ πεπειραμένος, περαίτερον, ἀντὶ τοῦ περαιτέρω, ἤγουν ἐπὶ πλέον τῶν ἄλλων λέγοι, τίς τρόπος, ἤτοι τίς ὁδός, τίς μηχανὴ προβιβάσει ἄνδρα, τουτέστιν αὐξήσει, δοξάσει ἐκ τῶν ἱερῶν ἀγώνων μέλλοντα φέρειν, ἀντὶ τοῦ ἀποφέρεσθαι δόξαν ποθεινοτάτην, τουτέστιν ὑπερποθουμένην. τῷ Μελησίᾳ. [15]

O 8 86g — * ἐστί. —ἡ γὰρ τῶν μαθητῶν δόξα πρὸς τοὺς διδασκάλους ἀνέρχεται. — ἀνέρχεται. ἤγουν μετὰ εἰκοσιεννέα ἀθλητὰς νικήσαντας * ἀλειφθέντας ὑπὸ Μελησίου.

O 8 88g εὐτυχίᾳ θεικῇ. ἀνδρείας.

O 8 89g —ἁμαρτών, ἀλλὰ καὶ ἀνδρεῖος ὤν. Th.

O 8 90 Δέον εἰπεῖν τεττάρων παίδω ν , τέτρασιν εἶπε πρὸς τὸ γυίοι ς , καὶ ἔστιν ὅμοιον τὸ τεαῖς χειρὸς ἐργασίαις (42). τέσσαρας γὰρ παῖδας ἐνίκησεν ἐν τῇ πάλῃ.

O 8 90g — ἐνέβαλε. — ** τοῖς μέλεσιν. ὑποστροφὴν πρὸς τὸν οἶκον.

O 8 91g —ἄτιμον. —ἤγουν ὀνειδιστικοὺς λόγους παρὰ τῶν αὐτοὺς ὁρώντων. Th.

O 8 92

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐπίκρυφον οἶμο ν ] ἤγουν ἐν σκότῳ πορείαν· ὁ γὰρ νικηθεὶς ἀτίμως τε πρὸς τὸν οἶκον χωρεῖ διὰ τὴν ἧτταν καὶ τοὺς ὁρῶντας αὐτὸν εἰς μυκτηρισμὸν ἄγει. διὰ τοῦτο ἐν νυκτὶ τὴν πορείαν ποιεῖται. * τῷ πάππῳ.

O 8 93g —ὁ γὰρ πατὴρ αὐτοῦ προαπέθανεν. — * ἐνέβαλεν. —ἰσχύν. * ἐναντίον· ὑπὸ γὰρ τοῦ γήρως καταβεβλημένος ὥσπερ ὑπὸ τῆς τοῦ παιδὸς νίκης ἰσχὺν ἔλαβε καὶ τῆς τοῦ γήρως ἐπιλέλησται ἀσθενείας.

O 8 86–94 Μ. Νῦν μὲν τιμή ἐστιν αὐτῷ, τῷ Μελησίᾳ δηλονότι τῷ ἀλείπτῃ, ὁ Ἀλκιμέδων νίκην ἑλὼν ὑπὸ ἀλείπτῃ τούτῳ μετὰ ἐννέα καὶ εἴκοσιν ἄλλους ὑπὸ τούτου γεγυμνασμένους· ὅστις (88), ἤγουν ὁ Ἀλκιμέδων, σὺν εὐτυχίᾳ θεοῦ, ἠνορέας δέ, ἤγουν ἀνδρίας οὐκ ἀμπλακών, ἀντὶ τοῦ οὐκ ἄμοιρος γεγονώς, οὐκ ἀποτυχών, ἐν τέτρασι μέλεσι παίδων, ἀντὶ τοῦ ἐν μέλεσι τεσσάρων παίδων, περιφραστικῶς ἀντὶ τοῦ ἐν τέτρασι παισίν, ἀπεθήκατο, ἀντὶ τοῦ ἐπέθηκεν ἐπαναστροφὴν (91) εἰς τὸν οἶκον αὐτῶν, ἔχθιστον, ἤγουν πάνυ μεμισημένην, καὶ ἀτιμοτέραν γλῶσσαν, ἀντὶ τοῦ ἄτιμον ἤτοι ἀπαῤῥησίαστον, καὶ οἶμον, ἤγουν ὁδὸν ἐπέθηκεν αὐτοῖς ἐπίκρυφον, τουτέστι λαθραίαν καὶ ἀποφεύγουσαν τὰς ὄψεις τῶν ἀνθρώπων διὰ τὴν αἰσχύνην τῆς ἥττης, τῷ πατρὶ δὲ τοῦ πατρὸς αὐτοῦ, ἤγουν τῷ πάππῳ αὐτοῦ ἐνέβαλε μένος, τουτέστιν ἰσχὺν τοῦ γήρως ἀντίπαλον, ἀντὶ τοῦ ἐναντίαν, ἤτοι καταπονούμενον αὐτὸν ὑπὸ τοῦ γήρως ἀνέῤῥωσεν. * ἐν τῷ· — ἐν τῷ Ἅιδῃ.

O 8 95g —ἐπιλανθάνεται παρὰ τῶν ἐν τῷ βίῳ. ἁρμόδια αὐτῷ ἤτοι καλά.

O 8 95–96 Μ. Ἀΐδα τοι λάθεται ἄρμενα πράξας ἀνὴρ] εἰς κατασκευὴν τοῦ ἀνωτέρω τοῦτο γνωματεύεται· ἤγουν ὁ ἄνθρωπος ὁ παθὼν ἀρεστὰ τῇ ἑαυτοῦ γνώμῃ, ἤτοι ὁ εὐτυχήσας, τοῦ θανάτου ἐπιλανθάνεται, ἤγουν ἀνώτερος γίνεται τοῦ θανάτου, ἀνεπιστρόφως ἔχει αὐτοῦ τῇ εὐπραγίᾳ ἀναῤῥωννύμενος. μνήμην αὐτῶν.

O 8 98g * ἀνιστῶντα. —εἰπεῖν. καρπόν, ἤτοι τὴν νίκην.

O 8 99g —οὗτοι γὰρ οἱ τοῦ Ἀλκιμέδοντος πρόγονοι. —ὕμνον. ἐπειδὴ Τιμοσθένης καὶ Ἀλκιμέδων ἕκτοι ἀπὸ Βλεψιαδῶν ἦσαν.

O 8 101g τῶν τὰ στεφάνων φύλλα τοῖς νικῶσι φερόντων. τοῖς προγόνοις· — τοῖς θανοῦσιν.

O 8 102g —τῶν ἐπαίνων, οὓς λαμβάνουσιν οἱ ἀπόγονοι. * κατά.

O 8 103g —ἐνεργούμενον. Th.

O 8 95–103 Βούλεται εἰπεῖν περὶ τῶν τοῦ Ἀλκιμέδοντος προγόνων, ὅτι κάλλιστοι ἦσαν. λέγει οὖν· ὁ πράξας ἄρμενα καὶ ἁρμόδια ἑαυτῷ λήθεται καὶ ἐπιλανθάνεται παρὰ τῶν ἄλλων ἐν τῷ ἀΐδᾳ· ἀλλ’ ἐμὲ χρὴ καὶ πρέπει φράσαι καὶ εἰπεῖν τὸν νῦν ἐπινίκιον καὶ ὕμνον τοῦ Ἀλκιμέδοντος, τὸν ἄωτον καὶ τὸν καρπὸν τῶν χειρῶν, ἤτοι τὴν νίκην, ἐγείροντα τοῖς Βλεψιάδαις μνημοσύνην καὶ ἐνθύμησιν αὐτῶν· τουτέστιν εἰ καὶ οἱ Βλεψιάδαι θανόντες οὐκ ἔρχονται εἰς μνήμην ἀνθρώποις, ὁποῖοί τινες ἦσαν τὰς ἀρετάς, ἀλλ’ ἐγὼ νῦν ἐγκωμιάζων Τιμοσθένην καὶ Ἀλκιμέδοντα τοὺς αὐτῶν ἀπογόνους δείξω πᾶσιν ἀνθρώποις τὴν αὐτῶν ἀρετήν, καὶ ὅτι ἡ τούτων εὐδαιμονία καὶ πρὸς τοὺς ἀπογόνους ἀφῖκτο, οὓς οὐκ εἰκὸς γενέσθαι τοιούτους μὴ προϋπαρχόντων αὐτοῖς καλλίστων ἐκ προγόνων παραδειγμάτων. τὸ δὲ ἕκτος στέφανος περίκειται (100) λέγει, ἐπειδὴ Τιμοσθένης καὶ Ἀλκιμέδων ἕκτοι ἀπὸ Βλεψιαδῶν ἦσαν, ὥστε ὁ τούτων στέφανος Βλεψιάδαις ἕκτος περιετέθη. τὸ δὲ ἔστι καὶ θανόντεσσι (102) τοῦτο λέγει ἢ ὅτι καὶ τοῖς προγόνοις ἡ τῶν παίδων εὐφημία καθίσταται, ἢ ὅτι οἱ τοὺς παῖδας ἐγκωμιάζοντες καὶ τῶν προγόνων εἰς μνείαν ἔρχονται, ὡς ὁ ἐγκωμιαστικὸς ἀναγκάζει νόμος. οὐ κωλύει καὶ μὴ πρὸς ἐκείνους ἰέναι.

O 8 104g —ὁ τάφος αὐτῶν. συγγενῶν.

O 8 105g —ἤτοι τὴν τῆς νίκης εὐτυχίαν. Μ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 8 97-105 Ἀλλ’ ἐμὲ χρὴ ἀνιστῶντα μνήμην τοῖς Βλεψιάδαις τῇ φυλῇ τοῦ Ἀλκιμέδοντος φράσαι αὐτοῖς ἐπινίκιον ὕμνον, ἄωτον τῶν χειρῶν αὐτῶν, ἤγουν καρπόν, ὃν αἱ χεῖρες αὐτῶν ἤνεγκαν· οἷς (100), ἤγουν τοῖς Βλεψιάδαις, ἕκτος ἤδη στέφανος περίκειται ἀπ’ ἀγώνων φυλλοφόρων, ἤγουν στεφανηφόρων, ἀντὶ τοῦ στεφάνων αἰτίων. ἔστι δὲ καὶ τοῖς ἀποθανοῦσι μέρος τι, ὃ πραττόμενον πρὸς αὐτοὺς κατὰ νόμους ἂν πράττοιτο· ἤγουν οὐ μόνον πρὸς τοὺς ζῶντάς εἰσί τινα κατὰ νόμους ἀποδιδόμενα, ἀλλὰ καὶ πρὸς τοὺς ἀποθανόντας ἔστι τι μέρος, ὃ πραττόμενον κατὰ νόμους ἂν πράττοιτο· τὸ τῶν ἐγκωμίων λέγει, ὃ ἐν τοῖς ἑξῆς σαφέστερον δηλοῖ. ἐπάγει γάρ· οὐ κατακρύπτει δὲ (104) ἡ κόνις, ἤγουν ἡ γῆ, ὁ τάφος, τὴν ἀγαθὴν ἀρετὴν τῶν συγγενῶν, ὥστε μὴ ἀναφέρεσθαι δηλονότι αὐτὴν πρὸς αὐτοὺς ἐν τῷ τάφῳ. Pal.

O 8 106 Ἰφίων καὶ Καλλίμαχος συγγενεῖς Ἀλκιμέδοντος. Th. Ἐπειδὴ ὁ Ἑρμῆς ἄγγελος τῶν θεῶν ἐστι καὶ ἔστιν ἐν οὐρανῷ καὶ γῇ καὶ πρὸς τὸν Ἅιδην ψυχοπομπός, διὰ τοῦτο λέγει τῆς αὐτοῦ φωνῆς ἀκοῦσαι τὸν Ἰφίονα, ἣν εἰδωλοποιῶν θυγατέρα αὐτοῦ καλεῖ. ἡ γὰρ ἀγγελία θυγάτηρ τοῦ λόγου.

O 8 106g —ὁ Ἀλκιμέδοντος πρόγονος. εἴποι ἄν.

O 8 108g τῷ αὐτοῦ ἀδελφῷ. τὸν ἐξ ἐλαίας στέφανον.

O 8 109g — * ἐν. —κόσμον. — αὐτοῖς. ἤγουν νίκας ἐπὶ ταῖς νίκαις.

O 8 111g * δοῦναι τῷ Ἀλκιμέδοντι καὶ Τιμοσθένει καὶ Μελησίᾳ. —ποταπάς; ταχείας. * ἀποσοβοίη αὐτῶν.

O 8 114g μέμψιν. —ἐναντίαν τοῖς καλοῖς. —μὴ θεῖναι τὸν Δία αὐτοῖς. ἀβλαβῆ καὶ ἀκίνδυνον.

O 8 116g Ἀλκιμέδοντα καὶ Τιμοσθένη καὶ Μελησίαν. —αὔξει. M.

O 8 106-116 Ὁ Ἰφίων δέ, ὁ πατήρ, ὥς φασί τινες, τοῦ Ἀλκιμέδοντος, ἐνέποι ἄν, ἀντὶ τοῦ ἀγγείλαι, μηνύσαι τῷ Καλλιμάχῳ προσήκοντι κατὰ γένος καὶ τετελευτηκότι καὶ αὐτῷ τὸν κόσμον τὸν ἐν Ὀλυμπίᾳ τὸν λιπαρόν, ἤγουν τὸν λαμπρόν, ὃν ὁ Ζεὺς παρέσχε τῷ γένει αὐτῶν διὰ τοῦ Ἀλκιμέδοντος, ἀκούσας αὐτὸς ὁ Ἰφίων αὐτὸν τὸν κόσμον δηλονότι τῆς Ἀγγελίας τῆς θυγατρὸς τοῦ Ἑρμοῦ ἀγγελλούσης αὐτὸν πρὸς αὐτόν. ἀγαθὰ (110) δ’ ἐπ’ ἀγαθοῖς ἔργα, ἤγουν ἀγαθὰ δὲ ἔργα συνεχῆ καὶ ἐπάλληλα εἴθε θέλοι ὁ Ζεὺς δοῦναι αὐτοῖς, ὀξείας δὲ νόσους, τουτέστι σφοδρὰς καὶ ἐπικινδύνους ἀπαλάλκοι, ἤτοι ἀποσοβοίη, ἀπ’ αὐτῶν δηλονότι. εὔχομαι (113) ἐπὶ τῇ μοίρᾳ τῶν καλῶν, τῇ διδούσῃ δηλονότι αὐτοῖς τὰ καλά, μὴ θεῖναι αὐτὸν τὸν Δία, ἀντὶ τοῦ μὴ ἐᾶσαι συμβῆναι Νέμεσιν διχόβουλον, ἀντὶ τοῦ φθόνον ἐναντία βουλευόμενον, ἀλλ’ ἄγων, τουτέστι κυβερνῶν τὸν βίον αὐτῶν δηλονότι ἀβλαβῆ αὐτούς τε εἴθε αὔξοι καὶ τὴν πόλιν αὐτῶν. Ἐπίνικοι Ὀλυμπιονίκαις.

O 9 t Ἐφαρμόστῳ Ὀπουντίῳ παλαιστῇ. Ὠιδὴ θʹ. [Δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ θʹ εἴδους. ἔστι δὲ στροφῶν δʹ. Παλαιόν. Τοῦ θʹ εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ ἑκάστη κώλων ιςʹ.

O 9 prae 1 Τὸ αʹ ἀναπαιστικὸν μονόμετρον ὑπερκατάληκτον εἰς δισυλλαβίαν. Τὸ βʹ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν εἰς τροχαικὴν συζυγίαν. Τὸ γʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, ὃ καλεῖται Φαλαίκειον· Φάλαικος γὰρ τούτου εὑρετής. ἔχει δὲ τὴν μὲν αʹ συζυγίαν ἀντισπαστικὴν ἢ καθαρὰν ἢ τρεπομένην εἰς τὰ δʹ τοῦ δισυλλάβου σχήματα, ὡς Ἡφαιστίων φησί, τὴν δὲ βʹ ἰαμβικήν, τὴν δὲ τελευταίαν ἀδιάφορον ἢ τροχαϊκὴν ἢ ἰαμβικήν. Τὸ δʹ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται Γλυκώνειον, ἐκ διτροχαίου ἢ ἐπιτρίτου. Τὸ εʹ ἰαμβικὸν μονόμετρον ὑπερκατάληκτον, τοῦ βʹ ἀναπαίστου. Τὸ ςʹ ὅμοιον τῷ δʹ. Τὸ ζʹ Ἰωνικὸν δίμετρον βραχυκατάληκτον ἀπὸ μείζονος, ἤτοι ἡμιόλιον. Τὸ ηʹ ὅμοιον τῷ δʹ καὶ ςʹ. Τὸ θʹ ὅμοιον τῷ ζʹ. Τὸ ιʹ περιοδικόν, ἐπίτριτος τροχαῖος. οἱ γὰρ δʹ τροχαῖοι ἐπίτριτον μέτρον καλοῦνται, ὡς οἱ γʹ ἡμιόλιον· περιοδικὸν δὲ διὰ τὸ μίσγεσθαι ἰάμβοις. ἐμοὶ δὲ δοκεῖ προσοδιακὸν δίμετρον

ἀκατάληκτον, ἐκ διτροχαίου διαλελυμένου καὶ χοριάμβου. Τὸ ια′ ὅμοιον τῷ ζ′ καὶ θ′. Τὸ ιβ′ ὅμοιον τῷ δ′. Τὸ ιγ′ ὅμοιον τῷ ζ′. Τὸ ιδ′ ἰαμβικὸν ἑφθημιμερές, τοῦ β′ ἀναπαίστου. Τὸ ιε′ ἐπιωνικὸν δίμετρον ἀκατάληκτον· καλοῦσι δὲ τοῦτο ἄτακτον διὰ τὸ μὴ ἔχειν τὴν α′ συζυγίαν τροχαϊκὴν ἀλλὰ ἰαμβικὴν καὶ μὴ ἐν τῇ α′ χώρᾳ τὸν σπονδεῖον ἀλλ' ἐν τῇ β′. Τὸ ις′ ἐπιωνικὸν καθαρὸν δίμετρον ἀκατάληκτον, καθαρὰν ἰαμβικὴν ἔχον τὴν α′ συζυγίαν. Ἐπὶ τῷ τέλει ἑκάστης στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. Περὶ τῶν κώλων τῶν ἐπῳδῶν. Αἱ ἐπῳδοὶ κώλων ι′. Τὸ α′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. Τὸ β′ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ α′ ἀναπαίστου. Τὸ γ′ ἀναπαιστικὸν δίμετρον καταληκτικὸν εἰς συλλαβήν, ἤτοι ἑφθημιμερές. Τὸ δ′ Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, καταλῆγον εἰς τροχαϊκὴν συζυγίαν. Τὸ ε′ δακτυλικὸν ἑφθημιμερές. Τὸ ϛ′ προσοδιακὸν τρίμετρον καταληκτικόν, τοῦ α′ Ἰωνικοῦ ἀπὸ μείζονος, τοῦ β′ χοριάμβου, τοῦ γ′ Ἰωνικοῦ ἀπ' ἐλάσσονος καταληκτικοῦ. τοῦτο καὶ ἀναπαιστικόν ἐστι δίμετρον ἀκατάληκτον, σπονδείου ἀρχομένου. Τὸ ζ′ ἐπιωνικὸν τρίμετρον βραχυκατάληκτον· ἐμοὶ δὲ τοῦτο ἀσυνάρτητον δοκεῖ, ἐξ ἰαμβικῆς συζυγίας. Τὸ η′ περιοδικόν, διπλοῦς τροχαῖος καὶ διπλοῦς ἴαμβος, ἤτοι δίμετρον ἀκατάληκτον. ἔχει δὲ ἀντὶ τροχαίων σπονδείους· διὸ καὶ ἐπιλαμβάνονται τούτου ὡς σπονδεῖον ἔχοντος ἐν περιττῇ συλλαβῇ· ἀνοίκειον γὰρ τοῦτο τῷ τροχαϊκῷ μέτρῳ. Τὸ θ′ Ἰωνικὸν δίμετρον βραχυκατάληκτον, ἤτοι ἡμιόλιον. ἔχει δὲ τὸν α′ πόδα παίωνα β′ ἀντὶ Ἰωνικοῦ. Τὸ ι′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐννεασύλλαβον, ὃ καλεῖται Σαπφικὸν, ἐκ τροχαίων ἀρχόμενον. πλεονάζει δὲ τοῦ Γλυκωνείου μιᾷ συλλαβῇ. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα. Pal. [40]

O 9 1 Οὗτος ὁ Ἀρχίλοχος πρὸ τῶν λυρικῶν ἦν, ὃς ἐφεῦρε τὸν Τήνελλα ὕμνον ᾄδεσθαι τοῖς νικηταῖς. οὗτινος ᾀσθέντος καὶ ἐπὶ τῷ παρόντι νικητῇ, βούλεται τοῦτον ἐγκωμιάσαι καὶ αὐτὸς ὁ ποιητής. διὸ λέγει· ἀρκετὸν μὲν ἐγένετο τῷ Ἐφαρμόστῳ ὁ ὕμνος τοῦ Ἀρχιλόχου ᾀσθεὶς εἰς αὐτὸν πρὸ τοῦ φθάσαι ἡμᾶς· ὅμως βούλομαι καὶ αὐτὸς ἐγκωμιάσαι αὐτόν. Th. Ἀρχίλοχος ἦν λυρικὸς ποιητής, ἐποίησε δὲ πρὸς τὸν Ἡρακλέα ὕμνον λέγοντα Καλλίνικε χαῖρε καὶ ἕτερ' ἄττα. ἐπειδὴ δὲ ἡ τῆς μουσικῆς φωνὴ ἄναρθρός ἐστιν, ἐμηχανήσατο αὐτὸς ἀπήχημά τι ταύτης ἔναρθρον ποιῆσαι, ὅπερ ἐστὶ τὸ Τήνελλα προσᾳδόμενον τῷ ὕμνῳ. ἐλέγετο δὲ ὁ ὕμνος ἐκ τρίτου πρότερον μὲν εἰς Ἡρακλέα ῥηθείς, ἐπικρατήσας δὲ ὕστερον καὶ εἰς τοὺς Ὀλυμπιονίκας λέγεσθαι, ὥσπερ καὶ ἐπὶ τῷδε τῷ Ἐφαρμόστῳ. λέγει οὖν Πίνδαρος, ὅτι τὸ μὲν μέλος τοῦ Ἀρχιλόχου ἐῤῥήθη τῷ Ἐφαρμόστῳ ἐν Ὀλυμπίᾳ νικήσαντι· νῦν δὲ ἐγὼ ὕμνοις αὐτόν τε καὶ τὸν ἐν Ὀλυμπίᾳ Δία κοσμήσω. ἔστι δὲ τὸ φωνᾶεν Ὀλυμπίᾳ διὰ μέσου· τὸ δὲ μέλος ἑρμηνεύει διὰ τοῦ τριπλόος ὁ καλλίνικος κεχλαδὼς οὕτω· τὸ μὲν Ἀρχιλόχου μέλος ὁ τριπλόος καὶ ἐκ τρίτου ᾀδόμενος καλλίνικος φωνᾶεν καὶ φωνηθὲν ἐν τῇ Ὀλυμπίᾳ τῷ Ἐφαρμόστῳ κωμάζοντι καὶ χαίροντι σὺν τοῖς φίλοις ἑταίροις παρὰ τὸν Κρόνιον λόφον ἤρκεσε καὶ ἀρκετὸν ἐφάνη ἁγεμονεῦσαι καὶ καθηγήσασθαι, τουτέστιν ἀρκεῖ προῤῥηθέν. ** Τὸ προοίμιον ἀπὸ τοῦ νικητοῦ. [20]

O 9 1g —ὁ διὰ μουσικῆς ὕμνος. * φωνηθέν· — ** τὸ φωνῆεν.

O 9 2g —ἐν τῇ. Germ.

O 9 3 Τὸ κεχλαδὰς ἀντὶ τοῦ ὁ εἰς κόρον ἐλθὼν τοῦ ἄδεος. χλιδᾶν γὰρ τὸ τρυφᾶν καὶ εἰς κόρον φέρεσθαι τοῦ τινος πράγματος. ἤγουν ἐκ τρίτου.

O 9 3g —ὁ δεχόμενος τὸ χαῖρε· — * εὐτυχήσας· — ** εὐτυχής. ἀρκετὸν ἐφάνη.

O 9 4g — * εἰς. —ἤτοι τὴν Ὀλυμπίαν. καθηγήσασθαι καὶ προῤῥηθῆναι.

O 9 6g χαίροντι καὶ πανηγυρίζοντι. Pal.

O 9 8 Ἑκαταβόλων] ἀπὸ τοῦ μακρὰν καὶ πανταχοῦ πέμπεσθαι τοὺς ὕμνους. μακρὰν πεμπόντων τὰ βέλη.

O 9 9g ἃ Μοῦσαί μοι ἔδωκαν. * ἐπί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 9 10g —τὸν πυρώδη ἀστραπὴν ἔχοντα. τὸ σεβάσμιον.

O 9 11g —ἔπελθε, ὦ στόμα. * ἤτοι τὴν Ὀλυμπίαν.

O 9 14g τὸ ἀκρωτήριον, ἀπὸ μέρους τὴν Πελοπόννησον. ἤτοι ἔλαβε παρ᾽ Οἰνομάου.

O 9 16g * προῖκα. πέμπε.

O 9 18g κἀνταῦθα γὰρ ἐνίκησεν. —ἤτοι ἔπαινον. M.

O 9 1-18 Τὸ μὲν μέλος, ὅπερ ὁ Ἀρχίλοχος συνέθηκεν ἐν Ὀλυμπίᾳ, τὸ φωνῆεν, ἤγουν τὸ μετεώρῳ φωνῇ ᾀδόμενον, λέγω ὁ καλλίνικος ὁ τριπλοῦς κεχληδώς· ἐπιῤῥηματικῶς τὸ τριπλοῦς ἀντὶ τοῦ ἐκ τρίτου· ἤτοι ὁ καλλίνικος ὁ ἐκ τρίτου κεχληδώς, τουτέστι τὸ χαῖρε δεχόμενος, ἤγουν τὸ μέλος τὸ καλλίνικε χαῖρε τὸ ἐκ τρίτου λεγόμενον, ἱκανὸν ἐγένετο κατὰ τὸν ὄχθον, ἀντὶ τοῦ τὸν λόφον τὸν Κρόνιον πρηγήσασθαι κωμάζοντι (6) τῷ Ἐφαρμόστῳ, ἤγουν τὴν ἐπὶ τῇ νίκῃ χορείαν τελοῦντι σὺν τοῖς ἑταίροις αὐτοῦ, τουτέστι τοῖς συνήθεσι, τοῖς προσφιλέσιν. ἀλλὰ νῦν (8), ὦ ψυχὴ δηλονότι, διὰ τόξων Μουσῶν πόῤῥω βαλλόντων, ἀντὶ τοῦ διὰ λόγων ἐγκωμιαστικῶν, οὓς αἱ Μοῦσαι παρέχουσι, πόῤῥω τὴν εὐφημίαν πεμπόντων, τὸν Δία τε τὸν τῆς πυρώδους καὶ λαμπρᾶς ἀστραπῆς αἴτιον ἐπίνειμαι, ἤγουν ἐπέξελθε, τόξευσον, τουτέστιν ὕμνησον τοιοῖσδε μέλεσιν, ἤτοι διὰ τοιούτων ποιημάτων, καὶ τὸ σεβάσμιον ἀκρωτήριον τῆς Ἤλιδος, ἤγουν τὴν Ὀλυμπίαν, ὕμνησον δηλονότι, ὅπερ (14) ποτὲ ὁ Πέλοψ ὁ ἥρως ὁ ἀπὸ τῆς Λυδίας ἐξήρατο, ἀντὶ τοῦ ἤρατο, ἤτοι ἔλαβεν, ἕδνον κάλλιστον, ἀντὶ τοῦ προῖκα καλλίστην τῆς Ἱπποδαμείας. βέλος δὲ γλυκὺ πτερωτόν, ἀντὶ τοῦ λόγον ἐγκωμιαστικὸν ἵει, ἤγουν πέμπε Πυθῶνάδε, τουτέστι πρὸς τὴν Πυθῶνα. μέμνηται δὲ καὶ τῆς Πυθῶνος, ἐπειδὴ καὶ ἐν αὐτῇ ἐνίκησεν ὁ Ἐφάρμοστος. ταπεινῶν καὶ φαύλων. [20]

O 9 20g * τοῦ Ἐφαρμόστου. — * ἐν. * τῇ μουσικῇ· — ** κιθάραν.

O 9 21g — * ᾄδων καὶ μέλη πλέκων. εἰ δὲ φόρμιγγα εἴποις αἰτιατικήν, τὸ ἐγχελίζων ἀντὶ τοῦ κρούων λάβῃς. πόλις μητρόπολις Λοκρίδος.

O 9 23g ἐπαινέσαις τὴν Ὀποῦντα. —τὸν πολίτην αὐτῆς Ἐφάρμοστον. Ὀποῦντα.

O 9 24g —ἡ δικαιοσύνη. — ** καί. — αὐτῆς. Th.

O 9 25 Σώτειρα Εὐνομί α ] σώζει γὰρ ἡ Εὐνομία τὰς πόλεις. λέγει δέ, ὅτι ἡ Ὀποῦς εὐνομίᾳ καὶ δικαιοσύνῃ χαίρει. θυγάτηρ δὲ ἡ Εὐνομία Δικαιοσύνης, ἐπειδὴ οἱ νόμοι δικαίου χάριν ἐτέθησαν. ἡ μεγάλα καλὰ δωρουμένη τοῖς ἔχουσιν.

O 9 27g σεμνύνεται ἡ Ὀποῦς. —ταῖς τοῦ Ἐφαρμόστου. — ** δύο σς εἰς τὸ ἴσσον χρὴ γράφειν ἵν᾽ εἴη τὸ ι μακρόν· ἔνθα δέ ἐστιν ἕν, βραχύ ἐστιν. ἤτοι ἐν Πυθίοις.

O 9 29g * εἰς τὴν Ὀλυμπίαν· — ** ἐν τῇ Ὀλυμπίᾳ. τῆς Ὀλυμπίας καὶ τῆς Πυθῶνος.

O 9 30g —ἤτοι στέφανοι. ὑψοῦσι, σεμνύνουσιν· οἱ γὰρ τοῦ πολίτου στέφανοι καὶ τῆς αὐτοῦ πόλεως γίνονται.

O 9 32g τὴν Ὀποῦντα. —τὴν ἀγλαοῖς θάλλουσαν δένδρεσιν, ὅπερ ἐστὶ γῆς ἀρετή. M.

O 9 18-32 Οὔτοι χαμαιπετέω ν ] μὴ δῆτα ἅψῃ λόγων χαμαὶ κειμένων, τουτέστιν ὑπτίων, εὐτελῶν· ἤγουν μὴ χρήσῃ εὐτελέσι λόγοις, ἐλελίζων, ἤτοι κινῶν φόρμιγγα ἐπὶ τοῖς παλαίσμασι τοῦ ἀνδρός, ἀντὶ τοῦ χάριν τῆς ἐν πάλῃ νίκης τοῦ ἀνδρὸς τοῦ ἐκ τῆς ἐνδόξου (22) Ὀποῦντος. αἰνήσαις, ἀντὶ τοῦ ἐπαίνεσον, ὕμνησον αὐτὴν τὴν πόλιν τὴν Ὀποῦντα καὶ τὸν υἱόν, ἀντὶ τοῦ τὸν πολίτην αὐτῆς, δηλονότι τὸν Ἐφάρμοστον, ἥντινα, ἤγουν τὴν πόλιν, λέλογχε, τουτέστιν εἰς κλῆρον ἔλαβεν, ἡ Θέμις, ἀντὶ τοῦ ἡ Δίκη, καὶ ἡ θυγάτηρ αὐτῆς ἡ τὰς πόλεις σώζουσα ἡ κατὰ πολὺ τιμία Εὐνομία. ἕπεται γὰρ τῇ δίκῃ τὸ καλῶς τοῖς νόμοις χρῆσθαι. θάλλει δὲ (27) αὐτὴ ἡ Ὀποῦς, ἤγουν λαμπρά ἐστιν ἐπ᾽ ἀρεταῖς, τουτέστιν ἐπ᾽ ἀριστείαις, τουτέστιν ἐπ᾽ ἀνδραγαθίαις ἐπίσης τε ἐν τῇ Κασταλίᾳ, ἤγουν ἐν τῇ Πυθῶνι καὶ πλησίον τοῦ ῥεύματος τοῦ Ἀλφειοῦ, ἤτοι καὶ ἐν τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀλυμπίᾳ· ὅθεν (30), ἤγουν ἀπὸ τῆς Κασταλίας καὶ τοῦ Ἀλφειοῦ, στεφάνων ἐξαίρετοι κόσμοι ἐπαίρουσι, τουτέστι μεγαλύνουσιν, ὑμνοῦσι τὴν Ὀποῦντα τὴν μητρόπολιν τῶν Λοκρῶν, τὴν περιᾳδομένην, τὴν ἀγλαόδενδρον, ἤγουν τὴν εὐθαλῶν δένδρων αὐξητικήν, τουτέστι τὴν εὔγειον. Germ.

O 9 33 Ἡ σύνταξις αὕτη· ἐγὼ δὲ ταύτην τὴν φίλην πόλιν ἐν ἀοιδαῖς μαλεραῖς καὶ ἐκδήλοις καὶ φωτειναῖς ἐπιφλέγων καὶ καταυγάζων καὶ μεγαλύνων καὶ λαμπρύνων, παντᾶ καὶ πανταχοῦ πέμψω ταύτην τὴν ἀγγελίαν καὶ τὴν αἴνεσιν καὶ θᾶσσον καὶ ταχύτερον τοῦ ἵππου τοῦ ἀγάνορος καὶ τῆς νηὸς τῆς ὑποπτέρου. τὴν Ὀποῦντα.

O 9 34g δίκην πυρὸς ἀστραπτούσαις. — * λαμπρύνων. — * ὕμνοις· — ** ᾠδαῖς. ἄγαν ἀνδρείου καὶ ἱππικωτάτου.

O 9 35g — * ταχύτερον. τῆς δίκην πτερῶν τὸ ἱστία ἐχούσης.

O 9 37g * τὸν ὕμνον ὃν πρὸς τὸν πολίτην αὐτῆς πλέκων καὶ αὐτὴν ἀΐδιον θήσω μέχρις ἂν παρ’ ἀνθρώποις ὦσι λόγοι. θείᾳ εὐτυχίᾳ.

O 9 39 Th. Φησὶν Ἡσίοδος ἐν Θεογονίᾳ μετὰ Μουσῶν εἶναι τὰς Χάριτας (Theog. 64)· πὰρ δ’ αὐταῖς Χάριτές τε καὶ Ἵμεροι οἰκί’ ἔχουσιν. θαυμασιώτατον.

O 9 39g —βόσκομαι. — * ἤγουν εἰ μετὰ Μουσῶν καὶ Χαρίτων τοὺς λόγους μεταχειρίζομαι. αἱ Μοῦσαι μετὰ Χαρίτων παρέσχον ἐμοί.

O 9 41g τὰ κάλλιστα περὶ λόγους. M.

O 9 33-41 Ἐγὼ δὲ τὴν προσφιλῆ ἐμοὶ πόλιν ταύτην τὴν Ὀποῦντα φλέγων, ἀντὶ τοῦ λαμπρύνων ᾠδαῖς μαλεραῖς, τουτέστι λαμπραῖς, ταχύτερον καὶ ἵππου ἀγάνορος, ἤτοι πάνυ γενναίου (ἀπὸ μεταφορᾶς τῶν ἀνδρῶν· ὁ ἀγήνωρ γὰρ ἐπὶ ἀνθρώπων λέγεται κυρίως καὶ ἔστι ταὐτὸν τῷ ἀνδρεῖος· ἵπποι δὲ λέγονται κατὰ τοῦτο γενναῖοι καὶ ἀγέρωχοι καὶ εὔψυχοι) καὶ νηὸς ὑποπτέρου, ἀντὶ τοῦ ταχυτάτης, θᾶττον πέμψω πανταχόσε ταύτην τὴν ἀγγελίαν (37) τὴν περὶ τῶν ἀνδραγαθημάτων, αὐτῆς δηλονότι καὶ τῆς εὐνομίας, εἰ σύν τινι μοιριδίῳ· δύναται τὸ εἰ ἐνταῦθα καὶ ἀντὶ τοῦ ἐπεὶ λαμβάνεσθαι καὶ διστακτικῶς, ἄμεινον δὲ τὸ δεύτερον· εἰ σὺν παλάμῃ τινί, ἀντὶ τοῦ βοηθείᾳ μοιριδίῳ, τουτέστι μοίρας κρείττονος, κῆπον ἐξαίρετον καρποῦμαι Χαρίτων, ἀντὶ τοῦ δύναμιν λόγων, ἣν Χάριτες ἐφορῶσι, τουτέστι Χαρίτων μετέχουσαν. κεῖναι γὰρ (40), ἤγουν αἱ Χάριτες παρέσχον τοῖς ἀνθρώποις τὰ τέρψιν ἐμποιοῦντα. κατὰ φρόνησιν καὶ ἀνδρείαν.

O 9 42g κατὰ τὴν τῶν θεῶν βούλησιν. Th.

O 9 43 Τραχίνιόν τινα ἀνελὼν Ἡρακλῆς προστάξαντος Ἀπόλλωνος ἔρχεται εἰς Νηλέα τὸν Ποσειδῶνος, ἵνα ὑπ’ αὐτοῦ καθαρθείη τοῦ φόνου. μὴ βουληθέντος οὖν τοῦ Νηλέως πόλεμον συνέστησε πρὸς αὐτὸν Ἡρακλῆς καὶ πρὸς τὸν τούτου πατέρα Ποσειδῶνα τῷ παιδὶ συμμαχοῦντα. εἰ μὴ τοῦτό ἐστιν ὅ φημι.

O 9 44g τοῦ τρίαιναν ἔχοντος Ποσειδῶνος. * ῥᾶβδον.

O 9 45g — * ἐκίνησε. ἧς ἦρχε Νηλεὺς ὁ Νέστορος πατήρ.

O 9 47g ἐπίεζεν αὐτὸν· — ἐμάχετο αὐτῷ. — ** ὁ. Germ.

O 9 48 Τὸ ἀργυρέῳ τόξῳ πολεμίζων ἀντὶ τοῦ· ἐλθὼν ὁ Ἡρακλῆς ἐν τῇ Πυθῶνι καὶ ἀκούσας μὴ χρησμὸν διδόναι τὸν θεόν, διὰ τὴν ἀνηκοΐαν τὴν εἰς αὐτὸν ἀφείλατο τὸν τρίποδα ἐναντιούμενος τῷ θεῷ. Th. Ἐλθὼν εἰς Πυθίαν Ἡρακλῆς ὑπέρ του χρησόμενος τῷ Ἀπόλλωνι ἤκουσε παρὰ τῆς Πυθίας μὴ εἶναι τὸν θεὸν ἐνταῦθα μηδὲ μαντεύεσθαι. ὀργισθεὶς οὖν ἐπὶ τούτῳ τὸν τρίποδα λαβὼν ἔρριψεν ὥσπερ μάχην ἐντεῦθεν ἀνταίρων πρὸς τὸν θεόν. * ἐπίεζεν· — ἐμάχετο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 9 48g — ** καί. —τὸν Ἡρακλέα. — ** συνίζησις. Th.

O 9 50 Ἐπολέμησε δὲ πρὸς τὸν Ἅιδην, ὅτε ἀπελθὼν τὸν Κέρβερον λαβεῖν ἐκωλύετο παρ’ αὐτοῦ. λέγει οὖν, πῶς ἂν Ἡρακλῆς τοῦτο ἐποίησε, μὴ ὑπὸ Διὸς τοιοῦτος γεγονώς; ** ὁ Ἀπόλλων.

O 9 50g —πρὸς Ἡρακλῆ. Th.

O 9 52 Δέον εἰπεῖν βροτῶν πρὸς τὸ θνησκόντων βρότεα εἶπε πρὸς τὰ σώματα. ἀνθρώπινα.

O 9 52g — * ἐν· — ** ἐν ᾗ. — ** καταβιβάζει. εὐρύχωρον τόπον τοῦ Ἅιδου· — ** ἤτοι τὴν δίοδον, τὸν στενωπόν.

O 9 54 Th. Τὸ μοι οὐκ ἔστι πρὸς τὸ στόμ α , ὡς οἴονταί τινες, ἀλλ’ ἔστι πρὸς τὸ ῥίψο ν , καὶ ἔστιν ὅμοιον τῷ ἀφαιρῶ σοι τὴν νόσο ν . τὸν περὶ τῶν θεῶν.

O 9 56g ἀτιμάσαι. κακή ἀπρεπῶς καὶ μετὰ μνήμης θεῶν.

O 9 59 Germ. Ὑποκρέκειν τὸ γαληνίως ὑπᾴδειν. ἔνεστι δὲ τόδε, ὁπότε ὁ μουσικὸς ῥυθμίζει τὰς τούτου χορδάς. ὑπηχεῖ, τουτέστι μανίας ἐγγύς ἐστιν.

O 9 41-59 M. Ἀγαθοὶ δὲ ἐγένοντο ἄνδρες, ἤγουν ἀνδρεῖοι καὶ σοφοί, τουτέστι φρόνιμοι κατὰ δαίμονα, ἀντὶ τοῦ κατὰ μοῖραν θείαν. ἐπεὶ εἰ μὴ ἐγένοντο δηλονότι κατὰ μοῖραν θείαν φρόνιμοι καὶ ἀνδρεῖοι, πῶς ἂν ὁ Ἡρακλῆς ἐναντίον τῆς τριαίνης τοῦ Ποσειδῶνος ἐτίναξεν, ἤγουν σὺν σφοδρᾷ ὁρμῇ ἐκίνησε διὰ τῶν χειρῶν τὴν σκυτάλην, τουτέστι τὴν ῥάβδον, τὸ ῥόπαλον, ὁπηνίκα (46) ὁ Ποσειδῶν στὰς ἤρειδεν, ἀντὶ τοῦ ἐπίεζεν αὐτὸν ἀμφὶ τὴν Πύλον, ἀντὶ τοῦ κατὰ τὴν Πύλον, ἐπίεζέ τε αὐτὸν ὁ Φοῖβος δι’ ἀργυροῦ τόξου πολεμῶν αὐτῷ δηλονότι. οὐδὲ ὁ Ἅιδης (50) εἶχεν ἀκίνητον, ἤγουν ἀνενέργητον τὴν ἑαυτοῦ ῥάβδον, δι’ ἧς κατάγει τὰ σώματα τῶν ἀνθρώπων εἰς τὴν ἀγυιάν, ἤτοι τὴν δίοδον, τὸν στενωπὸν τὸν κοῖλον τῶν ἀποθνησκόντων, τουτέστι τὰς καταδύσεις τῆς γῆς, ἃς οἱ ἀποθνήσκοντες διέρχονται. συνάπτει μὲν τὴν μάχην τῶν θεῶν τούτων τὴν πρὸς τὸν Ἡρακλῆ, ἀντιτάττει δὲ αὐτὸν τῇ τριαίνῃ μόνῃ τοῦ Ποσειδῶνος, ἀφ’ ἧς συνυπακούειν δίδωσι καὶ τὴν πρὸς τοὺς ἄλλους αὐτῷ ἀντιπαράταξιν καὶ ἰσχύν. ὁ γὰρ λόγος αὐτῷ σαφέστερον οὕτως ἔχει· ἐπεὶ πῶς ἂν ὁ Ἡρακλῆς ἐναντίον τῆς τριαίνης τοῦ Ποσειδῶνος τὸ ἑαυτοῦ ῥόπαλον ἐκίνησεν, ὁπηνίκα ὁ Ποσειδῶν ἐπίεζεν αὐτὸν καὶ ὁ Φοῖβος καὶ ὁ Ἅιδης διὰ τῆς ἑαυτοῦ ῥάβδου; ἀγανακτῶν δὲ πρὸς τοῦτον τὸν λόγον ὡς προσκρούοντα τοῖς θεοῖς ἀναστέλλει ἑαυτὸν μὴ λέγειν τοιαῦτα καί φησιν· ἀπόῤῥιψον (54), ἤγουν ὡς βάρος ἀπόθου, ὡς ἐπιβλαβῆ ἔασον τοῦτον τὸν λόγον, ὦ στόμα ἐμόν· ἐπεὶ τό γε λοιδορῆσαι θεούς, τουτέστι τὸ βλάσφημα περὶ θεῶν εἰπεῖν, ἐχθρὰ σοφία, ἤγουν μεμισημένη, καὶ τὸ καυχᾶσθαι ἔξω τοῦ καιροῦ (τοῦτο δέ φησιν ἐπεὶ Χαρίτων κῆπον εἶπε νέμεσθαι) μανίαις ὑποκρέκει, ἀντὶ τοῦ συνᾴδει, τουτέστι μανίᾳ ἐστὶν ἴσον. Germ. [25]

O 9 60 Καλῶς εἶπε τὸ λαλάγε ι , ἐπεὶ τὸ λαλαγεῖν καὶ ἐπὶ τῶν βακχευμάτων. βόα, λέγε.

O 9 61g ῥῖψον. — ** καί. * μακράν.

O 9 62g — * φέρε. Germ.

O 9 64 Παρεκέντρισε δὲ τὸ αἰολοβρόντα παραδηλῶν ὡς μετὰ τὸν κατακλυσμὸν ἐκ τοῦ Παρνασοῦ κατέβαν· ὡς καὶ ὄπισθεν εἶπε Διὸς ξενίο υ , παραδηλῶν τὴν Αἴγιναν ξενοδόχον, ὡσαύτως καὶ Ζηνὶ γενεθλίῳ (Ol. VIII. 20), παραδηλῶν ὡς παῖδες ὄντες ἐνίκησαν. τῇ Ὀποῦντι. [5]

O 9 64g — * ὅπου· — ** ὅπου ἤγουν ἐν τῇ Ὀποῦντι. — * τοῦ ποικίλα βροντῶντος. ἐν μοίρᾳ.

O 9 66g ** κατὰ τὸν χρόνον τούτων κατακλυσμὸς ἐγένετο. ὅρους.

O 9 67g —κατελθόντες. οἴκησιν.

O 9 68g — ** ἐποίησαν τὴν ἀρχήν. συνουσίας.

O 9 69g —ὁμόφυλον. Th.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 9 70 Τὸν ἐπὶ τῷ Νῶε κατακλυσμὸν Ἕλληνες ἐξ ἡμῶν κεκλοφότες οὕτω φασί· Διὸς τὴν γῆν κατακλύσαντος Δευκαλίων καὶ Πύῤῥα ἔν τινι κιβωτίῳ εἰσελθόντες μετεωρίσθησαν ὑπὸ τοῦ ὕδατος ὑπεράνω τοῦ Παρνασοῦ, κατὰ δέ τινας ὄρους Λυκορὶ καλουμένου· πεπαυμένου δὲ τοῦ ὕδατος ἐξελθόντες τοῦ κιβωτίου προσετάχθησαν ὑπὸ τοῦ Διὸς τὰ τῆς μητρὸς αὐτῶν ὀστᾶ ὄπισθεν ῥίπτειν· οὐκ ἄλλην δὲ ἢ τὴν γῆν μητέρα ὑποτοπήσαντες, λίθους λαβόντες ὄπισθεν αὐτῶν ἔῤῥιπτον· καὶ οὓς μὲν ἡ Πύῤῥα ἔῤῥιπτε γυναῖκες, οὓς δὲ Δευκαλίων ἄνδρες ἐγένοντο. ὅθεν ἐστὶ καὶ τὸ λαὸς ὄνομα· λᾶς γὰρ ὁ λίθος. * ἐκτίσαντο.

O 9 70g —ἤγουν ἐκ λίθων γεννηθέντα. ** λαοί] διὰ τὸ μέτρον.

O 9 71g —ὠνομάσθησαν οἱ γεννηθέντες. M.

O 9 60-71 Μὴ νῦν, ὦ στόμα δηλονότι, λαλάγει, ἤγουν λήρει τὰ τοιαῦτα· ἔα πάντα πόλεμον καὶ πᾶσαν μάχην χωρίς, ἤτοι μακρὰν τῶν θεῶν· φέροις δέ, ἀντὶ τοῦ φέρε, κίνει, τὴν γλῶσσαν πρὸς τὸ ἄστυ τῆς Πρωτογενείας τῆς θυγατρὸς τοῦ Ὀποῦντος, τοῦ καὶ Δευκαλίωνος. ὅπου (64), ἤγουν ἐν τῇ Ὀποῦντι, ἡ Πύῤῥα καὶ ὁ Δευκαλίων ἀπὸ τοῦ Παρνασοῦ καταβάντες, τῇ αἴσῃ, ἀντὶ τοῦ τῇ προστάξει, τῇ βουλῇ τοῦ Διὸς τοῦ αἰολοβρόντου, ἤγουν τοῦ τῶν ταχέως κινουμένων βροντῶν αἰτίου οἶκον (68) ἐποίησαν τὴν ἀρχήν. χωρὶς δὲ συνδυασμοῦ γενεὰν ἐκτησάσθην, ἤγουν ἐκτήσαντο, ἔσχον, λιθίνην, τουτέστιν ἀπὸ λίθων. ὁμόδημον, ἤτοι ὁμογενῆ. λαοὶ δὲ ὠνομάσθησαν, ἡ γενεὰ δηλονότι· πρὸς τὸ σημαινόμενον ἡ ἀπόδοσις. Germ.

O 9 72 Ὁ νοῦς· ἔγειρε, παῦσον· τὸ γὰρ ἵστασθαι παῦσίς ἐστι. § ἐπέων φησὶν οἶμον ὁδὸν ἢ ᾠδήν, ᾆσμα, προοίμιον. Th. Λέγει, ὅτι ἐατέον τοὺς περὶ τούτου λόγους. ἔστι δὲ ἡ τοιαύτη σύνταξις ὁμοία τῇ ἄνω, τῷ Ἀπό μοι λόγον τοῦτον, στόμα, ῥίψον. οὕτω δὲ παραιτούμενος λέγειν περὶ τούτων πάλιν ἐπιχειρεῖ λέγειν. δέον δὲ λιγέως εἰπεῖν ἀντὶ τοῦ ταχέως ἔγειρε, λιγὺν εἶπε πρὸς τὸν ὕμνο ν . ἀνίστα καὶ πόῤῥω φέρε.

O 9 72g —αὐτοῖς, τῇ Πύῤῥᾳ καὶ τῷ Δευκαλίωνι. — * ἀκολουθίαν. Th.

O 9 73 Τὸ αἴνει καὶ πρὸς τὸ ἄνθεα λάμβανε. αἴνει δὲ ἄνθεα νεωτέρων ὕμνων, ἤτοι νεωτέρους ὕμνους, περιφραστικῶς. λέγει δέ, ὅτι τὸ τὰ νέα ὑμνεῖν κρεῖττον. ποταπόν; ὀξύν.

O 9 73g —κρείττων γὰρ τοῦ νέου. ἤγουν ὕμνους, περιφραστικῶς.

O 9 75g ** λέγουσι. — * δέ. μηχαναῖς καὶ βουλαῖς.

O 9 78g — * ἀνάποσιν· — ** ἀνάπωσιν. τὸ ὕδωρ.

O 9 79g — ** τουτέστι τὸ πλῆθος τοῦ ὕδατος λαβεῖν. — λαβεῖν, ἀφανίσαι. M.

O 9 72-79 Ἔγειρ᾽ ἐπέων, ἀντὶ τοῦ κίνησον, ὦ στόμα, χάριν αὐτῶν, τῶν Ὀπουντίων δηλονότι τῶν ἀπὸ τοῦ Δευκαλίωνος ὁδὸν ἐπῶν λιγεῖαν, ἤγουν ἐμμελῆ· ἐπαίνει δὲ οἶνον μὲν πολυετῆ, ἄνθη δέ, ἀντὶ τοῦ ἀνθηρότητα, λαμπρότητα ὕμνων νεωτέρων, τουτέστι καινοτέραν ὁδὸν ἐχόντων. λέγουσι (75) δὴ κατακλύσαι μέν, ἤγουν καταποντίσαι, καλύψαι τὸ σθένος τοῦ ὕδατος, ἀντὶ τοῦ τὸ ὕδωρ περιφραστικῶς, τὴν γῆν τὴν μέλαιναν, ἀλλὰ διὰ τῶν τεχνῶν τοῦ Διός, ἤγουν τῶν μηχανῶν, τῶν δυνάμεων, ἀνάπωσιν λέγουσιν ἐξαίφνης, ἤγουν ἀναῤῥόφησιν, συστολὴν τῆς ἀναχύσεως καὶ εἰς τὴν γῆν αὖθις κατάδυσιν λαβεῖν τὸ ἄντλον, τουτέστι τὸ πλῆθος τοῦ ὕδατος. τῆς Πύῤῥας καὶ τοῦ Δευκαλίωνος.

O 9 80g πολεμικώτατοι. —οἱ σοί, ὦ Ἐφάρμοστε. Pal.

O 9 81 Ἰαπετὸς ἐγέννησε Προμηθέα καὶ Ἐπιμηθέα. ἐκ γοῦν τοῦ Προμηθέος ἐγεννήθη Δευκαλίων, ἐκ δὲ τοῦ Ἐπιμηθέος τοῦ καὶ Ὀποῦντος ἐγεννήθη ἡ Πύῤῥα, ἐκ δὲ τῆς Πύῤῥας καὶ Δευκαλίωνος ἡ Πρωτογένεια. ἐκ ταύτης δὲ καὶ τοῦ Διὸς ὁ Ὀπούς, ἀφ᾽ οὗ ἡ πόλις Ὀπούς, μητρόπολις τῶν Λοκρῶν. Th. Ἰαπετοῦ παῖδες Προμηθεὺς καὶ Ἐπιμηθεύς. Προμηθέως καὶ Κλυμένης Δευκαλίων ὁ καὶ Ὀποὺς καλούμενος, Ἐπιμηθέως καὶ Πανδώρας Πύῤῥα, Πύῤῥας δὲ καὶ Δευκαλίωνος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πρωτογένεια, ἣν ἔγημε Λοκρός. διὰ δὲ τὸ μὴ ποιεῖν ὑπ’ αὐτοῦ παῖδα, ἵνα μὴ χωρὶς διαδόχου θάνῃ Λοκρός, ἁρπάζεται Πρωτογένεια ἐκ Διός, ᾗ συνελθὼν ἐν τῷ Μαινάλῳ ὄρει τῆς Ἀρκαδίας καὶ ἐγκύμονα ποιήσας ἐπανάγει πάλιν αὐτὴν πρὸς Λοκρόν, ὃς τὸ γεννηθὲν ὑπ’ αὐτῆς παιδίον Ὀποῦντα ἐκάλεσε, συνώνυμον Ὀποῦντι τῷ καὶ Δευκαλίωνι, τῷ Πρωτογενείας πατρί. ἐξ ἀρχῆς.

O 9 81g —ἀπὸ τῆς τοῦ Ἰαπετοῦ. * γενεᾶς.

O 9 82g —παῖδες. —θυγατέρων. καλλίστων.

O 9 83g —τοῦ Ὀποῦντος τοῦ ὑπὸ τοῦ Κρόνου παιδὸς Διὸς σπαρέντος. αὐτόχθονες καὶ οὐ μετανάσται.

O 9 79–84 M. Κείνων δ ’ ἔσσα ν ] τοῦτο πρὸς τὸν Ἐφάρμοστον. ἐξ ἐκείνων δὲ ἦσαν ἀρχῆθεν οἱ ὑμέτεροι ἀντὶ τοῦ οἱ σοὶ πρόγονοι οἱ χαλκάσπιδες, τουτέστιν οἱ πολεμισταί, λέγω τῆς γενεᾶς τῆς ἀπὸ τοῦ Ἰαπετοῦ καταγομένης κοῦροι (82), ἤγουν παῖδες, ἀπόγονοι, τῶν κορῶν τε, ἀντὶ τοῦ τῆς κόρης, ἤγουν τῆς Πρωτογενείας, καὶ τῶν ἀρίστων Κρονιδῶν, ἀντὶ τοῦ καὶ τοῦ ἀρίστου υἱοῦ τοῦ Κρόνου τοῦ Διός, ἐγχώριοι βασιλεῖς αἰεί, ἤγουν γνήσιοι βασιλεῖς καὶ οὐκ ἐπείσακτοι κατὰ διαδοχήν. * ὁ τοῦ οὐρανοῦ βασιλεὺς Ζεύς.

O 9 86g θυγατέρα· — ** παῖδα γράφε διὰ τὸ μέτρον, οὐχὶ θύγατρ α , καὶ Ὀποῦντο ς , οὐ μὴν Ὀπόεντο ς . —Ἠλείων, ἤτοι τῆς Ὀποῦντος. * τοῦ καὶ Δευκαλίωνος καλουμένου.

O 9 87g —ἥσυχος. ἐν Ἀρκαδίᾳ τὸ Μαίναλον ὄρος.

O 9 89g * ἐξοχαῖς. —ἔφερεν αὐτήν. * τῷ ἀνδρὶ αὐτῆς.

O 9 90g —καταβάλοι αὐτόν. ὁ τῆς ζωῆς αὐτοῦ χρόνος.

O 9 91g —θάνατον. —ἐνεγκών. ποταπόν; ἐστερημένον.

O 9 92g —ἤτοι παιδός, διαδόχου. ἡ Πρωτογένεια.

O 9 94g — ** ἐχάρη. — ** καί. — ** θεασάμενος. ὁ Λοκρός.

O 9 95g —ὄντα. Pal.

O 9 96 Προσέταξε, φησί, καλεῖσθαι τὸ βρέφος ὁ Λοκρὸς τῷ ὀνόματι τοῦ πρὸς μητρὸς αὐτοῦ πάππου Ὀποῦντος, βασιλέως τῶν Ἠλείων. ἢ κατά τινας· προσέταξε καλεῖσθαι αὐτό, τὸ βρέφος, Ὀποῦντα τῷ ὀνόματι τοῦ πρὸς μητρὸς αὐτοῦ τῆς Πρωτογενείας πάππου Ἐπιμηθέως τοῦ καὶ Ὀποῦντος. Germ. Μάτρως ὁ ἀπὸ μητρὸς πάππος, πάτρως δὲ ὁ πρὸς πατρός. οἱ μὲν οὖν ἄλλοι ποιηταὶ μάτρωας τοὺς τῆς μητρὸς ἀδελφούς, ὁ δὲ νῦν ποιητὴς τὸν πατέρα τῆς μητρός. τοῦ πάππου Ὀποῦντος.

O 9 96g —τὸν παῖδα. ὁμώνυμον.

O 9 97g —εἶναι. ἐξοχώτατον.

O 9 98g —τῷ τοῦ σώματος κάλλει. τοῖς ἐκ χειρῶν.

O 9 99g —τὴν ἀπ’ αὐτοῦ κληθεῖσαν Ὀποῦντα. * παρέσχεν αὐτῷ.

O 9 100g —τὸν ἐν αὐτῇ. —διεξάγειν καὶ βασιλεύειν. M.

O 9 85–100 Πρὶν Ὀλύμπιο ς ] πρότερον, τὴν ἀρχήν, ὁ βασιλεὺς ὁ ἐν τῷ Ὀλύμπῳ ὁ Ζεὺς τὴν θυγατέρα τοῦ Ὀποῦντος τοῦ καὶ Δευκαλίωνος ἀναρπάσας, ἤγουν μετέωρον εἰς τὸν ἀέρα λαβὼν λάθρα (τοῦτο γὰρ τὸ ἕκηλος) ἀπὸ τῆς γῆς τῶν Ἐπειῶν, τουτέστι τῶν Ἠλείων (Ἐπειοὶ γὰρ οἱ Ἠλεῖοι ὠνομάσθησαν ἀπὸ Ἐπειοῦ τοῦ Ἐνδυμίωνος) ἐμίγη (88) αὐτῇ ἐν ταῖς ἐξοχαῖς ταῖς Μαιναλίαις, ἤγουν ταῖς τοῦ Μαινάλου· ὄρος δὲ Ἀρκαδίας τὸ Μαίναλον· καὶ ἤνεγκε τῷ Λοκρῷ τῷ ἀνδρὶ αὐτῆς, ἵνα μὴ καθέλοι αὐτόν, τὸν Λοκρὸν δηλονότι, ἤγουν καταστρέψειεν ὁ αἰών, ἀντὶ τοῦ ὁ χρόνος, ἐστερημένον (92) γενεᾶς, πότμον ἐφάψας, ἤγουν συντυχίαν θανάτου ἐπαγαγών. ἔχεν δὲ ἀντὶ τοῦ ἔσχε σπέρμα μέγιστον, ἀντὶ τοῦ υἱὸν ἀπὸ σπέρματος μεγίστου ἡ γυνὴ τοῦ Λοκροῦ ἡ

Πρωτογένεια· εὐφράνθη τε ὁ ἥρως, ἤγουν ὁ Λοκρός, ἰδὼν υἱὸν τῇ ἀληθείᾳ μὲν ὄντα θετόν, ἀντὶ τοῦ νόθον, ὑπ’ αὐτοῦ δὲ γνήσιον νομιζόμενον, ὠνόμασε δὲ αὐτὸν οὕτως ὥστε (97) εἶναι ἰσώνυμον, ἀντὶ τοῦ ὁμώνυμον τοῦ μάτρωος αὐτοῦ, ἤγουν τοῦ πρὸς μητρὸς αὐτοῦ πάππου, τουτέστιν Ὀποῦντα ὠνόμασεν αὐτόν (ἰστέον δέ, ὅτι παρὰ τὴν συνήθειαν τῶν ἄλλων ἐδέξατο ἐνταῦθα οὗτος τὸ ὄνομα· μήτρων γὰρ οἱ ἄλλοι τὸν πρὸς μητρὸς λέγουσι θεῖον) ἄνδρα ὑπέρφατον, γενόμενον δηλονότι αὐτὸν τὸν Ὀποῦντα, ἤγουν ὑπερβολικῶς θαυμαστὸν κατά τε τὴν μορφήν, τουτέστι τὸ εἶδος, καὶ κατὰ τὰ ἔργα, ἤγουν τὰς πράξεις. τὴν πόλιν δέ, τὴν Ὀποῦντα δηλονότι, καὶ τὸν λαὸν αὐτοῦ παρέσχεν αὐτῷ ὁ Λοκρὸς δηλονότι διαιτᾶν, ἤγουν διοικεῖν. διὰ τὴν αὐτοῦ φήμην· — ** διὰ τὸ μέτρον συστέλλεται.

O 9 101g —αὐτῷ. — ** Ἰωνικῶς. τῶν ἐπελθόντων ξένων.

O 9 105g τῶν ξένων τῶν κατοικησάντων τὴν Ὀποῦντα. Μενοίτιος ἐξ Ἄκτορος καὶ Αἰγίνης.

O 9 107 Th. Οἱ Ἕλληνες ὅτε εἰς Τροίαν ἐστράτευον, προσώκειλαν ἐν Μυσίᾳ καὶ νομίζοντες ταύτην εἶναι τὴν Τροίαν ἐδῄουν. ὁ οὖν ταύτης βασιλεὺς Τήλεφος ἀμυνόμενος ὑπὲρ τῆς χώρας μάχην συνῆψε τοῖς Ἕλλησιν, ἧς καρτερᾶς γενομένης οἱ μὲν ἄλλοι πάντες Ἕλληνες εἰς ναῦς ἀνεχώρησαν, μόνος δὲ Πάτροκλος σὺν τῷ Ἀχιλλεῖ ἐμάχετο. τοῦ Μενοιτίου ὁ Πάτροκλος.

O 9 108g οὗτος γὰρ πρῶτος ἐβασίλευσε Μυσίας. —τὴν Μυσίαν. —ἐλθών· ἐνόμιζον γὰρ Ἕλληνες ταύτην εἶναι τὴν Τροίαν· — ἀπελθών. ἰσχυροτάτους.

O 9 110g —τοὺς Ἕλληνας. εἰς τροπὴν ἀγαγών.

O 9 111g —ταῖς θαλασσίαις. —ἤτοι ταῖς ναυσὶν αὐτῶν. Th.

O 9 113 Ὥσ τ ’ ἔμφρονι δεῖξα ι ] ἤγουν· ἐπεὶ Πάτροκλος ἔστη σὺν Ἀχιλλεῖ τῶν ἄλλων Ἑλλήνων τραπέντων, πᾶς ἀνὴρ νουνεχὴς ἔγνω ἂν ἰδών, ὅτι Πάτροκλος ἔξοχος ἦν τὰ εἰς μάχην. * φρονίμῳ.

O 9 114g γνῶναι. — * ἰσχυρόν. γνώμην καὶ προθυμίαν εἰς τὰ πολεμικά.

O 9 115 — * ὁ Ἀχιλλεύς. ἐν τῷ ὀλεθρίῳ πολέμῳ.

O 9 116g —αὐτόν. παρήγγειλε.

O 9 118g τῆς αὐτοῦ. —μακράν. —τάττεσθαι. τῆς τοὺς παραπεσόντας αὐτῇ βροτοὺς δαμαζούσης.

O 9 101-119 M. Ἀφίκοντο δὲ πρὸς αὐτόν, ἤγουν τὸν Ὀποῦντα, ξένοι καὶ ἐκ τοῦ Ἄργους καὶ ἐκ τῶν Θηβῶν καὶ Ἀρκάδες, οἱ δὲ καὶ ἀπὸ τῆς Πίσης, ἤγουν Ἠλεῖοι. ἀπὸ τῶν ἐποίκων δέ, τουτέστι τῶν ξένων τῶν κατοικησάντων ἐν τῷ βασιλευομένῳ ὑπ’ αὐτοῦ τόπῳ, τὸν Μενοίτιον ἐτίμησεν ἐξόχως, τὸν υἱὸν τοῦ Ἄκτορος καὶ τῆς Αἰγίνης, οὗτινος (107), τουτέστι τοῦ Μενοιτίου ὁ υἱός, ὁ Πάτροκλος δηλονότι, ἅμα τοῖς Ἀτρείδαις ἀπελθὼν εἰς τὴν γῆν τοῦ Τεύθραντος, ἤγουν εἰς τὴν Μυσίαν (ἣν τοῦ Τεύθραντος λέγει διὰ τὸ ἄρξαι αὐτῆς ποτε τὸν Τεύθραντα, τότε δὲ ἐπ’ αὐτῇ ὁ Τήλεφος ἐβασίλευε) μόνος ἔστη σὺν τῷ Ἀχιλλεῖ, ὅτε ὁ Τήλεφος τρέψας τοὺς Δαναοὺς τοὺς ἀλκήεντας, ἤγουν τοὺς ἰσχυρούς, τοὺς γενναίους, ἐνέβαλεν εἰς τὰς πρύμνας τὰς θαλασσίας, ἀντὶ τοῦ εἰς τὰς ναῦς τὰς ἐν τῇ θαλάσσῃ τὴν διατριβὴν ποιουμένας· ὥστε (113) δεῖξαι αὐτὸς ὁ Πάτροκλος τῷ φρονίμῳ μαθεῖν τὸν νοῦν τοῦ Πατρόκλου, ἀντὶ τοῦ τὸν ἑαυτοῦ, τὸν βιατήν, ἤγουν τὸν γενναῖον, τὸν ἀνδρεῖον (ἀπὸ τοῦ βία, ἡ ἰσχύς) ἀφ’ οὗ χρόνου παρηγορεῖτο (117), ἀντὶ τοῦ παρῄνει, ἔλεγεν αὐτῷ ὁ υἱὸς τῆς Θέτιδος ὁ Ἀχιλλεύς, μηδέποτε ταξιοῦσθαι, τουτέστι παρατάττεσθαι αὐτὸν ἐν τῷ πολέμῳ τῷ ὀλεθρίῳ χωρὶς τῆς αἰχμῆς τῆς σφετέρας, ἀντὶ τοῦ τῆς ἑᾶς, τουτέστι τῆς ἑαυτοῦ, τῆς δαμασιμβρότου, ἤγουν τῆς τοὺς ἄνδρας κτεινούσης. Th.

O 9 119 Εἴην εὑρεσιεπή ς ] ἤγουν εἴθε τοιαύτας ἱστορίας εὑρίσκοιμι, ἵνα ἐποχούμενος τῷ παρὰ τῶν Μουσῶν δοθέντι μοι δίφρῳ, λέγω δὴ τῇ ποιητικῇ, ἁρμοδίως τῇ παρούσῃ ὑποθέσει ποιῶμαι τοὺς λόγους. τοῦτο δὲ λέγει, ἐπειδὴ καὶ ὁ Πάτροκλος Ὀπούντιος ἦν ὥσπερ καὶ Ἐφάρμοστος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ δὲ ἐναγεῖσθαι τὸ ἐν πρὸς τὸ δίφρῳ συναπτέον, οὕτως· ἐν τῷ δίφρῳ τῶν Μουσῶν ἡγεῖσθαι καὶ προέρχεσθαι. Pal.

O 9 120 Ὡς πρὸς τοὺς παρεστῶτας λέγει. ἐφευρετικὸς τοιούτων ἱστοριῶν.

O 9 120g —ἐποχεῖσθαι, προέρχεσθαι εἰς τὸν τοῦ Ἐφαρμόστου ἔπαινον. ἁρμόδιος τῇ παρούσῃ ὑποθέσει, ἤγουν τῇ ποιήσει.

O 9 121g — ** ἅρματι. ἤγουν πρόθυμος εἴην εἰς τὸ ὑμνεῖν καὶ λόγων εὔπορος.

O 9 123g ἐν φιλίᾳ αὐτοῦ τῇ πρὸς Ἐφάρμοστον νίκῃ. ** καί.

O 9 124g —ὑμνητής· — ** συνίζησις. —ταῖς ἐν Ἰσθμοῖ δοθείσαις αὐτῷ. Th.

O 9 125 Ἐπειδὴ Ἐφάρμοστος καὶ Λαμπρόμαχος Ὀπούντιοι ὄντες φίλοι τε ἦσαν καὶ ἐν τῷ Ἰσθμῷ ἅμα ἐνίκησαν, διὰ τοῦτο ἐν τῷ Ἐφαρμόστου ὕμνῳ καὶ τούτου μέμνηται. οὗτος Ὀπούντιος ἦν.

O 9 125g —στεφάνοις. * ὁ Ἐφάρμοστος καὶ ὁ Λαμπρόμαχος.

O 9 126g — * ἐνίκησαν. πάλην.

O 9 128 Th. Κορίνθου πύλας λέγει τὸν Ἰσθμόν· ἐν τῷ τέλει γὰρ αὐτοῦ ἡ Κόρινθος κεῖται. λάμβανε δὲ εἰς τὸ ἐγένετ ο , τῷ Ἐφαρμόστ ῳ , κατὰ συνεκδοχήν. τὸ δὲ Νεμέας κατὰ κόλπον ἀντὶ τοῦ εἰς τὴν Νεμέαν περιφραστικῶς. * ἤτοι ἐν τῷ Ἰσθμῷ.

O 9 129g * κατὰ συνεκδοχὴν τὸ τῷ Ἐφαρμόστῳ. —ὕστερον. —ἀγῶνες, χαραί. ἄλλαι δέ.

O 9 130g —ἐγένοντο. * Ἐφαρμόστῳ] ἀπὸ κοινοῦ τὸ ἐγένοντο.

O 9 132g εἰς τὰ Ἥραια. —ἤγουν ἀνὴρ ὢν ἐνίκησεν. ἤγουν παῖς ὢν ἐν Παναθηναίοις ἐνίκησεν.

O 9 119-133 M. Εἴθε εἴην καινῶν ἐπῶν εὑρετής, ὥστε ἀναγεῖσθαι, ἀντὶ τοῦ διηγεῖσθαι τὰ περὶ τούτων δηλονότι· πρόσφορος, ἤγουν ἐπιτήδειος γενόμενος ἐν δίφρῳ τῶν Μουσῶν, ἀντὶ τοῦ ἐν ὑψηλῇ ποιήσει, ἣν αἱ Μοῦσαι δωροῦνται. τόλμα δέ, ἀντὶ τοῦ παῤῥησία, εἴθε ἕσποιτο (123), ἤγουν ἀκολουθήσειεν ἐμοί, καὶ δύναμις ἀμφιλαφής, ἀντὶ τοῦ μεγάλη, ἀπὸ μεταφορᾶς τῶν ὄγκον ἐχόντων σωμάτων, ὧν ἀμφοτέραις ταῖς χερσίν ἐστι λαβέσθαι. ἔστι δὴ ἀμφιλαβής, καὶ τροπῇ τοῦ β εἰς φ κατ’ ἔθος Μακεδόνων ἀμφιλαφής. ἐπὶ προξενίᾳ δέ, ἤγουν χάριν τῆς προξενίας, τουτέστι τῆς φιλοφρονήσεως τοῦ Λαμπρομάχου πρὸς τοὺς Θηβαίους, καὶ χάριν τῆς ἀρετῆς, ἤτοι ἀνδρείας καὶ τῶν ἀνδραγαθημάτων αὐτοῦ, ἦλθον τιμάορος, ἤγουν τιμητής, ὑμνητὴς γενησόμενος τῶν μιτρῶν, ἀντὶ τοῦ τῶν στεφάνων αὐτοῦ, οὓς ἐν τῷ Ἰσθμῷ ἔλαβεν, ὅτε ἀμφότεροι, ἤγουν αὐτὸς ὁ Λαμπρόμαχος καὶ ὁ Ἐφάρμοστος ἐκράτησαν ἔργον, τουτέστιν ἐνίκησαν νίκην κατὰ μίαν ἡμέραν. ἀμφότεροι γάρ, φασίν, ἐνίκησαν ἐν μιᾷ ἡμέρᾳ, ὁ μὲν Ἐφάρμοστος Ὀλύμπια, ὁ δὲ Λαμπρόμαχος Ἴσθμια· ἔνιοι δέ φασιν, ὅτι οἱ δύο Ἴσθμια ἐν μιᾷ ἡμέρᾳ ἐνίκησαν. ἔπειτα (128) δὲ ἄλλαι δύο χάρμαι, ἤγουν χαραὶ νίκης, ἀντὶ τοῦ νῖκαι, ἐγένοντο τῷ Ἐφαρμόστῳ ἐν ταῖς πύλαις τῆς Κορίνθου, ἤγουν ἐν τῷ Ἰσθμῷ· ταὶ δέ, ἤγουν αὗται δέ, ἀντὶ τοῦ τοσαῦται δέ, καὶ κατὰ τὸν κόλπον τῆς Νεμέας ἐγένοντο δηλονότι αὐτῷ νῖκαι. καὶ κατὰ τὸ Ἄργος (132), ἔνθα ἐτελεῖτο ἀγὼν τὰ Ἥραια, ἔλαβε κῦδος ἀνδρῶν, ἤγουν γέρας ἀνδράσι προσῆκον, τουτέστιν ἐν ἀνδρὸς ἡλικίᾳ νενικηκώς· παῖς δὲ ἐν Ἀθήναις νικήσας δηλονότι ἔλαβε κῦδος. ὁποῖον, ἤτοι μέγαν.

O 9 134g — * ἐν τῷ· — ** τῇ. κλαπείς, ἤτοι ἐκ παίδων εἰς ἄνδρας ἐλθών.

O 9 136g * ὑπέμεινεν· — ** ὑπέμενεν. —τοιούτους γὰρ ἄνδρας ἐνίκησεν. περί.

O 9 137g —χρυσαῖς φιάλαις· τοῦτο γὰρ ἦν ἆθλον αὐτόθι. τοὺς ἐκεῖ ἀγωνιζομένους.

O 9 138g —ταχυτάτῳ. — * τέχνῃ τῆς πάλης. θαῤῥαλέῳ.

O 9 139g —καταγωνισάμενος. ** περιήρχετο.

O 9 140g —τὸν τοῦ σταδίου χορόν. —μεγάλῃ· — ** ἐν. ἔλεγε γάρ· ὁ βουλόμενος ἐλθέτω εἰς ἅμιλλαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 9 142g εὔμορφος. —ἔργα. —πράξας. M.

O 9 134-142 Ἐν δὲ Μαραθῶνι φεῦ ὅπως ἑαυτὸν λάθρα ἐξαγαγὼν ἀπὸ τῶν ἀγενείων, ἀντὶ τοῦ ἀπὸ τοῦ ἀγωνίσασθαι μετὰ τῶν ἀγενείων, ἀνέμενε τὸν ἀγῶνα τῶν πρεσβυτέρων, ἤγουν τῶν τελεωτέρων τὴν ἡλικίαν, τουτέστι τῶν ἀνδρῶν, ἀμφ' ἀργυρίδεσσιν, ἀντὶ τοῦ ἐπὶ ταῖς ἀργυρίσιν, ἤγουν ταῖς ἀργυραῖς φιάλαις, αἳ ἐδίδοντο ἐκεῖ γέρας. ἄνδρας δὲ (138) δαμάσας, ἤγουν καταβαλὼν διὰ μηχανῆς ἀφόβου, ὀξυῤῥεποῦς, ἤτοι ταχεῖαν ἐχούσης τὴν ὁρμήν, διήρχετο τὸν κύκλον, ἤγουν τὸν ἀγῶνα, φεῦ τῆς βοῆς ὅσῃ· ἐπὶ δοτικῆς τὸ ὅσῃ· ἤγουν δι' ὅσης βοῆς διήρχετο· ὡραῖος ὤν, ἤγουν ἐν ἀκμῇ ἡλικίας, καὶ καλός, τουτέστιν εὔμορφος, καὶ κάλλιστα ἔργα πράξας. Παῤῥάσιον τόπος Ἀρκαδίας, ἔνθα ἐνίκησεν.

O 9 145g ** τοῦ Διός. —περί. Ὁπότ'] ἐφάνη θαυμαστός.

O 9 146g —κάλλιστον. Germ.

O 9 147 Οἱ νικήσαντες ἐν τῇ Πελλήνῃ ἐλάμβανον παχὺ καὶ χειμερινὸν ἱμάτιον. θεραπείαν· ** χλαῖνα γὰρ ἐδίδοτο.

O 9 147g —ἀνέμων. Th.

O 9 148 Ἐν Πελλήνῃ πανήγυρις ἐγίνετο τὰ Ἕρμαια ἢ τὰ Φιλοξένια πρὸς τὸν Ἀπόλλωνα· ἔνθα νικήσας Ἐφάρμοστος διφθέραν ἔλαβε· τοῦτο γὰρ ἦν ἆθλον· ἥτις ἀλεξίκακός ἐστι τῶν ἀνέμων. ἐδίδοτο δὲ διφθέρα διὰ τὸ ἐν χειμῶνι τοὺς ἀγῶνας τούτους γίνεσθαι. τὸ δὲ σύνδικος διὰ τοῦτο λέγει, ἐπειδὴ ἐν ταῖς Θήβαις ἀγὼν ἐτελεῖτο Ἡράκλεια καὶ Ἰόλεια. ἦν δὲ ἐν μέσῳ τοῦ σταδίου ὁ τοῦ Ἰόλεω τάφος, ἔνθα Ἐφάρμοστος ἐνίκησεν. ἐν.

O 9 148g —ἐδέξατο. —σύμμαρτυς τῆς ἐνταῦθα νίκης. Th.

O 9 150 Ἐν τῇ Ἐλευσῖνι τῆς Ἀττικῆς ἀγὼν ἐτελεῖτο Δήμητρος καὶ Περσεφόνης, τὰ καλούμενα Ἐλευσίνια, ἔνθα ἐνίκησεν. * ἡ παραθαλασσία.

O 9 150g —ἐνταῦθα γὰρ ἀγὼν Δήμητρος καὶ Περσεφόνης. ταῖς αὐτοῦ νίκαις.

O 9 151g — * ἥνωται. M.

O 9 143-151 Κατὰ δὲ τὰ ἔργα τὰ γενόμενα αὐτῷ ἐν τῷ στρατῷ τῷ Παῤῥασίῳ, ἤγουν ἐν τῷ Ἀρκαδικῷ (Παῤῥασία γὰρ τόπος ἐν Ἀρκαδίᾳ) θαυμαστὸς ἐφάνη ὤν, λέγω κατὰ τὴν πανήγυριν τοῦ Λυκαίου Διὸς θαυμαστὸς ἐφάνη ὤν, καὶ ὁπότε ἔφερεν, ἀντὶ τοῦ ἀπηνέγκατο ἐν τῇ Πελλήνῃ (148), ἔνθα ἐτελεῖτο ἀγὼν τὰ Ἕρμαια, φάρμακον εὐδιανόν, ἀντὶ τοῦ ἀποσοβητικὸν τῶν πνοῶν τῶν ψυχρῶν· χλαῖνα γὰρ ἐκεῖ ἐδίδοτο τῷ νικῶντι. σύνδικος δέ, τουτέστι μάρτυς αὐτῷ τῷ Ἐφαρμόστῳ δηλονότι, ἐστὶ κατὰ τὰς ἀγλαΐας, ἤγουν τὰς λαμπρότητας, τουτέστι κατὰ τὰς νίκας, ὁ τύμβος τοῦ Ἰολάου, ἔνθα ἐτελεῖτο ἀγὼν τῷ Ἰολάῳ τὰ Ἰολάϊα, καὶ ἡ Ἐλευσὶς ἡ εἰναλία, ἤγουν ἡ παραθαλασσία, μάρτυς ἐστὶν αὐτῷ δηλονότι κατὰ τὰς νίκας· ἐτελεῖτο δὲ αὐτόθι ἀγὼν Κόρης καὶ Δήμητρος, ὃς ἐκαλεῖτο Ἐλευσίνια, ἐλάμβανε δὲ γέρας ὁ νικῶν κριθάς. τὸ ἐκ φύσεως· Ἐφάρμοστος γὰρ φυσικῇ ἀνδρίᾳ καὶ οὐ τέχνῃ μόνῃ τοὺς ἀγῶνας κατώρθου.

O 9 153g καὶ οὐ φυσικαῖς. * δόξαν.

O 9 155g * ὥρμησαν. — * λαβεῖν. ἤγουν μὴ ἀπὸ φύσεως κατορθούμενον· * τὸ δὲ θεοῦ λέγει, ἐπειδὴ ἐκ θεοῦ πάρεστι τοῖς ἀνθρώποις φύσει ἀνδρείοις εἶναι καὶ ἄλλο τι ἀγαθὸν ἔχειν.

O 9 156g —σιωπηθέν. οὐ κακόν ἐστι.

O 9 157g —πρᾶξις. εἰσί.

O 9 159g μεταχειρήσεις πράξεων. — ἐξοχώτατοι εἰς κατόρθωσιν τῷ πρὸς αὐτὰς πεφυκότι. οὐ γὰρ εἰς τὸ αὐτὸ καὶ ἓν πάντες εὐδοκιμοῦσιν.

O 9 160g — * ἡμᾶς. — * αὐξήσει καὶ δοξάσει. ἄσκησις καὶ ἐνέργεια.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 9 161g — * ὑψηλαί. Th.

O 9 152-161 Τὸ δὲ φυᾷ φασί τινες λέγειν τὸν Πίνδαρον δι᾽ ἑαυτόν, ληροῦντες· ἔστι γὰρ πρὸς τὸν Ἐφάρμοστον, ἐπειδὴ ἐκ φύσεως ἀνδρεῖος ὢν καὶ οὐκ ἀπὸ μόνης τέχνης τοὺς συναγωνιζομένους ἐνίκα. πρὸς ὃ ἐπιφέρει· πολλοὶ δὲ τῶν ἀνθρώπων ἐν διδακταῖς ἀρεταῖς, τουτέστιν οὐ φύσει ὄντες ἀνδρεῖοι, ἀλλ᾽ ὑπὸ διδαχῆς μόνης καὶ μαθήσεως, ὤρουσαν καὶ ὥρμησαν ἀνελέσθαι καὶ λαβεῖν κλέος, ἤτοι νικῆσαι καὶ δοξασθῆναι. ἕκαστον δὲ χρῆμα, ἤγουν πᾶσα πρᾶξις ἄνευ θεοῦ (156), ἤγουν μὴ ἀπὸ φύσεως κατορθουμένη οὐ σκαιότερον καὶ οὐ φαῦλον ὑπάρχει σεσιγημένον καὶ σιωπηθέν, ἀλλὰ μᾶλλον καλόν ἐστιν, εἰ μηδεὶς γινώσκει αὐτό. μόνα γὰρ τὰ ἐκ φύσεως πλείστου ἐστὶν ἄξια, ὥστε εἰ μὴ πρός τι φυσικῶς ἔχει τις, οἷον πάλην λέγω καὶ δρόμον καὶ ἄλλον τινὰ ἀγῶνα, ἀφεὶς τοῦτο, πρὸς ὃ ἡ φύσις αὐτοῦ ῥέπει, τρεπέσθω. ἐντὶ γὰρ καὶ εἰσὶν ἄλλαι ὁδοὶ καὶ μεταχειρήσεις πράξεων περαίτεραι καὶ ἐξοχώτεραι ὁδῶν ἑτέρων, τουτέστι πολλῶν οὐσῶν πράξεων, τὴν προσφυῆ σοι μεταχειριζόμενος κατορθώσεις αὐτὴν μᾶλλον ἢ τὴν οὐ προσφυῆ. Μ. Τὸ δὲ φυᾷ, ἀντὶ τοῦ τὸ μὲν φύσει, τουτέστι τὸ μὲν ἀπὸ φύσεως ἅπαν κράτιστον, ἤγουν ἄριστον, δεξιώτατον. διὰ τὸν Ἐφάρμοστον δὲ τοῦτο λέγει. πολλοὶ δὲ δι᾽ ἀρετῶν, ἤγουν ἐπιτηδευμάτων δεδιδαγμένων παρὰ ἀνθρώπων, δόξαν ὥρμησαν ἑλέσθαι, ἤτοι λαβεῖν· χωρὶς δὲ θεοῦ (156), τουτέστι τῆς φύσεως, ἕκαστον πρᾶγμα οὐ σκαιότερόν ἐστιν, ἀντὶ τοῦ οὐκ ἀπρεπές, σεσιγημένον, ἤγουν ἄπρακτον ὑπάρχον· τουτέστιν ἕκαστον δὲ πρᾶγμα χωρὶς φύσεως πρεπωδέστερόν ἐστιν, εἰ σεσιγημένον ἐστίν. εἰσὶ γὰρ ὁδοὶ ἄλλαι, πρὸς ἃς ἔχει δηλονότι τις εὐφυῶς, περαίτεραι, ἀντὶ τοῦ δυνάμεναι μᾶλλον ἀνύεσθαι ὁδῶν ἑτέρων, πρὸς ἃς οὐκ ἔχει δηλονότι τις εὐφυῶς· οὐχ ἅπαντας δὲ ἄμμε, ἀντὶ τοῦ ἡμᾶς, μία μελέτη, ἤγουν ἓν ἐπιτήδευμα, δυνατόν ἐστι θρέψαι, ἀντὶ τοῦ οὐ δυνατὸν δέ ἐστι πάντας ἡμᾶς ἐν ἑνὶ ἐπιτηδεύματι τραφῆναι, ἤγουν τὸν βίον ἀνῦσαι, τουτέστιν ἐν ἑνὶ ζῆσαι ἐπιτηδεύματι. Pal. [30]

O 9 152-162 Ἤγουν μὴ ὤν τις παλαιστρίτης καλὸς μετερχέσθω ἄλλην τέχνην· εἰσὶ γὰρ πολλαί· μία γὰρ οὐχ ἅπαντας ἡμᾶς θρέψει τέχνη, ἤγουν οὐκ ἔστι δυνατὸν πάντας παλαιστρίτας εἶναι· αἱ σοφίαι δὲ μεγάλαι εἰσὶν ἢ ὑψηλαί, ὡς εἶναι τὴν ἐπ᾽ αὐτῶν ὁδὸν δυσχερῆ, ἤγουν τὸ κατορθῶσαί τινα ἀρετὴν δυσχερὲς ὑπάρχει. Th. [5]

O 9 162 Τὸ τοῦτο πρὸς τὸ γεγάμεν ἔχει τὴν δύναμιν οὕτω· προσφέρων, ὦ θυμέ, ἆθλον καὶ ὥσπερ βραβεῖον τῆς νίκης τὸν ὕμνον τῷ Ἐφαρμόστῳ θαρσέων καὶ θαρσῶν καὶ μὴ ἀμφιβάλλων ὤρυσαι καὶ μετὰ βοῆς ὕψωσον ὄρθιον τοῦτο, γεγάμεν καὶ ὑπάρξαι τόνδε τὸν ἄνδρα τοιόνδε καὶ τοιοῦτον. ὑψηλόν. [5]

O 9 163g —μετὰ βοῆς ὕψωσον. * τὸν Ἐφάρμοστον.

O 9 164g —ἤγουν δαιμονίως καὶ εὐφυῶς. —ὑπάρξαι. Germ.

O 9 165 Ἤγουν καὶ ἐν τῷ βλέμματι δύναμιν φέρει, οὗ καὶ τὸ ὄμμα τὴν ἀλκὴν γέμει. δεξιόγυιον δέ, ποδαπόν; τὸν δεξιῶς ἐργαζόμενον καὶ ἀνάλογα τὰ μέλη ἔχοντα. ἰσχυρὸν ταῖς χερσὶ καὶ παντὶ τῷ σώματι ἐπιτήδειον.

O 9 166 Th. Αἴας ὁ Λοκρὸς ἐν Τροίᾳ ἀποθανὼν τιμᾶται ἐν τῇ Λοκρίδι ἴσα θεῷ. κενοτάφιον γὰρ τούτου ἐνταῦθα ἐποίησαν μέσον τοῦ τόπου, ἔνθα οἱ τῆς ἐν αὐτῷ πανηγύρεως ἀγῶνες τελοῦνται. ἐνίκησεν οὖν ἐνταῦθα Ἐφάρμοστος. δέον δὲ εἰπεῖν, ἐπεστεφάνωσε τὸν βωμὸν τοῦ Ὀϊλίδα Αἴαντος· Ὀϊλέως γὰρ υἱὸς ὁ Αἴας· Αἰάντειον εἶπε πρὸς τὸν βωμόν. πόλεμον, ἤτοι πολεμικώτατον. [5]

O 9 166g —ἐν τῇ πανηγύρει. * ὁ Ἐφάρμοστος.

O 9 167g —τοῦ υἱοῦ τοῦ Ὀϊλέως. ἐδόξασεν.

O 9 168g

Eulogikon public reading copy · View original HTML at eulogikon.org

— ** ἤτοι τάφον. M.

O 9 161-168 Αἱ σοφίαι μέν, ἤγουν αἱ λογικαὶ τέχναι αἰπειναί, ἤτοι ὑψηλαί· τοῦτο δὲ τὸ ἆθλον, ἤγουν τὸ γέρας, τουτέστι τὸν ὕμνον προσφέρων, ὦ νοῦ, δηλονότι τῷ Ἐφαρμόστῳ, ὤρυσαι, ἀντὶ τοῦ βόησον ὄρθιον, ἤγουν ὀξύ, ὑψηλόν, μετὰ θάῤῥους, τόνδε τὸν ἄνδρα, τουτέστι τὸν Ἐφάρμοστον, ἀπὸ μοίρας δαίμονος γεγονέναι εὔχειρα (165), ἤγουν γενναῖον τὰς χεῖρας, δεξιόγυιον, ἤτοι ἐπιτήδειον, εὔστροφον κατὰ πᾶν τὸ σῶμα, ὁρῶντα ἀλκήν, τουτέστι παράστημα γενναῖον ἔχοντα, ὅστις νικῶν ἐπεστεφάνωσεν, ἤγουν ἐκόσμησε δαιτί, τουτέστι δι’ ἑορτῆς, τὸν βωμὸν τὸν Αἰάντειον τοῦ Ὀιλιάδου, ἀντὶ τοῦ τὸν βωμὸν τὸν τοῦ Αἴαντος τοῦ υἱοῦ τοῦ Ὀϊλέως. πρὸς τὸ σημαινόμενον τοῦ κτητικοῦ ἡ ἀπόδοσις. τὸ τοιοῦτο δὲ σύνηθες καὶ τῷ πεζῷ λόγῳ. Ἐπίνικοι Ὀλυμπιονίκαις. [10]

O 10 t Ἀγησιδάμῳ Λοκρῷ Ἐπιζεφυρίῳ παιδὶ πύκτῃ. Ὠιδὴ ι′. [Δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ι′ εἴδους. ἔστι δὲ στροφῶν ε′. Παλαιόν. Τοῦ ι′ εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη η′. [5]

O 10 prae 1 Τὸ α′ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ὃ καλεῖται Ἀσκληπιάδειον ὡς εὑρόντος ἢ καταχρησαμένου αὐτῷ. σύγκειται δὲ ἐκ β′ ἀντισπάστων καὶ β′ ἰάμβων, ἀλλ’ ὁ α′ ἀντίσπαστος οὐκ ἔστι καθαρός· τρέπεται γὰρ εἰς τὰ εἰρημένα τοῦ δισυλλάβου σχήματα, καὶ ἔστιν ἐνταῦθα παίων γ′. Τὸ β′ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, ἀρξάμενον ἐξ ἰαμβικῆς συζυγίας καὶ καταλῆξαν εἰς ἴαμβον. Τὸ γ′ ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον τὸν γ′ ἔχον πόδα δάκτυλον. Τὸ δ′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον τοῦ α′ καὶ γ′ ποδὸς διαλελυμένου εἰς τρίβραχυν. Τὸ ε′ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου, ἢ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον σπονδείου ἀρχομένου. Τὸ ϛ′ ἀντισπαστικὸν δίμετρον βραχυκατάληκτον ἤτοι ἡμιόλιον· οἱ δέ φασι Φερεκράτειον ἐνδέον μιᾷ συλλαβῇ. Τὸ ζ′ Ἰωνικὸν τρίμετρον καταληκτικόν· ἡ α′ Ἰωνική, ἡ β′ ἰαμβικὴ καὶ ἡ γ′ τροχαϊκή. Τὸ η′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ὃ καλεῖται Γλυκώνειον. διέλυσε δὲ τὸν ἀντίσπαστον εἰς τὸ Πέφνε Κτέατον ἀμύμονα, ποιήσας τὸ κῶλον ἐννεασύλλαβον. Ἐφ’ ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος. Περὶ τῶν κώλων τῶν ἐπῳδῶν. Αἱ ἐπῳδοὶ κώλων θ′. Τὸ α′ χοριαμβικὸν τρίμετρον βραχυκατάληκτον, οὗ ἡ α′ συζυγία ἰαμβικὴ τοῦ β′ ποδὸς διαλελυμένου εἰς τρίβραχυν, εἶτα χορίαμβος, εἶτα ποὺς ἁπλοῦς. Τὸ β′ προσοδιακὸν τρίμετρον ἀκατάληκτον· ἡ α′ συζυγία τροχαϊκὴ τοῦ α′ τροχαίου διαλελυμένου εἰς τρίβραχυν, εἶτα Ἰωνικὸς ἀπὸ μείζονος, εἶτα χορίαμβος. Τὸ γ′ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τινὰς τῶν ποδῶν ἔχον λελυμένους. ἐμοὶ δὲ δοκεῖ Ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον καταληκτικόν, τὸν β′ ἔχον πόδα πεντασύλλαβον, ἤτοι ἰαμβικὴν συζυγίαν διαλελυμένου τοῦ β′ ποδός, τὴν δὲ γ′ Ἰωνικὴν καταληκτικήν. Τὸ δ′ ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον, τῆς α′ συζυγίας ἰαμβικῆς λελυμένης εἰς ἴαμβον καὶ ἀνάπαιστον, τῶν δ’ ἄλλων Ἰωνικῶν. Τὸ ε′ Ἰωνικὸν τετράμετρον καταληκτικόν, τοῦ γ′ παίωνος ἀντὶ Ἰωνικοῦ κειμένου τοῦ ἀπ’ ἐλάσσονος, εἶτα Ἰωνικῶν, καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς. Τὸ ϛ′ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰάμβων καὶ ἀναπαίστων. ἐμοὶ δὲ δοκεῖ ὡς ἰαμβέλεγός ἐστι τὸ τοιοῦτο κῶλον· ἐκ γὰρ β′ ἰάμβων καὶ συλλαβῆς καὶ ἐκ β′ δακτύλων καὶ συλλαβῆς σύγκειται. εἰ δ’ ἔν τισι τῶν κώλων καὶ τρίβραχυς εὕρηται, ἀλλ’ οὐκ ἔστι τρίβραχυς, ἀλλὰ δάκτυλος· κοινὴ γὰρ συλλαβὴ τὰ τέλη τῶν λέξεων ἐν τῷ δακτυλικῷ λελόγισται. Τὸ ζ′ προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ ἡμίσεος ποδὸς ἀδιαφόρου. Τὸ η′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον· ὁ β′ ποὺς ἀνάπαιστος, ὁ δὲ δ′ τρίβραχυς. Τὸ θ′ Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπὸ τροχαικῆς εἰς Ἰωνικὴν συζυγίαν. Ἐπὶ τῷ τέλει τὰ συνήθη σημεῖα. Th. [45]

O 10 1 Ἔοικεν ὁ Πίνδαρος ἐκ πολλοῦ συνθέμενος γράψειν αὐτῷ τὸν ἐπινίκιον ὀλιγωρῆσαι διά τινα περιπέτειαν· νῦν οὖν ὥσπερ τι χρέος ἀποδίδωσιν αὐτῷ τὸν παρόντα ὕμνον. ἐπεὶ δὲ τὸ χρέος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γεγονὸς χρόνιον ἀπαιτεῖ καὶ τόκον, προστίθησι μετὰ ταῦτα καὶ ᾠδάριόν τι ὥσπερ τινὰ τόκον. τὸ δὲ ἀνάγνωτε οὐχ, ὥς φασί τινες, ἀντὶ τοῦ ἀναγνωρίσατε, ἀλλ' ἐπειδὴ γέγραπται λέγει, διὰ τοῦτο ἀνάγνωτε εἶπε· τὰ γὰρ γεγραμμένα ἀναγινώσκεται. φασὶ δέ τινες πρὸς τὰς Μούσας πάσας ποιεῖσθαι τὸν λόγον· ἐγὼ δέ φημι πρὸς τὴν Μοῦσαν καὶ τὴν Ἀλήθειαν, εἰ καὶ ὕστερον ταύτας ἐπιβοᾶται. τὸν ἐν τῇ Ὀλυμπίᾳ νικήσαντα πυγμῇ.

O 10 2g * τὸν Ἀγησίδαμον. —ποῦ. ἐγράφη.

O 10 4 Th. Ἐπειδὴ ποιήσειν αὐτῷ ὕμνον εἰπὼν οὐκ ἐψεύσθη, ἀλλ' ἐπελάθετο, διὰ τοῦτό φησιν· ὦ Μοῦσα καὶ ὦ Ἀλήθεια, ἀντὶ τοῦ ὦ λόγοι τῆς ἐμῆς ποιήσεως, ἀληθῶς, ὡς ὑπεσχόμην, ἐπαινέσαντα αὐτὸν μὴ συγχωρήσητε ψευδομένου αἰτίαν λαβεῖν με. ὕμνον.

O 10 4g —εἰς λήθην ἦλθον. Germ.

O 10 5 Ἀλιτόξενον ἐνιπὴν τὴν ἐπιτίμησιν καὶ τὴν ἐπίπληξιν τὴν διαμαρτάνουσαν εἰς τοὺς ξένους καὶ ποιοῦσαν ἁμαρτάνειν εἰς τοὺς φίλους αὐτῶν· τὸ γὰρ ξένος λέγει ὁ φίλος. Καλλιόπη ἢ Τερψιχόρη.

O 10 7g * δικαίᾳ. —κωλύσατε. κακολογίαν τὴν ἁμαρτάνουσαν εἰς τοὺς ξένους ἢ τὴν ἐπενεχθησομένην μοι ὡς ἀλιτῶντι καὶ ψευσαμένῳ περὶ τοὺς φίλους.

O 10 9 Th. Τὸ μέλλων λέγει ὡς πρὸς τὸν καιρό ν , καθ' ὃν ὑπέσχετο ὑμνῆσαι. ὁ γὰρ μετ' αὐτὸν ἐπιὼν χρόνος ὡς πρὸς αὐτὸν μέλλων ἦν. ἐκ πολλοῦ.

O 10 9g —ἐπιγενόμενος. αἰσχύνονται γὰρ οἱ χρεωστοῦντες οὓς χρεωστοῦσιν.

O 10 10g —ποταπόν; πολύ. ** διαλῦσαι.

O 10 11g —ποταπήν; ταχεῖαν. ὃν οἱ ἄνθρωποι διδόασιν ὀφείλοντες.

O 10 1-12 M. Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι, ὦ παρόντες δηλονότι, ἤγουν ἀναγνόντες ὥσπερ ἐν βιβλίῳ γράμματα, εἰς μνήμην ἀγάγετέ μοι τὸν υἱὸν τοῦ Ἀρχεστράτου, τὸν Ἀγησίδαμον τὸν Ὀλυμπιονίκην, ἐν ποίῳ μέρει τῆς ἐμῆς μνήμης ἐστὶ γεγραμμένος, ἤτοι ἀποκείμενος. γλυκὺ γὰρ μέλος, ἀντὶ τοῦ ἡδὺν ὕμνον χρεωστῶν αὐτῷ ἐπελαθόμην. ἀλλ' ὦ Μοῦσα (5), σὺ καὶ ἡ Ἀλήθεια ἡ θυγάτηρ τοῦ Διὸς ἐρύκετον, ἤγουν ἐρύκετε, κωλύετε, παύετε ὀρθῇ χειρί, ἤγουν δικαίᾳ, ἀντὶ τοῦ κωλύετε διὰ τῆς χειρὸς δικαίως, τὴν ἐνιπήν, ἤτοι τὴν ἐπιτίμησιν τῶν ἀνθρώπων τὴν ἕνεκα ψευδῶν, τὴν ἀλιτόξενον, τουτέστι τὴν ὀνείδη προσφέρουσαν ἡμῖν ἕνεκα τῆς εἰς τὸν φίλον ἁμαρτίας. ἕκαθεν γάρ (9), ἤγουν πρὸ πολλοῦ χρόνου ἐπελθών, τουτέστι παραγενόμενος, ἐνστὰς ὁ μέλλων χρόνος, ἤτοι ὁ ἀποκείμενος, ὁ συμπεφωνημένος, τὸ ἐμὸν χρέος τὸ βαθύ, τουτέστι τὸ πολύ, κατῄσχυνεν, ἤγουν ἤλεγξεν, ἐπονείδιστον ἔδειξεν. ὅμως δὲ δυνατός ἐστιν ὁ τόκος, ἤγουν ὁ ὕμνος ὁ ἐπὶ τῷ ὀφειλομένῳ ὕμνῳ προστεθησόμενος, λῦσαι τὴν ἐπιμομφήν, τουτέστι τὴν πολλὴν μέμψιν τῶν ἀνθρώπων, τὴν ὀξεῖαν, ἤγουν τὴν ὀξέως κινουμένην, τουτέστι τὴν μετ' ὀργῆς καὶ ἀγανακτήσεως κινουμένην. τὰ τῆς ἄμμου λιθίδια.

O 10 13g —περιφερομένην τῷ κύματι. * ὥσπερ.

O 10 15 Germ. Ὅπα καὶ ὅπου τὸν κοινόν, ἤτοι τὸν μέλλοντα ᾄδεσθαι κοινῶς· κοινὸς γὰρ ὁ ἔπαινος διὰ τὸ τοιοῦτον. ἢ ὅτι διὰ τοὺς ν' χορευτὰς ᾔδετο· ἢ ὡς τὸν μέλλοντα ἡδῦναι καὶ ἐμὲ διὰ τὴν φιλίαν. Th. Τὸ κοινὸν λόγον ἀντὶ τοῦ πάγκοινον τοῖς μετιοῦσι νῦν τε καὶ ἐσύστερον. ἔχει δὲ τὸ ὅπα τε τὴν δύναμιν πρὸς τὸ τίσομεν ἐς φίλαν χάριν · τὸ δὲ κοινὸν λόγον ὕστερον λέγε. ἀφανίσει καὶ πόρρω θήσει.

O 10 15g — * φωνὴν καὶ ὕμνον. ἀποδώσομεν Ἀγησιδάμῳ.

O 10 17 Th. Εἰ μὲν εἴποις νέμει γὰρ ἀτρέκεια πόλιν Λοκρῶ ν , τὸ νέμει ἀντὶ τοῦ διοικεῖ καὶ διεξάγει νοήσεις· εἰ δὲ ἀτρέκειαν πόλι ς , τὸ νέμει ἀντὶ τοῦ τρέφει ἐρεῖς. Th. Λοκροὶ Ἐπιζεφύριοι, Λοκροὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐπικνημίδιοι, Λοκροὶ Ὀπούντιοι, Λοκροὶ Ὀζόλαι. τέσσαρα γὰρ γένη Λοκρῶν. * διοικεῖ· — ** διεξάγει.

O 10 17g —ἀλήθεια· διὸ καὶ ἡμᾶς δεῖ τὴν πρὸς αὐτὴν ὑπόσχεσιν ἐκτελέσαι. Th.

O 10 18 Τὸ Καλλιόπη λέγει, ἢ ὅτι καὶ παρ' αὐτοῖς ἡ ποιητικὴ χάρις ἐσπουδάζετο, ἢ ὅτι νίκας ποιοῦντες τοὺς ποιητὰς εἰς ὕμνον ἐγείρουσιν. * διὰ φροντίδος ἐστί.

O 10 18g — * τοῖς Λοκροῖς. σιδηροφόρος.

O 10 13-19 Μ. Νῦν σκοπήσωμεν δηλονότι, ὅπως τὸ κῦμα τὸ ῥέον κατακλύσει, ἤγουν καλύψει, τὴν κυλιομένην παρὰ τῷ αἰγιαλῷ ψῆφον· συμβολικὸς ὁ λόγος, ἀντὶ τοῦ νῦν σκοπήσωμεν, ὅπως ἡ δύναμις τῶν ἡμετέρων λόγων ἀποκρύψει τὴν φερομένην καθ' ἡμῶν τῶν ἀνθρώπων μέμψιν, ὅπως τε κοινὸν ὕμνον πάσῃ τῇ πόλει δηλονότι ἀποδώσομεν εἰς χάριν ἀφορῶντα, ἤγουν δύναμιν ἐπαγωγόν, φίλην, τουτέστι φιλουμένην. ἔχομεν δὲ δηλονότι εὐπορίαν λόγων· νέμει γάρ (17), ἤγουν διοικεῖ τὴν πόλιν τῶν Λοκρῶν τῶν Ἐπιζεφυρίων τὴν πατρίδα τοῦ Ἀγησιδάμου ἀτρέκεια, τουτέστιν ἀλήθεια, καὶ διὰ φροντίδος ἐστὶν αὐτοῖς, ἤγουν τοῖς Λοκροῖς, ἡ Καλλιόπη, τουτέστι καὶ ποιητικοί εἰσι, καὶ ὁ Ἄρης, ἤγουν ὁ πόλεμος, ὁ χαλκῷ, ἤτοι ὅπλοις ὠχυρωμένος, μέλει αὐτοῖς, τουτέστι καὶ πολεμικοί εἰσιν. Pal.

O 10 19 Καὶ εἰ ἐνικήθης, μή σοι μελέτω. τράπε γάρ, καὶ τὸ ἑξῆς. Th. Κύκνος ὁ Ἄρεος υἱὸς ἐν παρόδῳ τῆς Θετταλίας οἰκῶν τοὺς παριόντας ἐκαρατόμει, βουλόμενος ἐκ τῶν κεφαλῶν Ἄρει νεὼν ἀνεγεῖραι. παριὼν οὖν καὶ ὁ Ἡρακλῆς καὶ ὑπὸ τούτου ἐπιβουλευθεὶς μάχην συνῆψεν αὐτῷ. βεβοηθηκότος δὲ Ἄρεος τῷ παιδὶ τραπεὶς ἀνεχώρησεν, ἀλλ' ὕστερον μόνον Κύκνον εὑρὼν ἀπέκτεινε. λέγει οὖν τὴν Ἡρακλέους τροπὴν εἰς παραμύθιον Ἀγησιδάμου ὀκλάσαντος μὲν ἐν τῇ τῆς πυγμῆς μάχῃ καὶ τὸν ἀντίπαλον ἂν παρὰ μικρὸν νικῆσαι ποιήσαντος, εἰ μὴ ὁ ἀλείπτης αὐτοῦ Ἴλας ἰδὼν θάρσος ἐνέβαλε· διὸ καὶ ἐνίκησεν. εἰς τροπὴν ἔφερε.

O 10 20 Germ. Ὑπέρβιον τὸν Ἡρακλέα, τουτέστι τὸν ἰσχυρόν. τὸν λίαν ἰσχυρόν.

O 10 20g —ποταπός; Pal.

O 10 21 Νικῶν δὲ ὁ Ἀγησίδαμος ἐχέτω χάριν τῷ ἀλείπτῃ αὐτοῦ Ἰόλᾳ ὡς τῷ Ἀχιλλεῖ Πάτροκλος. ** ἐν τῷ Ὀλυμπιακῷ ἀγῶνι.

O 10 21g —τῷ αὐτοῦ ἀλείπτῃ. ὁ νῦν εὐφημούμενος.

O 10 22g —διὰ γὰρ αὐτὸν καὶ οὗτος ἐνίκα. — ** Ἀχιλεῖ] διὰ τὸ μέτρον. παρακινήσας.

O 10 23g — ** ἄν. — τινά. — * τὸ ἀρετῇ ἢ πρὸς τὸ θήξα ς , ἵν' ᾖ· παρακινήσας ἐν ἀρετῇ, ἢ πρὸς τὸ ὁρμῆσα ι , ἵν' ᾖ· ὁρμῆσαι ἐν ἀρετῇ πρὸς κλέος μέγα. —πρός. μέγα.

O 10 24g —ἀγαγεῖν λέγεται ὥσπερ Ἴλας Ἀγησίδαμον. τίς.

O 10 25g — * βοηθεία. Germ.

O 10 23-25 Καὶ φῶ τ ' ἀρετ ᾷ ] ὁ νοῦς· καὶ τὸν φῶτα δὲ καὶ τὸν ἄνδρα ὁ ἀνὴρ σὺν τῇ παλάμῃ καὶ σὺν τῇ βοηθείᾳ καὶ τῇ συνεργίᾳ τοῦ θεοῦ (ἐξασφαλίζεται τοῦτο οὕτω) θήξας καὶ διεγείρας καὶ ὀξύνας τῇ ἀρετῇ ὁρμᾶσαι καὶ ἀναβιβασθῆναι ἐποίησεν εἰς κλέος καὶ δόξαν πελώριον καὶ μέγα καὶ λαμπρόν. * χωρὶς πόνου.

O 10 26g — * χαράν. —ὀλίγοι. ἡ γὰρ τῆς νίκης δόξα ἁπάντων τιμιωτέρα ἐστὶ τῷ ἔχοντι.

O 10 26-27 Germ. Ὀλίγοι εἰσὶν οἱ χωρὶς πόνου λαβόντες χαράν, ἤγουν νίκην· ἥτις ἐστὶ φῶς ἐν βιότῳ καὶ ἐν τῇ ζωῇ. ἢ οὕτω· χάρμα δὲ ἄπονον πρὸ πάντων τῶν ἔργων παῦροί τινες, ἀντὶ τοῦ οὐδέ τινες, ἔλαβον· ὅπερ τῷ βίῳ αὐτῶν καὶ τῇ ζωῇ, τὸ χάρμα, ἐστὶ φάος. Μ.

O 10 19-27 Τράπε δ έ ] ἤγουν εἰς φυγὴν ἐκίνησε καὶ τὸν Ἡρακλέα τὸν ὑπερβολικῶς ἰσχυρὸν ἡ μάχη ἡ Κυκνεία, ἤγουν ἡ τοῦ Κύκνου τοῦ υἱοῦ τοῦ Ἄρεος, τουτέστιν ἣν μετὰ τοῦ Κύκνου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνεκρότησεν ὁ Ἡρακλῆς. τοῦτο δὲ εἶπεν, ἐπειδὴ ὁ Ἀγησίδαμος ὑπεστάλη ἐν τῷ ἀγῶνι, εἶτα ὑπὸ τοῦ Ἴλα τοῦ ἀλείπτου ἀναῤῥωσθεὶς ἐνίκησε. διὸ ἐπάγει· τοὺς πύκτας δὲ ἐν τῇ Ὀλυμπιάδι νικῶν ὁ Ἀγησίδαμος τῷ Ἴλᾳ φερέτω χάριν, ἤγουν εὐχαριστίαν, ὥσπερ ὁ Πάτροκλος τῷ Ἀχιλλεῖ ἔφερε δηλονότι, ὅτε ἔτρεπε τοὺς Τρῶας μετὰ τῶν ὅπλων αὐτοῦ. παρορμήσας δ' ἂν ἀνὴρ σὺν παλάμῃ, ἤγουν βοηθείᾳ θεοῦ, ἄνδρα πρὸς ἀρετήν, πρὸς πελώριον, τουτέστιν ὑψηλότατον, ὥρμησεν, ἀντὶ τοῦ ἀνεβίβασεν, ὕψωσε κλέος. ὀλίγοι δέ τινες, ἀντὶ τοῦ οὐδέ τινες ἔλαβον χαρὰν χωρὶς πόνων, λέγω φῶς τῷ βιότῳ, τουτέστι τῇ παρούσῃ ζωῇ, ἔργων πρὸ πάντων, ἀντὶ τοῦ ἀπὸ πάντων φημὶ τῶν ἔργων. τὸν Ὀλυμπιακὸν ἀγῶνα. [10]

O 10 28g —ὑπέρτατον τῶν ἄλλων. — ὑμνῆσαι. τοὺς γὰρ νικῶντας δίκαιον ἐπαινεῖν.

O 10 29g — * διήγειράν με. —ἀγῶνα. —παλαιῷ. Th.

O 10 30 Τὸ πὰρ Πέλοπος εἰ μὲν συνάψεις πρὸς τὸ σώματ ι , οὕτως ἐρεῖς· ὅντινα ἀγῶνα ἐκτίσατο καὶ ἐποίησεν ὁ Ἡρακλέης βωμὸν ἑξάριθμον παρὰ τῷ ἀρχαίῳ σώματι τοῦ Πέλοπος, ἤτοι τῷ ἔχοντι τὸ σῶμα αὐτοῦ τάφῳ, ἵν' ᾖ τὸ ὃν ἐκτίσατο βωμὸν ἑξάριθμον ἀντὶ τοῦ ὃν ἔθηκεν ἐν τῷ κτισθέντι ὑπ' αὐτοῦ ἑξαρίθμῳ βωμῷ. εἰ δὲ τὸ Ἡρακλῆς πρὸς τὸ ἀρχαίῳ σώματι συνάψεις, τὸ πὰρ Πέλοπος πρὸς τὸ βωμὸν ἑξάριθμον νοήσεις οὕτως· ὅντινα ἀγῶνα παρὰ τὸν ἑξάριθμον βωμὸν τοῦ Πέλοπος, ἤτοι τὴν ἐν Πελοποννήσῳ Πίσαν ἐκτίσατο ὁ Ἡρακλέης ἐν ἀρχαίῳ σώματι, ἤτοι ὃν ὁ παλαιὸς Ἡρακλῆς συνέστησεν. ὃ καὶ κρεῖττον. * ἤγουν ἓξ βωμοὺς τὸν ἀριθμὸν ἔχοντα· — ** οὕτως ἄμεινον γράφεσθαι βίη Ἡρακλέος · οἱ δὲ γράφοντες ἑτέρως οὐκ ὀρθῶς γράφουσιν. [10]

O 10 32g συνέστησεν. — * υἱὸν Ποσειδῶνος. Th.

O 10 33 Κτέατος καὶ Εὔρυτος Μολιόνης καὶ Ποσειδῶνος υἱοί. ὅτε δὲ Ἡρακλῆς μετὰ Τιρυνθίων κατ' Αὐγείου ἐστράτευσε, συμμαχοῦντες οὗτοι Αὐγείᾳ ἔν τινι τόπῳ τῆς Ἤλιδος λοχήσαντες τοῦ στρατοῦ τὸ πλεῖστον διέφθειραν, ἔπειθ' ὕστερον αὐτοὺς Ἡρακλῆς εἰς τὸν Ἰσθμιακὸν ἀγῶνα μέλλοντας ἀπιέναι λοχήσας καὶ αὐτὸς ἐν ταῖς λόχμαις τῶν Κλεωνῶν, τούτους ἀπέκτεινε. μονωθέντος οὖν Αὐγείου πρῶτον μὲν τὴν πόλιν αὐτοῦ πορθεῖ, ἔπειτα καὶ αὐτὸν ἀναιρεῖ. ἐφόνευσεν. [5]

O 10 33g — ** Κτέατον] συνίζησις. —τὸν εἰς ἀνδρίαν ἐπαινετόν. οὗτοι γὰρ συμμαχοῦντες Αὐγείᾳ οὐκ εἴων αὐτὸν ἀποδοῦναι ὃν ὑπέσχετο μισθόν.

O 10 34g —δουλικόν· ἤτοι τὸν διὰ τὴν τῆς κόπρου ἐκφόρησιν. τὸν ἰσχυρόν.

O 10 36g ἀπῄτει. Th.

O 10 36 Τὸ ὡς πράσσοιτο ἢ τὸ ὡς ἀντὶ τοῦ ἐπεί, ἵν' ᾖ τὸ πράσσοιτο ἀντὶ τοῦ ἔπρασσεν, ἢ τὸ ὡς ἀντὶ τοῦ ἵνα, ἵν' ᾖ πρὸς μέλλοντα. τὸ δὲ ὑπέρβιον πρὸς τὸ Αὐγέαν συναπτέον. Germ.

O 10 34-36 Ὡς Αὐγέαν λάτριο ν ] ὁ νοῦς· ὡς καὶ ὅτι (ἢ ἀντὶ τοῦ ἵνα) πράσσοιτο ἀντὶ τοῦ ἀπαιτητικῶς ἀπῄτει καὶ ἐζήτει τῷ Αὐγέᾳ τὸν μισθὸν τὸν λάτριον, τὸν ὑπέρβιον καὶ τὸν πολὺν ἑκὼν καὶ βουλόμενος ὁ Ἡρακλῆς ἀέκοντα καὶ μὴ βουλόμενον τὸν Αὐγέαν. Εὔρυτος δὲ λέγεται υἱὸς ὢν καὶ αὐτὸς Ποσειδῶνος. λάτριον δὲ τὸν μισθὸν τὸν καὶ δούλειον, ὅτι ἐλάτρευσεν αὐτῷ καὶ μετὰ ταπεινοφροσύνης. M. [5]

O 10 28-36 Τὸν ἀγῶνα δὲ τὸν ἐξαίρετον, ἀντὶ τοῦ τὸ κατασκεύασμα τὸ ἐν Ὀλυμπίᾳ, ἔνθα ὁ ἀγὼν ἐτελεῖτο, ὑμνῆσαι ὦρσαν, ἤγουν διήγειραν ἐμέ, δηλονότι αἱ θέμιτες, ἤτοι αἱ νομοθεσίαι τοῦ Διός, αἱ κατὰ νόμους συνήθειαι. τοῦ Διὸς δὲ λέγει αὐτάς, ἐπεὶ βασιλέα πάντων αὐτὸν ἐνόμιζον, βασιλέως δὲ τὸ νομοθετεῖν. ὅν, ἤγουν τὸν ἀγῶνα, ἡ ἰσχὺς τοῦ Ἡρακλέος, περιφραστικῶς ἀντὶ τοῦ ὁ Ἡρακλῆς, ἐκτίσσατο (32), ἀντὶ τοῦ ἔκτισε, κατεσκεύασε, πλησίον τοῦ ἀρχαίου μνήματος τοῦ Πέλοπος· ἐπεί, ἤγουν ἀφ' οὗ, τὸν Κτέατον τὸν ἀμύμονα, ἤτοι τὸν ἄψογον ἐφόνευσε, τὸν υἱὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ Ποσειδῶνος· ἐφόνευσε δὲ τὸν Εὔρυτον τὸν ἀδελφὸν αὐτοῦ, ἵνα πράσσοιτο, ἤγουν ἀπαιτοίη τὸν Αὐγείαν ἄκοντα ἑκὼν τὸν μισθὸν τὸν ὑπέρβιον, ἀντὶ τοῦ τὸν ὑπερβολικῶς πολύν, ἀπὸ μεταφορᾶς τῶν ὑπερβολικῶν τὴν ἰσχύν, τὸν λάτριον, τουτέστι τὸν ὑπὲρ τῆς δουλείας τῆς ἐξαιρέσεως τῆς κόπρου. συνεμάχουν γὰρ οὗτοι, ἤγουν ὁ Κτέατος καὶ ὁ Εὔρυτος, τῷ Αὐγείᾳ οὐ προθυμουμένῳ δοῦναι τῷ Ἡρακλεῖ τὸν συμπεφωνημένον μισθόν. ἦσαν δὲ οὗτοι μητρὸς μὲν τῆς Μολιόνης, ἀφ’ ἧς καὶ Μολιονίδαι ἐλέγοντο, πατρὸς δὲ λόγῳ μὲν τοῦ Ἄκτορος αὐτοὺς ἔλεγον, τῇ δ’ ἀληθείᾳ τοῦ Ποσειδῶνος ἐνόμιζον. * συνδένδροις τόποις.

O 10 36g — ** γάρ. — * ἐπιτηρήσας. τὸ ὑπὸ πρὸς τὸ λόχμαις ἀντιστρεπτέον.

O 10 38g παρόδῳ· ἤρχοντο γὰρ πρὸς τὸν Ἰσθμιακὸν ἀγῶνα. ὅτε ἐπολέμει Αὐγείᾳ.

O 10 40g τὸν ἐκ Τίρυνθος πόλεως. —κατεπολέμησαν. κοίλοις τόποις.

O 10 41g —διάγοντα. οἱ τῆς Μολιόνης υἱοί.

O 10 42g —ὑπέρφρονες διὰ τὴν ἀνδρίαν. ὁ ἀπατήσας τὸν Ἡρακλῆν τῷ μισθῷ.

O 10 43g — * Αὐγείας. — * τῶν Ἠλείων. —εἰς τὸ μέλλον. κατὰ πολύ· ἔστι δὲ τὸ ὄπισθεν καὶ τὸ οὐ πολλὸν ἀντὶ τοῦ μετ’ ὀλίγον.

O 10 44g — ** ἴδε] διὰ τὸ μέτρον. — ** πολυκτέανον] συνίζησις. μεγάλῳ.

O 10 46g μέγαν· ἤτοι εἰς μεγάλην ἄτην περιφραστικῶς. —καθημένην. —ἰδίαν. —τὴν Ἦλιν. M.

O 10 36-46 Λόχμαισι δ έ ] ὁ δὲ ἀντὶ τοῦ γάρ · ἤγουν ἐν συνδένδροις γὰρ τόποις ὑποκάτω τῶν Κλεωνῶν· πόλις δὲ τοῦ Ἄργους αἱ Κλεωναί· ἐφόνευσε καὶ ἐκείνους ὁ Ἡρακλῆς, τουτέστι τὸν Κτέατον καὶ τὸν Εὔρυτον, ἐφ’ ὁδῷ, ἤγουν ἐν ἐνέδρᾳ, δοκεύσας, τουτέστιν ἐπιτηρήσας, διότι (39) πρότερόν ποτε αὐτοὶ οἱ Μολίονες οἱ ὑπερφίαλοι, ἤγουν οἱ ὑπερβολικῶς ὑπερήφανοι, στρατὸν αὐτοῦ Τιρύνθιον, ἤτοι Ἀργεῖον, καθήμενον ἐν ταῖς κοιλάσι τῆς Ἤλιδος ἐπόρθησαν, ἀντὶ τοῦ ἔφθειραν. καὶ μὴν ὁ βασιλεὺς τῶν Ἐπειῶν, ἤτοι τῶν Ἠλείων, ἤγουν ὁ Αὐγείας, ὁ ξεναπάτας (43), τουτέστιν ὁ τοὺς φίλους ἀπατῶν· τοῦτο δέ φησι διὰ τὴν τοῦ μισθοῦ ἀγνωμοσύνην αὐτοῦ· ὄπισθεν, ἤγουν ὕστερον μετὰ ταῦτα, οὐκ ἐπὶ πολὺν χρόνον εἶδε τὴν πατρίδα, τὴν ἑαυτοῦ πόλιν τὴν πολυκτέανον, ἤτοι πολυκτήμονα, πολυθρέμμονα, ὑπὸ στερεοῦ πυρός, ἤγουν ἰσχυροῦ, δραστηρίου, καὶ ὑπὸ πληγῶν σιδήρου καθίζουσαν, καταδυομένην εἰς βαθὺ ῥεῦμα βλάβης. Th.

O 10 47 Διὸ καὶ Αὐγείαν οὐχ οἷόν τ’ ἦν τὴν Ἡρακλέους μάχην ἀποφυγεῖν καὶ μὴ ὑπὸ τούτου τετιμωρῆσθαι. * φιλονικίαν.

O 10 47g —ἀποβαλέσθαι. — * ἀμήχανον. * ὁ Αὐγείας.

O 10 48g —ταῖς αὐτοῦ ἀφροσύναις. —ὕστερος. τῆς τῆς πόλεως πορθήσεως.

O 10 49g —ἀντὶ τοῦ παραταξάμενος τῷ Ἡρακλεῖ. μέγαν.

O 10 50g — ** ἀλλὰ συνελήφθη δηλονότι τῷ θανάτῳ. M.

O 10 47-50 Νεῖκος δέ· ὁ δὲ ἀντὶ τοῦ γάρ · ἤγουν τὴν φιλονεικίαν γὰρ τὴν πρὸς τοὺς ἐπικρατεστέρους κινηθεῖσαν ἀποθέσθαι ἀντὶ τοῦ ἐκφυγεῖν ἐπιτιθεμένην δηλονότι καὶ βλάπτουσαν (ἡ ἀπόθεσις γὰρ ἐπὶ βάρους λέγεται) ἄπορον, ἤγουν ἀμήχανον, ἀδύνατον. καὶ ἐκεῖνος, ἤγουν ὁ Αὐγείας, δι’ ἀβουλίαν, τουτέστι μωρίαν, ὕστατος ἁλώσιος (ἐπιῤῥηματικῶς τὸ ὕστατος) ἤγουν τελευταῖον περὶ τὸ τέλος τῆς ἁλώσεως, τουτέστι τῆς πορθήσεως τῆς ἑαυτοῦ πόλεως συναντήσας, ἤγουν συγκρούσας τῷ Ἡρακλεῖ δηλονότι, θάνατον χαλεπὸν οὐκ ἐξέφυγεν. * συναγαγών.

O 10 52g ** λεῖαν γράφε καὶ μὴ λαΐα ν , διὰ τὸ μέτρον. —λαφυραγωγίαν. — * ἰσχυρὸς Ἡρακλῆς. Germ.

O 10 53 Τὸ σταθμᾶτο ἀντὶ τοῦ διεμέτρει καὶ ἐμέριζεν. ἐσκόπει, κατεσκεύαζε.

O 10 53g —λίαν θαυμαστόν. — * ἱερόν. Germ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 10 54 Τὸ πατρὶ μεγίστῳ πάξας ὀντὶ τοῦ πήξας καὶ περικυκλώσας τὸ ἄλσος καὶ περιορίσας. τῷ Διΐ.

O 10 54g —τοὺς περιβόλους ποιήσας. Pal.

O 10 55 Ἄλτι ν ] τὸ ἄδυτον τοῦ ναοῦ, ἀπὸ τοῦ ἅλλομαι τὸ πηδῶ, κατὰ ἀντίφρασιν· εἰς ὃν οὐδεὶς ἅλλεται ἤγουν εἰσέρχεται τῶν μὴ ἀξίων. θυσιαστήριον.

O 10 55g — * οὗτος. —ἐν ὑψηλῷ τόπῳ. * διεχώρησεν.

O 10 57g * ἐποίησε. —δείπνου τῶν πανηγυριζόντων. τοῖς δώδεκα γὰρ θεοῖς καὶ οὗτος συνηρίθμητο.

O 10 59 Th. Τινές φασιν, ὡς πρὸ τοῦ τὸ δωδεκάθεον τὸν Ἡρακλέα ποιῆσαι, Κρόνιος ἐκαλεῖτο λόφος διὰ τὸ Κρόνου ἱερὸν ἐνταυθοῖ εἶναι. ἄλλοι δὲ λέγουσι, μεθ’ ὧν καὶ Πίνδαρος, ὡς ἔρημος ἦν ὁ χῶρος, Ἡρακλῆς δὲ τὸ δωδεκάθεον κτίσας Κρόνιον λόφον τὸν τόπον ὠνόμασεν ἀπὸ τοῦ ὑπερέχοντος. ὁ γὰρ Κρόνος πατὴρ τῶν θεῶν. ὄρος.

O 10 60g * ὠνόμασεν. * ἀνώνυμον, ἀκλεές.

O 10 61g —χώρας. Germ.

O 10 62 Βρέχετ ο ] τουτέστι κατεσιωπᾶτο καὶ ἠφανίζετο, ἀντὶ τοῦ ἀφανὴς ἦν. Germ. Βρέχετ ο ] τὰ γὰρ ἐν ὑγρότητι καὶ ἀσθενέστερα. ὅσῳ δὲ μᾶλλον ἐξικμάζονται, τοσούτῳ καὶ στεῤῥότερα γίνονται. τὸ μέρος.

O 10 62g — τουτέστιν ἐκαλύπτετο ὑπὸ πολλῆς χιόνος, ἀντὶ τοῦ σιωπῇ. — * ἐν. Th.

O 10 60-62 Δέον εἰπεῖν νωνύμω ς , νώνυμον εἶπε πρὸς τὸ μέρο ς , οὕτως· ἧς γὰρ χώρας Οἰνόμαος ἦρχε τοῦτο τὸ μέρος ἐν ᾧ νῦν ἡ Ὀλυμπία, ἐβρέχετο πρόσθεν ἐν πολλῇ νιφάδι νώνυμον, ἤτοι ἀνώνυμον. εἰκότως δὲ εἶπε τὸ νιφάδι · λόφος γὰρ ἦν. ἔστι δὲ ἡ τοιαύτη γενικὴ τὸ ἧς πρὸς τὸ νώνυμο ν , ἵν’ ᾖ ἀκλεὲς καὶ ἄδοξον αὐτῆς. M.

O 10 51-62 Ὁ δὲ υἱὸς τοῦ Διὸς ὁ ἰσχυρός, ἤγουν ὁ Ἡρακλῆς, ἐν τῇ Πίσᾳ ἔλσας, τουτέστι συναγαγών, κατασχών, ὅλον τε τὸν στρατὸν καὶ πᾶσαν τὴν λεῖαν, ἤγουν τὴν λαφυραγωγίαν, ἐσταθμᾶτο, ἀντὶ τοῦ κατεμέτρει χάριν τοῦ πατρὸς αὐτοῦ τοῦ μεγίστου, ἤγουν τοῦ Διός, ναὸν ἄγαν θεῖον, ἀντὶ τοῦ τόπον εἰς κατασκευὴν ναοῦ κατὰ πολὺ θείου. περιπήξας δέ, ἤγουν περιορίσας, περικυκλώσας τὴν Ἆλτιν μέν, τουτέστι τὸ ἱερόν, οὗτος, ἤγουν ὁ Ἡρακλῆς ἐν καθαρῷ τόπῳ δηλονότι διέκρινεν, ἤτοι ἐχώρισε, τὸ δὲ κύκλῳ (57) τῆς Ἄλτεως πέδον, ἤγουν χωρίον ἐποίησε δείπνου κατάλυσιν, ἤγουν καταγωγήν, ἀνάπαυσιν, τιμήσας τὸν πόρον τοῦ Ἀλφειοῦ, περιφραστικῶς ἀντὶ τοῦ τὸν Ἀλφειόν, μετὰ τῶν δώδεκα θεῶν τῶν βασιλέων, καὶ πάγον, ἤγουν ὄρος Κρόνου, τουτέστι Κρόνιον λόφον, προσεφθέγξατο, ἤτοι προσηγόρευσεν, ὠνόμασε πάντα τὸν τόπον δηλονότι. πρότερον γὰρ νώνυμνος, ἤγουν ἄδοξος, ἔξω ὕμνου, τουτέστι κλέους, προσηγορίας δηλονότι, ἡ χώρα, ἧς ἐβασίλευεν ὁ Οἰνόμαος, ἐβρέχετο πολλῇ νιφάδι, τουτέστιν ἐκαλύπτετο ὥσπερ ὑπὸ πολλῆς καταφερομένης χιόνος. * ἐνταῦθα.

O 10 63g τῇ πρώτῃ ἑορτῇ. Th.

O 10 65 Εὕρηται καὶ μένος καὶ μόνο ς . καὶ τὸ μὲν μένος οὕτω· καὶ ὁ χρόνος ὁ ἐλέγχων τὴν ἀλήθειαν τὸ μένος καὶ τὴν ἰσχὺν αὐτῆς, ποταπόν; ἐτήτυμον καὶ ἀληθές. τὸ δὲ μόνος οὕτω· καὶ ὁ χρόνος ὁ μόνος ἐλέγχων τὴν ἀλήθειαν, ποταπήν; ἐτήτυμον. εἶπε δὲ τὰς Μοίρας καὶ τὸν χρόνον παραστῆναι τότε τῇ πανηγύρει, ἵνα εὐδαίμων εἴη καὶ μηδέποτε παύσαιτο. ἵνα εὐτυχήσῃ ἡ ἑορτή.

O 10 65g —πλησίον. — * ἀποδεικνύων. ποταπήν; Germ.

O 10 67 Χρόνο ς ] διὰ τὸ ὡς πολὺ τοῦ χρόνου μῆκος ἐξαρκέσαι τὸν τῶν Ὀλυμπίων ἀγῶνα. Th. Τοῦ σαφανὲς ἔστι μεθερμηνευτικὸν τὸ ὅπη καὶ ὅπως. τὸ δὲ ἀκρόθινα πρὸς τὸ ἔθυε συναπτέον, ἵν’ ᾖ τὸ διελὼν πρὸς τὴν τοῦ πολέμοιο δόσι ν . * σαφές· — * γρ.

O 10 67g

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ δ’ ἐς ἀφανές. —ἤγουν αὐξηθείς. κατεμήνυσεν.

O 10 62-68 Μ. Ἐν ταύτῃ δὲ τῇ ἑορτῇ τῇ πρωτογόνῳ, ἤγουν τῇ πρῶτον γενομένῃ, τουτέστι τῇ ἐν τῇ πρώτῃ καταβολῇ τῶν Ὀλυμπίων, παρέστησαν μέν, ἤγουν παραγενόμεναι ἔστησαν πλησίον αἱ Μοῖραι (65), παρέστη καὶ ὁ χρόνος, ὁ μόνος τὴν ἀλήθειαν ἀποδεικνύων φανερῶς. τὸ δὲ σαφὲς ἔμπροσθεν χωρῶν ἐφανέρωσεν, ἀντὶ τοῦ φανεροῖ, ἤγουν δηλοῖ. ταῦτα δέ φησι διὰ τὴν ἐπακολουθήσασαν τῷ ἀγῶνι εὐδαιμονίαν καὶ τοῦ κλέους βεβαίωσιν. ἤτοι τὴν λαφυραγωγίαν.

O 10 69g ἀκρόθινα] ἀπαρχάς· —ἀντὶ μιᾶς συλλαβῆς. —μερίσας. —τῷ Διΐ. —ποταπήν; κατὰ πέντε γινομένην χρόνους. * πῶς.

O 10 70g —ὁ Ἡρακλῆς. ἤγουν τῇ καταρχὰς ἑορτῇ.

O 10 71g —ταῖς τότε γινομέναις νίκαις. Germ.

O 10 72 Πρωταίνιο ν ] ἐκ δύο λέξεων ταυτοσημάντων συνετέθη τὸ πρωταίνιο ν , ἐκ τοῦ πρῶτος καὶ τοῦ αἶνος· αἶνος γάρ ἐστι πρῶτον καὶ μέγιστον τῶν κατὰ κόσμον τερπνῶν. τοῦτο πρὸς τὰς Μούσας λέγει.

O 10 72g — * πρόσφατον. — ἐν τῇ πρώτῃ Ὀλυμπιάδι. * τιμήν· — ** τιμῇ.

O 10 74g —διὰ τῆς νίκης. — ** ἑαυτόν· — ποιήσας, ἑαυτὸν δηλονότι. — ** οἱ γράφοντες ἐν δόξαν οὐ καλῶς γράφουσιν. * καύχημα· —ἤτοι τὸ τοῦ ἀνταγωνιστοῦ.

O 10 75g —αὐτοῦ. Th.

O 10 74-75 Θέμενος ἐν τῷ ἔργῳ αὐτοῦ δόξαν καὶ τιμήν, καθελὼν καὶ καταβαλὼν εὖχος ἀγώνιον, ἤτοι τὸν ἀνταγωνιστὴν αὐτοῦ νικήσας καὶ οὐκ ἐάσας νικῆσαί τε καὶ καυχήσασθαι. Tr. Ἐν δόξᾳ θέμενο ς ] θέμενος ἑαυτὸν δηλονότι ἐν δόξῃ καὶ τιμῇ, καθελὼν καὶ καταβαλὼν τὸ εὖχος τοῦ ἀνταγωνιστοῦ, ἤτοι τὸν ἀνταγωνιστὴν αὐτοῦ, καὶ οὐκ ἐάσας νικῆσαί τε αὐτὸν καὶ καυχήσασθαι. M.

O 10 68-75 Ὁπηνίκα δὲ τὴν δωρεὰν τοῦ πολέμου ὁ Ἡρακλῆς δηλονότι, διαχωρίσας τὰ ἀκρόθινα, ἤγουν τὰ ἐξαίρετα ἔθυε, καὶ εὐθὺς ὡς τὴν ἑορτὴν τὴν πενταετηρίδα, ἤγουν τὴν διὰ πέντε ἐτῶν τελουμένην κατέστησεν, ἤτοι ἔταξε, τελεῖσθαι ἐποίησεν ἐν Ὀλυμπιάδι πρώτῃ, τουτέστιν ἐν τῇ πρώτῃ ἑορτῇ καὶ ἐν ταῖς πρώταις δηλονότι νικηφορίαις, ἤγουν νίκαις· τίς δὴ (72) ἐκληρώσατο στέφανον ποταίνιον, ἤγουν πρόσφατον, ἐναγώνιον χερσίν, ἀντὶ τοῦ ἔργοις χειρῶν, τουτέστι διὰ πυγμῆς ἢ δισκεύσεως ἢ τοιούτου τινός, καὶ ποσίν, ἀντὶ τοῦ ἔργοις ποδῶν, ἤτοι διὰ δρόμων, καὶ ἅρμασιν, ἤγουν δι’ ἁρμάτων, ἀντὶ τοῦ καὶ δι’ ἱππηλασίας· ἐν δόξῃ θέμενος ἑαυτὸν δηλονότι, καθελών, ἀντὶ τοῦ ἑλών, ἤτοι λαβὼν καύχημα ἔργῳ, τουτέστι δι’ οἰκείας νίκης, δι’ οἰκείων ἀνδραγαθημάτων. Germ.

O 10 76 Εὐθύτονον εἶπε τὸ στάδιον διὰ τὸ ὀρθόν· τοιοῦτον καὶ γὰρ τὸ στάδιον εἶναι λέγεται, ἀκαμπές. ὁ δὲ δίαυλος νυσσώδης κατὰ μίαν νύσσαν. τοῦτο ὡς ἀπὸ τῶν Μουσῶν· —ἐνίκησεν.

O 10 76g —ὀρθὸν καὶ μηδεμίαν ἔχον καμπήν· — * ἤγουν δρόμον ἁπλοῦν. Germ.

O 10 78 Τὸ Μαδέαθεν ἀντὶ τοῦ εἰς τὴν Μηδέαν. Μηδέα δέ ἐστι πόλις Ἄργους. οὕτως ἐκαλεῖτο.

O 10 78g — * ἐν τῇ Ὀλυμπίᾳ· — ** εἰς τὴν Ὀλυμπίαν. — * ἀπὸ Μιδέας πόλεως. Germ.

O 10 79 Στρατό ν ] τὸν ἁπλῶς δῆμον στρατὸν λέγει ὁ νῦν ποιητής. * ἄγων.

O 10 79g — * παλαίστρᾳ. — * ἠρίστευσε. κοσμῶν.

O 10 80g — * τὴν αὐτοῦ πατρίδα. τὴν νίκην.

O 10 83g * ἤγουν ἐν τετρώρῳ ἔφερε νίκην. τῆς αὐτοῦ πατρίδος.

O 10 84g

— * σημεῖον, ἤτοι ὁ Ἁλιῤῥόθιος, περιφραστικῶς. — ** οὕτως ἄμεινον γράφεσθαι ἠείδετ ο . ὃς δ’ ἄλλως γράφει, οὐ καλῶς γράφει. ἀκοντίῳ.

O 10 85g —διεπέρασε. —τὸ τῆς βολῆς σημεῖον. Th.

O 10 86 Μὴ λάβης εἰς τὸ μῆκος ἔξωθεν εἰ ς , ἀλλ’ οὕτω λέγε· ὁ Ἐνικεὺς δὲ κυκλώσας τὴν χέρα, ἐν πέτρῳ ἔδικε καὶ ἔῤῥιψε μῆκος, ἤγουν ἡ τοῦ πέτρου ῥίψις πολλοῦ μήκους ἐγένετο ὑπὲρ ἁπάντων καὶ ἐπέκεινα πάντων. ὥσπερ δέ φαμεν· ὑβρίζω σε ὕβριν, οὕτω καὶ τὸ ἔδικε μῆκος, ἀντὶ τοῦ μακρὰν ἔῤῥιψε ῥίψιν. μακρὰν τοῦ λίθου βολήν.

O 10 86g —ἔῤῥιψεν. — * ἐν. περιαγαγὼν ὥσπερ ἔθος.

O 10 87g —ἐπέκεινα πάντων τῶν συναγωνιζομένων. — ** ὑπὲρ ἅπαντας γράφε καὶ μὴ ὑπὲρ ἁπάντων · οὕτω γὰρ ἔχει πρὸς τὴν σύνταξιν ὀρθῶς. ἤγουν τοῖς παρεστῶσιν αὐτοῦ φίλοις.

O 10 88g —μετὰ βοῆς ἔπαινον. παρώρμισε.

O 10 76-89 Μ. Τὸ στάδιον μὲν τὸ κατ’ εὐθεῖαν εἰς μῆκος τεταμένον διὰ τῶν ποδῶν τρέχων ὁ Οἰωνὸς ὁ υἱὸς τοῦ Λικυμνίου ἠρίστευσεν, ἤγουν ἠνδραγάθησεν, ἄριστος ἐφάνη· ἦλθε δὲ Μιδέαθεν, ἤτοι ἀπὸ τῆς Μιδέας (πόλις δὲ αὕτη τοῦ Ἄργους) στρατὸν ἐλαύνων, τουτέστιν ἄγων, ἐπαγόμενον ἔχων. ὁ δὲ Ἔχεμος ἠρίστευσεν ἐν πάλῃ δοξάζων τὴν Τέγεαν τὴν ἑαυτοῦ πατρίδα· ἔστι δὲ ἡ Τέγεα πόλις Ἀρκαδική· ὁ Δόρυκλος δὲ ἔφερεν, ἀντὶ τοῦ ἤρατο, τὸ τέλος, ἤγουν τὸ κράτος τῆς πυγμῆς, τουτέστι τὴν ἐν τῇ πυγμῇ νίκην, οἰκῶν τὴν πόλιν τὴν Τίρυνθα· ἐν ἵπποις δὲ (83) τέτρασιν ὁ Σῆμος ὁ ἀπὸ Μαντινέας νικήσας δηλονότι ἠείδετο, ἤγουν ἀνεκηρύττετο. ὁ Φράστωρ δι’ ἄκοντος ἔλασεν, ἤγουν ἀφῆκεν, ἔπεμψεν ἐπὶ τὸν σκοπόν, τουτέστιν εὐστόχως ἠκόντισεν· ὁ Ἐνικεὺς δὲ τὴν χεῖρα κυκλώσας, ἤγουν κατὰ κύκλον στρέψας, ἔδικε, τουτέστιν ἔβαλε διὰ πέτρας, ἤτοι ἐδίσκευσεν εἰς μῆκος ὑπὲρ ἅπαντας τοὺς ἀνταγωνιστὰς δηλονότι, καὶ τῇ συμμαχίᾳ, ἀντὶ τοῦ τῷ πλήθει τῶν συναγωνιστῶν παραίθυξε, τουτέστιν ἐκίνησε, διεῤῥίπισε, θόρυβον μέγαν. σὺν τούτοις.

O 10 90g —ποταπόν; —ἔλαμψε. —τῆς εὐοφθάλμου. —τουτέστι τούτων γενομένων νὺξ ἤδη παρῆν. ἐπιθυμητὸν τοῖς ἐν νυκτὶ οὖσιν.

O 10 92g ὑμνεῖτο. —εὐφρανταῖς εὐωχίαις. * περί.

O 10 93g —ἤγουν εὐωχουμένων πρός τε αὐτοὺς καὶ πρὸς τὸν Δία ὕμνοι ᾔδοντο. Μ.

O 10 90-93 Ἐν τούτοις δέ, ἤγουν ἐν ᾧ χρόνῳ ταῦτα ἐγίνετο, ἔφλεξεν, ἤτοι ἀνέλαμψε τὸ ἐπέραστον φῶς τῆς σελήνης τῆς εὐοφθάλμου. ἕσπερο ν , ἐπιῤῥηματικῶς ἀντὶ τοῦ κατὰ τὴν ἑσπέραν· τουτέστιν οὔσης δὲ πανσελήνου ταῦτα ἐτελεῖτο. ἀείδετο δέ, ἀντὶ τοῦ περιηχεῖτο τοῖς ὕμνοις πᾶς ὁ ναός, κατὰ τὸν τρόπον, ἀντὶ τοῦ τὸν νόμον τὸν ἐγκωμιαστικόν, ἐν θαλίαις, ἤγουν εὐωχίαις ἡδείαις, ἃς δηλονότι εὐωχοῦντο οἱ εὐφημοῦντες. ἤγουν τῇ παλαιᾷ συνηθείᾳ.

O 10 94g — * ἀκολουθοῦντες. τῆς τοὺς ἔχοντας αὐτὴν ἀγερώχους ποιούσης.

O 10 96g * ὑμνήσομεν. —τὸ ἐν τῇ παλάμῃ τοῦ Διὸς φερόμενον πῦρ. τοῦ κτύπους ἐγείροντος ταῖς βρονταῖς.

O 10 97g —ἐν παντὶ ἔργῳ καὶ δυνάμει. * τὸν καυστικόν.

O 10 98g —ἡρμοσμένον. Th.

O 10 94-98 Ἑπόμενοι δὲ καὶ ἀκολουθοῦντες ταῖς προτέραις ἀρχαῖς, ἤγουν τῇ παλαιᾷ συνηθείᾳ· πρὸ γὰρ τῶν νικηφόρων τότε ὁ Ζεὺς ὑμνεῖτο· κελαδησόμεθα καὶ ὑμνήσομεν τὴν βροντὴν τοῦ ὀρσικτύπου Διὸς καὶ τὸ πυρπάλαμον βέλος, τὸν αἴθωνα καὶ τὸν καυστικὸν κεραυνόν, τὸν ἀρηρότα καὶ ἡρμοσμένον ἐν ἅπαντι κράτει, ἤγουν ᾧ Ζεὺς χρῆται εἰς ἅπασαν χρείαν· κελαδησόμεθα καὶ ὑμνήσομεν χάριν καὶ ὕμνον, ἐπωνυμίαν τῆς ἀγερώχου νίκης· ὁ γὰρ ἐπίνικος τῆς νίκης ἐπώνυμος. ὥσπερ δέ φαμεν· ὑμνῶ ὕμνον, οὕτω καὶ τὸ κελαδησόμεθα χάριν. τὸ γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρὸς τὸν Δία κελάδημα χάρις καὶ ὕμνος ἐστίν. οἱ δὲ εἰς πρὸς τὸ χάριν λαμβάνοντες ἔξωθεν, ἀγνοοῦντες λέγουσιν. τρυφῶσα.

O 10 99g —ἡ τῆς μουσικῆς ᾠδή. ἀντηχήσει.

O 10 100g —δέον εἰπεῖν μέλη καλάμο υ , κάλαμον μελέων εἶπεν ἀντιστρόφως. τὰ μέλη.

O 10 101g —ἐνδόξοις Θήβαις. — ἤγουν ὕστερον τοῦ τεταγμένου καιροῦ ὁ ἐπίνικος γέγραπται. M.

O 10 94-101 Ἀρχαῖς δὲ προτέραι ς ] ἀντὶ τοῦ ταῖς τάξεσι δὲ τῆς ἀρχῆς τῆς παλαιᾶς ἀκολουθοῦντες καὶ νῦν ἡμεῖς εἰς χάριν ἐπωνυμίαν, ἀντὶ τοῦ περιώνυμον ἤγουν περίφημον, μεγάλην, τῆς νίκης τῆς ἀγερώχου, τουτέστι τῆς μετεώρου, τῆς ἐξόχου, ὑμνήσομεν τὴν βροντὴν τοῦ Διὸς τοῦ κινοῦντος τοὺς κτύπους τῶν βροντῶν καὶ τὸ βέλος τὸ πυρπάλαμον, ἤγουν τὸ πῦρ προτεῖνον, τουτέστι τὸ πυρῶδες, λέγω τὸν κεραυνὸν τὸν καυστικόν (98), τὸν ἀρηρότα, ἤγουν τὸν ἁρμόζοντα, τὸν ἐπαρκοῦντα ἐν ἅπαντι τῷ κράτει αὐτοῦ, ἀντὶ τοῦ ἐν πάσῃ χρείᾳ τοῦ κράτους αὐτοῦ. ἡ μολπὴ δὲ τῶν μελῶν, ἀντὶ τοῦ τῶν ποιημάτων, τῶν ἐγκωμίων, ἤγουν σὺν αὐλῷ ᾀδομένη, χλιδῶσα, ἤγουν τρυφῶσα, ἁβρά, ἀντιάσει, τουτέστιν ἀπαντήσει ταῖς ἀκοαῖς δηλονότι· ἅτινα, τουτέστι τὰ μέλη, τὰ ἐγκώμια, διὰ χρόνου μὲν ἐφάνησαν παρὰ τῇ Δίρκῃ τῇ εὐκλέϊ, ἀντὶ τοῦ τῇ εὐκλεεῖ κατὰ συγκοπήν, (ὡς ἐν ἄλλοις εὐκλέα λέγει μορφὰν (Ol. VI 128) ἀντὶ τοῦ εὐκλεᾶ) τουτέστι παρὰ ταῖς Θήβαις· τὸν ποταμὸν γὰρ εἰπὼν τὸν παρὰ ταῖς Θήβαις τὰς Θήβας ἐδήλωσεν. Th.

O 10 102 Εἰκότως εἶπε τὸ ἀλόχο υ , ἵνα δείξῃ οἰκεῖον αὐτοῦ παῖδα. λέγει δὲ ὅτι, εἰ καὶ μὴ ἡνίκα ἐνίκησας τὸν ὕμνον σοι γέγραφα, ὅμως νῦν ἀποδιδοὺς μεγίστην εὐφροσύνην παράσχω σοι, καὶ τοιαύτην οἵαν παῖς παρέχει πατρὶ εἰς γῆρας αὐτῷ γεγονὼς ἐκ τῆς ἰδίας ἀλόχου. ἔστι δὲ ἡ ἀπόδοσις τῆς παραβολῆς εἰς τὸ καὶ ὅτα ν , εἰ καὶ δοκεῖ ἀναρμόστως ἀποδοθῆναι. δέον γὰρ οὕτως εἰπεῖν· ὥσπερ ὀψίγονος παῖς ποθεινὸς τῷ πατρί, οὕτω καὶ τὸ ὕστερον δοθέν τινι ἐγκώμιον οὕτω πρέπον ποιῆσαι· ὁ δὲ ἄλλως ἐξήνεγκεν. εὕροις δ’ ἂν καὶ παρὰ λογοποιοῖς πολλὰ τοιαῦτα. ὥσπερ.

O 10 102g —γυναικός. ἀγαπητός ἐστι.

O 10 103g — * ἐλθόντι. εἰς τὸ ἐναντίον, ἤγουν εἰς γῆρας· — ** τὸ πάλιν] οὕτως ἔχει πρὸς τὸ μέτρον ὀρθῶς.

O 10 104g —ἀπὸ τοῦ νῦν. — λίαν. —θάλπει καὶ εὐφραίνει. τῇ πρὸς τὸν παῖδα στοργῇ.

O 10 105g —ἑαυτοῦ. ὁ κτησάμενος.

O 10 107g διάδοχον καὶ οἰκονόμον. —ξένον. —τῷ ἔχοντι αὐτόν. λυπηρότατος· βαρὺ γὰρ τὸ μὴ οἰκεῖον καταλιπεῖν κληρονόμον.

O 10 109g * πράξας. —ὕμνου. — * χωρίς. ὦ.

O 10 110g —τόπον. ἔλθῃ.

O 10 111g — * μάταια. —μοχθήσας. —ἐπεὶ οὐχ ὕμνου τετύχηκεν. παρέσχε.

O 10 112g —τῷ ἐν τῇ ζωῇ πόνῳ. —ὀλίγον καὶ οὐδέν. —ἡδύ. M.

O 10 102-112 Ἀλλ’ οὕτως ἐφάνη τέρψιν ἔχοντα, δηλονότι πρὸς τὸν νενικηκότα, καθὰ παῖς ποθεινὸς ἀπὸ γυναικὸς γνησίας τῷ πατρὶ φαίνεται γεννηθεὶς αὐτῷ ἤδη εἰς τὸ γῆρας ἀφιγμένῳ. κατὰ πολὺ δὲ θερμαίνει, ἤγουν ἐξάπτει, διεγείρει τὸν λογισμὸν αὐτοῦ πρὸς φιλοφροσύνην. ἐπεὶ ὥσπερ πλοῦτος ὁ λαχών, ἤγουν ὁ κληρωσάμενος, ὁ εἰς κλῆρον λαβὼν ποιμένα, ἀντὶ τοῦ δεσπότην ἐπείσακτον ἀλλότριον κατὰ πολὺ μεμισημένος (108) ἐστὶ τῷ ἀποθνήσκοντι, ἀντὶ τοῦ ἐπεὶ ὥσπερ κατὰ πολὺ μεμισημένον ἐστὶ τῷ ἀποθνήσκοντι τὸ εἰς κλῆρον λαβεῖν τὸν πλοῦτον αὐτοῦ δεσπότην ἐπείσακτον, ἀλλότριον, οὕτως, ὦ Ἀγησίδαμε, καὶ ὅταν ἀνὴρ καλὰ ἔργα πράξας εἰς τὸν σταθμόν, ἤγουν εἰς τὸν τόπον τοῦ ᾅδου, τουτέστιν εἰς τὸν ᾅδην ἀφίκηται χωρὶς ᾠδῆς, ἤτοι ἐγκωμίων, μάταια κοπιάσας βραχεῖάν τινα τέρψιν παρέσχε τῷ ἀγῶνι, ἀντὶ τοῦ οὐδεμίαν. σοί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 10 113g —γλυκύφθογγος. τερπνός.

O 10 114g — ἀνακαινίσει. ἐπὶ τὴν πρόσθεν ὀφειλομένην· — τουτέστιν ἐπὶ τὴν πρόσθεν ὀφειλομένην σοι.

O 10 115g —ποταπόν; μέγα. * αἱ θυγατέρες.

O 10 116g — * Μοῦσαι. συνεπιλαμβανόμενος αὐταῖς.

O 10 118g ἔνδοξον. —διὰ τοῦ ὕμνου. —περί. — ὕμνῳ. * τὴν καλοὺς ἄνδρας ἔχουσαν.

O 10 119g — * τὴν σήν. — * τὸν Ἀγησίδαμον. ἐράσμιον.

O 10 120g —ἐπῄνεσα. —ὅντινα Ἀγησίδαμον. νικῶντα πυγμήν.

O 10 121g —δυνάμει. ὅτε ἐνίκησε.

O 10 122g —τῷ εἴδει καὶ τῇ θέσει τοῦ σώματος. εὐμορφίᾳ, χάριτι.

O 10 123g —ἡνωμένον. — ** ἥτις· —ἡ ὥρα. τὸν ἀναιδῶς προσερχόμενον πᾶσι.

O 10 124g — * τῷ. — ** θάνατον. ἀπεσόβησε.

O 10 125g — * τῇ Ἀφροδίτῃ· τουτέστιν ὡραῖος ὢν καὶ ὑπὸ Διὸς ἁρπασθεὶς συνουσίας χάριν ἀθάνατος γέγονε· — σὺν τῇ Ἀφροδίτῃ. Μ.

O 10 113-125 Σοὶ δὲ ἡδυεπής τε λύρα, ἀντὶ τοῦ ἡδύφωνος ἀναπάσσει, τουτέστιν ἐπιπάττει, ἐνστάζει χάριν, ἀντὶ τοῦ μέλος χάριεν, ἤγουν τὸ ἐπαγωγὸν ἔχον καὶ τερπνὸν αὐλὸς ἀναπάσσει χάριν· ἔχουσι δέ σοι, ἀντὶ τοῦ φέρουσι, παρέχουσιν αἱ Πιερίδες, ἤτοι αἱ Μοῦσαι αἱ θυγατέρες τοῦ Διός, κλέος εὐρύ, ἤγουν ἐπὶ πολὺν τόπον παραπεμπόμενον. ἐγὼ δὲ (117) συνεφαπτόμενος, ἤγουν συνεργῶν, συλλαμβανόμενος αὐταῖς ταῖς Μούσαις δηλονότι, σὺν σπουδῇ ἀμφέπεσον ἀντὶ τοῦ περιπτύσσομαι τὸ περιᾳδόμενον καὶ εὐκλεὲς ἔθνος τῶν Λοκρῶν· καταβρέχων μέλιτι, ἀντὶ τοῦ κοσμῶν ὕμνῳ ἡδεῖ τὴν πόλιν αὐτῶν τὴν καλῶς ἔχουσαν ἕνεκα γενναιότητος ἀνδρῶν. τὸν υἱὸν δὲ τοῦ Ἀρχεστράτου, ἤγουν σὲ αἴνησα, ἀντὶ τοῦ ἐπαινῶ, ὃν εἶδον, ἀντὶ τοῦ ἔγνων νικῶντα (121) ἔργῳ τῆς ἰσχύος τῶν χειρῶν, τουτέστι πυγμῇ ἐν Ὀλυμπίᾳ κατ' ἐκεῖνον τὸν χρόνον, ὅτε ἠγωνίζετο δηλονότι, κατὰ τὴν ἰδέαν τε, ἤγουν τὸ εἶδος, τὴν μορφὴν καλὸν ὄντα, ἤτοι εὐειδῆ, ὥρᾳ τε, ἤγουν ἀκμῇ ἡλικίας κεκραμένον, τουτέστι συνόντα, ἥτις ποτέ, ἤγουν ἡ ὥρα, ἅμα τῇ Ἀφροδίτῃ ἄλαλκε τῷ Γανυμήδει, ἤγουν ἐβοήθησεν ἀποσοβήσασα τὸν ἀναιδῆ θάνατον, τουτέστι τὸν ἄκαμπτον, τὸν φθοροποιόν. Ἐπίνικοι Ὀλυμπιονίκαις. [15]

O 11 t Ἀγησιδάμῳ Λοκρῷ Ἐπιζεφυρίῳ παιδὶ πύκτῃ. Ὠιδὴ ια'. [Δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ια' εἴδους. ἔστι δὲ μιᾶς στροφῆς. Παλαιόν. Τοῦ ια' εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ ἑκάστη κώλων ϛ'. [5]

O 11 prae 1 Τὸ α' προσοδιακόν, ὡς ἐμοὶ δοκεῖ, τρίμετρον ἀκατάληκτον. ἐξ ἐπιτρίτου β', χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος. Τὸ β' ὅμοιον, πλὴν τρίμετρον καταληκτικόν. οἱ δὲ λέγοντες. ὡς ἰαμβέλεγοι καὶ ἀμφότερά ἐστι τὰ κῶλα μετατιθεμένης τῆς τελευταίας τούτων συλλαβῆς ἐν τῇ ἀρχῇ, οὔ μοι δοκοῦσι καλῶς λέγειν, ἐπεὶ μηδ' ἐν ἄλλοις κώλοις τοιοῦτό τι κεκαινοτόμηται. Τὸ γ' ὅμοιον, πλὴν δίμετρον ἀκατάληκτον. Τὸ δ' ἀσυνάρτητον ἐκ τροχαϊκοῦ διμέτρου ἀκαταλήκτου καὶ ἡμίσεος ἔπους· τρίμετρον γάρ ἐστι δακτυλικὸν τὸ ἥμισυ τοῦ ἔπους. Τὸ ε' τροχαϊκὸν τρίμετρον βραχυκατάληκτον εἰς ἴαμβον καταλῆγον Πινδαρικῷ ἔθει. τοῦτο γὰρ ἐν τοῖς τροχαϊκοῖς ἔθος αὐτῷ. Τὸ ϛ' ἰαμβέλεγος, ἤτοι ἐξ ἰαμβικοῦ καὶ δακτυλικοῦ πενθημιμερῶν· εἰ δὲ βούλει, ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰάμβων καὶ ἀναπαίστων. Ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. Περὶ τῶν κώλων τῶν ἐπῳδῶν. Ἡ ἐπῳδὸς κώλων ι'. Τὸ α' ἐγκωμιολογικόν, ἤτοι ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν. Τὸ β' δίμοιρον ἔπους· οἱ γὰρ δ' πόδες τῶν ϛ' δίμοιρον. Τὸ γ' ἰαμβέλεγος, ὅμοιον τῷ ϛ' τῆς στροφῆς. Τὸ δ' τροχαϊκὸν τρίμετρον καταληκτικόν. Τὸ ε' ὅμοιον τροχαϊκόν. Τὸ ϛ' τροχαϊκὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται Εὐριπίδειον ἢ ληκύθιον. Τὸ ζ' ἐγκωμιολογικὸν Πινδαρικῷ ἔθει·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιλαμβάνονται δὲ αὐτοῦ διὰ τὸ ἀντὶ μιᾶς τῆς τελευταίας συλλαβῆς τοῦ ἰαμβικοῦ ἔχειν β′. Τὸ η′ χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον. Τὸ θ′ ὅμοιον τῷ ς′. Τὸ ι′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος. Tr.

O 11 1 Ἐπειδὴ διπλοῦν ἔφη τὸν ὕμνον γίνεσθαι τοῖς νικηταῖς, τὸν μὲν ἐγγράφως ἀπὸ τῶν ποιητῶν, τὸν δὲ ἀπὸ φήμης τῶν ἄλλων ἀνθρώπων, διὰ τοῦτο τούτῳ τῷ προοιμίῳ ἐχρήσατο τῶν ἀνέμων καὶ τῶν ὄμβρων. παρεικάζει δὲ τὴν μὲν τῶν ἄλλων φήμην ἀνέμοις ὡς ἀστάτοις· τοιαύτη γὰρ ἡ φήμη ἀνυπόστατος· τὸν δὲ ἔγγραφον ὕμνον ὄμβρῳ, οὐ μόνον ὡς τὴν γῆν πιαίνοντι καὶ θάλλειν ποιοῦντι τὰ σπέρματα, ἀλλὰ καὶ ὡς στασίμῳ καὶ ἐπὶ πλεῖστον καιρὸν διαμένοντι. τοιοῦτος δὲ καὶ ὁ ὕμνος· θάλλειν γὰρ ποιεῖ τὸν ὑμνούμενον καὶ εἰς μακροὺς διαμένειν χρόνους. ὅτε αὐτοῖς χρῆσις.

O 11 3g νεφέλης γὰρ πρῶτον συνισταμένης ἔπειθ᾽ ὑετὸς ἀπ᾽ αὐτῆς γίνεται. κόπῳ.

O 11 4g —εὐτυχεῖ. —ἥδιστοι. Th.

O 11 5 Σημείωσαι ἐνταῦθα τὸ τέλλετα ι . οὐδεὶς γὰρ οὔτε τῶν προγενεστέρων οὔτε τῶν ἔπειτα ἐν τοῖς ἀρσενικοῖς καὶ θηλυκοῖς ὀνόμασι τῷ ἑνικῷ ἀντὶ πληθυντικοῦ ἐχρήσατο ὥσπερ οὗτος. ἡμεῖς δὲ εἰ μὴ καὶ ἐν ἄλλοις ταυτηνὶ τὴν παρανομίαν οὗτος ἐποίει, εἴποιμεν ἂν πρὸς τὸ πιστὸν ὅρκιον ἀποδεδόσθαι τὸ τέλλεται οὕτως· οἱ μελιγάρυες ὕμνοι ἀρχαὶ καὶ προφάσεις τῶν ὑστέρων ὑπὲρ αὐτοῦ λόγων καὶ πιστὸν ὅρκιον τέλλεται ταῖς μεγάλαις αὐτοῦ ἀρεταῖς. τῶν μελλόντων.

O 11 5g —ἀφορμαί. —τῶν ὑπὲρ αὐτοῦ· — ἤτοι τῆς ὕστερον φήμης. — * ὑπάρχουσι. ἤγουν ὥσπερ ἐν ὅρκῳ πιστοῦνται τὰ μέγιστα αὐτοῦ κατορθώματα.

O 11 6g —τέλλονται. ὃν οὐδεὶς δύναται φθονήσας ἐξαλεῖψαι.

O 11 8g * ὁ διὰ τῶν ὕμνων· καὶ γὰρ οἱ τοῖς νικηφόροις παρὰ τῶν ἄλλων ἀνιστάμενοι ἀνδριάντες ἢ ὑπὸ χρόνου ἢ ὑπὸ βασκάνων τινῶν καθαιροῦνται· ὁ δὲ διὰ λόγων ὕμνος ἔστ᾽ ἂν ἄνθρωποι ὦσιν, ἀθάνατος μένει· — ** ὁ διὰ ὕμνων. — * τῶν ὕμνων· — ἤγουν τὰ τῶν ὕμνων. ὥσπερ ἐγὼ θεόσδοτον ἔχων τὸ τῶν λόγων κράτος.

O 11 10g — * θάλλει. — * διανοίαις. * σῆς.

O 11 12g ὦ. * ὕμνον.

O 11 13g —ὃν αὐτὸς ἔσχες. —τῆς ὥσπερ χρυσὸς κομιζομένης τοῖς αὐτὴν δεχομένοις· — ** συνίζησις. γλυκύν.

O 11 14g — * ὑμνήσω. ἐντεῦθεν γὰρ αὐτὸς ἔσχες τὸ γένος.

O 11 15g —φροντίζων καὶ ὑμνῶν. M.

O 11 1-8 Ἔστιν ἀνθρώποι ς ] ἔστι καιρὸς ὅτε ἐστὶ τοῖς ἀνθρώποις χρεία πλείστη ἀνέμων, ἔστι δὲ καιρὸς ὅτε ἐστὶ χρεία αὐτοῖς ὑδάτων οὐρανίων ὀμβρίων, τουτέστι τῶν ἐκ τῶν ὄμβρων, τῶν παίδων τῆς νεφέλης, ἤγουν οἵτινες ὄμβροι παῖδές εἰσι τῆς νεφέλης. εἰ δέ (4) τις εὖ πράσσοι, ἤτοι εὐτυχοίη, νικῴη μετὰ κόπου, οἱ ἡδύφωνοι ὕμνοι τέλλεται ἀντὶ τοῦ τέλλονται, ἤγουν γίνονται αὐτῷ ἀρχαί, τουτέστι ῥίζαι, αἰτίαι τῶν ὑστέρων λόγων, ἤτοι φημῶν, τουτέστι τοῦ ἐπικρατῆσαι ὕστερον τὴν φήμην τῆς νίκης, καὶ πιστὸν ὅρκιον, ἤγουν καὶ βεβαία ἀσφάλεια γίνονται οἱ ἡδύφωνοι ὕμνοι τοῖς μεγάλοις κατορθώμασιν αὐτοῦ. οὗτος δὲ ὁ ἔπαινος ὁ δι᾽ ἐμμελῶν ποιημάτων δηλονότι, ἀφθόνητος, ἤγουν ἄπειρος τῶν κακῶν τοῦ φθόνου, τουτέστιν ἀκαταπόνητος ἢ ἀδιάβλητος ἀνάκειται, ἀντὶ τοῦ διαμένει τοῖς Ὀλυμπιονίκαις. τὰ μέν, ἀντὶ τοῦ τὸ μέν, ἤγουν τὸ τῶν ὕμνων, ἡ ἐμὴ γλῶσσα (9) ἐθέλει ποιμαίνειν, ἀντὶ τοῦ διοικεῖν, οἰκονομεῖν. ἐκ βοηθείας δὲ θεοῦ πᾶς ἀνὴρ ἀνθεῖ ἐσαεί, ἀντὶ τοῦ λαμπρός ἐστιν, εὐδοκιμεῖ ἐπὶ σοφαῖς διανοίαις. γίνωσκε νῦν, ὦ Ἀγησίδαμε (12), παῖ τοῦ Ἀρχεστράτου, ὅτι ἕνεκα τῆς σῆς πυγμαχίας, τουτέστι τοῦ ἀγῶνος τῆς πυγμῆς, ἣν σὺ ἠγωνίσω, ὑμνήσω κόσμον, ἀντὶ τοῦ ὕμνον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡδυμελῆ, τουτέστιν ἐξ ἡδέων μελῶν συγκείμενον, ἐπὶ τῷ στεφάνῳ τῆς ἐλαίας τῆς χρυσῆς, ἀντὶ τοῦ τῆς τιμίας, τῆς καλλίστης, ἀλέγων, ἤγουν ἐν φροντίδι ποιούμενος, τουτέστιν ὑμνῶν τὴν γενεὰν τῶν Λοκρῶν τῶν Ἐπιζεφυρίων. * εἰς τοὺς Λοκρούς.

O 11 16g —συμπανηγυρίσατε. —ὑποσχεθῶ. ** οὐ.

O 11 17g —αὐτὸν τὸν τῶν Λοκρῶν. —ἀλλ' ὑποδοχέα τῶν ξένων. ** οὐ.

O 11 19g ἄκρον ἐν τῇ σοφίᾳ. — πολεμικώτατον. — * ἐλθεῖν ὑμᾶς. Th.

O 11 17-19 Ἀποροῦσιν ἐνταῦθα, πῶς πρὸς τὸ φυγόξενον καὶ τὸ ἀπείρατον στερήσεις ἔθηκεν, εἰς δὲ τὸ ἀκρόσοφον καὶ τὸ αἰχμητὰν οὔ. καί φαμεν, ὅτι ὃν τρόπον ἔχει τὸ οὔτε τόδε καὶ τόδε, οὕτω καὶ ἐνταῦθα· ἐγγυάσομαι καὶ ὑποσχεθῶ ἀφίξεσθαι καὶ ἐλθεῖν ὑμᾶς εἰς στρατόν μιν καὶ αὐτόν, τὸν τῶν Λοκρῶν, οὐκ εἰς φυγόξενον οὐδὲ καλῶν ἀπείρατον, καὶ ἀκρόσοφον καὶ αἰχμητήν. Th.

O 11 20 Τοῦτο λέγει διὰ τοὺς Λοκροὺς ὡς φύσει ἀγαθοὺς ὄντας πρὸς πᾶν ἔργον καὶ οὐδέποτε τοῦ εἶναι τοιούτους παυσομένους. τὸ ἐν τῇ φύσει προσόν.

O 11 20g —ἡ πρὸς πανουργίαν διάπειρος. οἱ μεγάλα βρυχώμενοι.

O 11 16-22 M. Ἔνθ α , ἤγουν ἐν τοῖς Λοκροῖς, ὦ Μοῦσαι, συγκωμάσατε, τουτέστιν ὁμοῦ χορεύουσαι ὑμνήσατε, ἀπελθοῦσαι δηλονότι ἐκεῖσε. ἐγγυήσομαι, ἤτοι βεβαιώσομαι, μὴ εἰς στρατὸν φυγόξενον, ἤγουν διώκοντα τοὺς ξένους, τουτέστιν ἄξενον, αὐτὸν τὸν τῶν Λοκρῶν δηλονότι, ἀφίξεσθαι, ἤγουν παραγενήσεσθαι, ἀπελεύσεσθαι ὑμᾶς, μηδὲ ἀπείρατον, ἤγουν ἀδόκιμον, ἀμέτοχον καλῶν, ἔργων δηλονότι· εἰς ἀκρόσοφον δέ (19), τουτέστιν ἄκρως σοφὸν στρατὸν βεβαιῶ ἀπελθεῖν ὑμᾶς, καὶ αἰχμητήν, ἤγουν αἰχμὴν εἰδότα μεταχειρίζεσθαι, ἀντὶ τοῦ πολεμιστήν. τὸ γὰρ ἐμφυὲς ἦθος, τουτέστι τὸν γὰρ ἔμφυτον τρόπον, ἤτοι τὸν φυσικόν, οὔτε ἡ ἀλώπηξ ἡ αἴθων, ἤγουν ἡ διάπυρος, ἡ τοὺς τρόπους δραστηρία, οὔτε οἱ λέοντες οἱ μεγαλόηχοι διαλλάξαιντο, ἤγουν διαλλάξουσι, μεταβαλοῦσιν. Ἐπίνικοι Ὀλυμπιονίκαις.

O 12 t Ἐργοτέλει Ἱμεραίῳ δολιχοδρόμῳ. Ὠιδὴ ιβʹ. [Δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῆς στροφῆς καὶ ἀντιστροφῆς τοῦ ιβʹ εἴδους. ἔστι δὲ μιᾶς στροφῆς. Παλαιόν. Τοῦ ιβʹ εἴδους ἡ στροφὴ καὶ ἀντιστροφὴ ἑκάστη κώλων θʹ.

O 12 prae g1 Τὸ αʹ προσοδιακόν, ὡς ἐμοὶ δοκεῖ, τρίμετρον καταληκτικόν, ἐξ ἐπιτρίτου βʹ, χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάσσονος καταληκτικοῦ. οἱ δὲ λέγοντες τοῦτο ἰαμβέλεγον, καινοτομοῦντες ἃ οὐκ ἔξεστιν, οὐ καλῶς μοι δοκοῦσι λέγειν. Τὸ βʹ ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ τροχαϊκῆς συζυγίας καὶ χοριάμβου. Τὸ γʹ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ ἀπ' ἐλάσσονος καὶ χοριάμβου. Τὸ δʹ τροχαϊκὸν τρίμετρον καταληκτικόν, ὃ καλεῖται Ἀρχιλόχειον. Τὸ εʹ τροχαϊκὸν τρίμετρον ἀκατάληκτον Στησιχόρειον τῷ Πινδαρικῷ ἔθει· ἴαμβον γὰρ ἔχει ἐν τῇ τελευταίᾳ χώρᾳ. Τὸ ϛʹ, ὡς ἐμοὶ δοκεῖ, προσοδιακόν ἐστιν ὅμοιον τῷ αʹ. ἐκ τῶν αὐτῶν γὰρ ποδῶν σύγκειται, πλὴν τρίμετρόν ἐστιν ἀκατάληκτον. ἃ δὲ καὶ περὶ τούτου λέγουσιν, οὔ μοι δοκεῖ εὔλογα. Τὸ ζʹ Εὐριπίδειον ἢ ληκύθιον· τροχαϊκὸν γάρ ἐστιν ἑφθημιμερές. Τὸ ηʹ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον, ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου καὶ συλλαβῆς. τοῦτο καὶ ἀναπαιστικόν ἐστιν ἑφθημιμερές. Τὸ θʹ ὅμοιον τῷ ζʹ. Ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. Περὶ τῶν κώλων τῆς ἐπῳδοῦ. Ἡ ἐπῳδὸς κώλων ιʹ. Τὸ αʹ ἐγκωμιολογικὸν διπενθημιμερὲς ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν. Τὸ βʹ δακτυλικὸν τρίμετρον ἀκατάληκτον. Τὸ γʹ Εὐριπίδειον ἢ ληκύθιον. Τὸ δʹ ἀναπαιστικὸν τρίμετρον βραχυκατάληκτον. Τὸ εʹ προσοδιακόν, ὅμοιον τῷ ηʹ τῆς στροφῆς, καὶ ἀναπαιστικὸν ἐκ σπονδείου ἑφθημιμερές. Τὸ ϛʹ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ζʹ ὅμοιον τῷ αʹ τῆς στροφῆς, πλὴν ἐκ τροχαϊκῆς συζυγίας ἀρχόμενον. Τὸ ηʹ τροχαϊκὸν Στησιχόρειον, ὅμοιον τῷ εʹ τῆς στροφῆς σὺν τῷ Πινδαρικῷ ἔθει. Τὸ θʹ Στησιχόρειον καθαρὸν τρίμετρον ἀκατάληκτον. Τὸ ιʹ ὅμοιον τῷ ϛʹ. Ἐπὶ τῷ τέλει κορωνὶς καὶ παράγραφος. Th. Ἐργοτέλης Κρὴς ὢν τὸ γένος καὶ τῆς

πόλεως αὐτοῦ Κνωσσοῦ στασιαζομένης ἀπῆρεν εἰς Ἱμέραν πόλιν Σικελίας, ἔνθα καὶ ἑτέραν στάσιν εὑρών, Γέλωνος καὶ Ἱέρωνος, ἐπεὶ πεπαυμένων τῆς μάχης εἰρήνη ἐγένετο, ἀπελθὼν οὗτος ἐν Ὀλυμπίᾳ δόλιχον δρόμον νικᾷ· ἔστι δὲ ὁ δόλιχος εἶδος δρόμου. ἀποτείνεται οὖν Πίνδαρος πρὸς τὴν Τύχην τὴν τὴν εἰρήνην ποιήσασαν, εἶτα πρὸς τὰς ἐλπίδας, δεικνύων ἐντεῦθεν, ὡς οὐδεὶς οἶδε τὸ μέλλον ἐπελθεῖν αὐτῷ· τοῦτο δὲ ἐποίησε διὰ τὸν Ἐργοτέλην ἐξελθόντα μὲν τῆς πατρίδος αὐτοῦ διὰ στάσιν, ἵνα πρὸς εἰρηναῖον χωρίον γένηται, εὑρόντα δὲ καὶ Σικελίαν στασιαζομένην. * ἱκετεύω.

O 12 1g — * θύγατερ. —ἐλευθερίαν καὶ εἰρήνην ποιοῦντος. Germ.

O 12 2 Ἀμφιπόλε ι ] ἢ ἓν μέρος λόγου ῥῆμά ἐστιν ἀντὶ τοῦ σῶζε· ἢ δύο μέρη λόγου, ἵν’ ᾖ· περὶ τῇ πόλει. * μεγαλοδυνάμῳ· — ** τῇ μεγαλοδυνάμῳ Ἱμέρᾳ.

O 12 2g —περί. ἤγουν ἕνεκα τῆς πόλεως· — ἤγουν περὶ πόλει.

O 12 3g —ὦ. * ἐν θαλάσσῃ.

O 12 4g — * βοηθοῦνται καὶ οὐκ εἰς κλύδωνα πίπτουσιν ἢ πεσοῦσαι ταχέως ἀπαλλάττονται· — ** βοηθοῦνται. ὑπὸ σοῦ κυβερνῶνται.

O 12 4-6 Th. Εἰ μὲν ἄρθρον πρὸς τὸ λαιψηροὶ λάβῃς ἔξωθεν, οὕτως ἐρεῖς· ὑπὸ σοῦ κυβερνῶνται ἐν τῇ χέρσῳ οἱ λαιψηροὶ πόλεμοι, ἤγουν ἢ οἱ λαιψηρῶς καὶ κούφως καὶ ἀνοήτως τοῖς ἀνθρώποις γενόμενοι, ἢ οἱ λαιψηρῶν καὶ ταχυτάτων καὶ σπουδαίων ἀνθρώπων δεόμενοι. εἰ δὲ χωρὶς τοῦ ἄρθρου, οὕτως· ὑπὸ σοῦ κυβερνῶνται ἐν τῇ χέρσῳ οἱ πόλεμοι· ποταποί; λαιψηροὶ καὶ ταχεῖς· ἤγουν ταχέως παύονται. οὕτω δὲ ἐρεῖς καὶ τὸ βουλαφόροι καὶ χωρὶς ἄρθρου καὶ μετὰ τοῦ ἄρθρου. τοῦτο δὲ λέγει, ἐπεὶ εἰρήνης ὑπὸ τῆς τύχης γενομένης βουλευτήρια καὶ δικαστήριά ἐστιν. M.

O 12 1-6 Λίσσομα ι , παῖ Ζηνό ς ] ὦ Τύχη σώζουσα τοὺς ἀνθρώπους, ἤγουν φυλάττουσα, περιέπουσα, θύγατερ τοῦ Διὸς τοῦ Ἐλευθερίου, τουτέστι τοῦ ἐφόρου τῆς ἐλευθερίας (Διὸς δὲ Ἐλευθερίου θυγατέρα λέγει αὐτήν, ἐπεὶ ἐδόξαζον αὐτὴν ὑψοῦν τε καὶ ἀπαλλάττειν δουλείας καὶ φυλάττειν τῶν ἐλευθέρων τὴν ἐλευθερίαν) λίσσομαι, ἤγουν ἱκετεύω ἀμφὶ τῇ Ἱμέρᾳ τῇ πόλει, ἀντὶ τοῦ περὶ τῆς Ἱμέρας τῆς πόλεως τῆς εὐρυσθενοῦς, τουτέστι τῆς πολλὴν ἐχούσης δύναμιν. ἢ οὕτως· ἱκετεύω, ἀμφιπόλει, ἤγουν περιπόλει, περίεπε, ἐπισκοπῆς ἀξίου τὴν Ἱμέραν τὴν πόλιν τὴν πολλὴν ἔχουσαν δύναμιν. ὑπὸ σοῦ γὰρ κυβερνῶνται ἐν τῇ θαλάσσῃ αἱ ταχεῖαι νῆες καὶ ἐν τῇ χέρσῳ, ἀντὶ τοῦ τῇ γῇ οἱ πόλεμοι οἱ λαιψηροί, ἤγουν οἱ σφοδροὶ τὴν ὁρμὴν καὶ δραστήριοι· ὑπὸ σοῦ κυβερνῶνται καὶ αἱ ἀγοραὶ αἱ βουληφόροι, τουτέστιν οἱ τόποι, ἔνθα αἱ βουλαὶ δίδονται, ἤτοι τὰ βουλευτήρια. * δέ.

O 12 7g * πάλιν. ποταπά; κοῦφα, μάταια.

O 12 8g —ποιοῦσαι, παρασκευάζουσαι. συστρέφονται· — ἤγουν τῇ συστροφῇ τοῦ χρόνου συστρέφονται.

O 12 6-9 Th. Αἱ δὲ ἐλπίδες κυλίνδονται καὶ δίκην τροχοῦ περιφέρονται, τάμνοισαι καὶ ποιοῦσαι πολλὰ τῶν ἀνδρῶν ἄνω, τὰ δέ, καὶ ἄλλα δέ, αὖ καὶ πάλιν, κάτω, ψευδῆ μεταμώνια καὶ μάταια· τουτέστιν ἕτερά τις ἐλπίζει καὶ ἑτεράττα ἀποβαίνουσιν. ἔστι δὲ τὸ ψευδῆ καὶ τὸ μεταμώνια ἑρμηνεία τοῦ ἄνω καὶ κάτ ω . καὶ γὰρ ἡ τοιαύτη ἀνατροπὴ ψευδεῖς τοὺς ἐλπίζοντας τίθησιν· ἢ τὸ ἐλπίδες πρὸς τὸ ἀνδρῶν συναπτέον. σημεῖον.

O 12 10g — ** τῶν ἀνθρώπων. βέβαιον.

O 12 12g * ὑπαρξούσης· — ** μελλούσης. —ἀπὸ τῶν θεῶν· σύναπτε δὲ πρὸς τὸ ἐσομένη ς , οὐ πρὸς τὸ εὗρ ε . τῶν ἐσομένων πραγμάτων.

O 12 13g —ἄδηλοί εἰσιν. — * αἱ γνῶμαι. παρὰ βούλησιν.

O 12 14g —συμβεβήκει· — ἀντὶ τοῦ ἐπέβη. εἰς τοὐναντίον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 12 15g —ἄλλοι δέ. πρῶτον ἐπιτυχόντες.

O 12 17g ἀγαθόν. —μέγα. —τῆς πρώτης βλάβης. —ὀλίγῳ. μετηλλάξαντο· ἐκ μεταφορᾶς τῶν μετοικιζομένων.

O 12 6-18 Μ. Αἵ γε μὴν ἐλπίδες τῶν ἀνθρώπων κυλίνδονται, ἤγουν τῇ στροφῇ τοῦ χρόνου συμφέρονται, τέμνουσαι, ἀντὶ τοῦ ἐλπίζουσαι, λογιζόμεναι πολλὰ ἄνω ἔσεσθαι, τὰ δὲ δὴ κάτω, ψευδῆ μεταμώνια (ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ψευδῶς, ματαίως). σύμβολον δέ (10), ἤγουν σημεῖον προγνωστικόν, ἀσφαλὲς οὔπω τις κατενόησεν ἀπὸ τοῦ θεοῦ περὶ τῆς ἐσομένης πράξεως, ἤγουν τύχης. τῶν δὲ μελλόντων ( ὁ δὲ ἀντὶ τοῦ γά ρ ) ἤγουν αἱ φράδαι γάρ, τουτέστιν αἱ γνώσεις τῶν μελλόντων τετύφλωνται, ἀντὶ τοῦ ἀφανεῖς, ἄδηλοί εἰσιν. πολλὰ δὲ (14) ἔπεσεν, ἀντὶ τοῦ ἀπέβησαν τοῖς ἀνθρώποις παρὰ προσδοκίαν, ἔμπαλιν δὴ τέρψεως, ἤγουν κατὰ τὸ ἐναντίον τῆς παρούσης αὐτοῖς τέρψεως· οἱ δὲ ἀλγειναῖς ταραχαῖς ἀντικύρσαντες, ἀντὶ τοῦ ἐγκύρσαντες ἤτοι ἐντυχόντες, ἐν μικρῷ χρόνῳ, ἀντὶ τοῦ βραχεῖ, εἰς πολὺ ἀγαθὸν ἀπὸ πήματος, ἤγουν ἀπὸ κακοπαθείας, ἀπὸ βλάβης, πεδάμειψαν, ἀντὶ τοῦ μετήμειψαν, ἤτοι μετέπεσον. * Ἐργότελες.

O 12 19g —ὄντως. —ἡ σή. —ἄν. ἔνδον τῆς οἰκίας μαχόμενος.

O 12 20g —καθά. * συγγενικῇ.

O 12 21g — οἰκίᾳ, ἤτοι τῇ πατρίδι. ποταπή; ἄδοξος.

O 12 22g —μάτην ἀνήλωται· ἐκ μεταφορᾶς τῶν φυλλοῤῥοούντων δένδρων· — ** διὰ τὸ μέτρον. —ἡ διὰ τάχος. ἡ ἐναντίους τοὺς ἄνδρας ἀλλήλοις ποιοῦσα.

O 12 24g ἐξήλασε. — * πατρίδος. Germ.

O 12 19-24 Ἐνδομάχας ἀλέκτω ρ ] ὁ νοῦς· ὦ υἱὲ τοῦ Φιλάνορος· τὸ σχῆμα ἀποστροφή· ἡ τεὰ καὶ ἡ σὴ καὶ ἡ ἰδία τιμὴ τῶν ποδῶν ἀκλεὴς ἂν καὶ ἄδοξος κατεφυλλοῤῥόησε καὶ ἐφθάρη, ἅτε ὁ ἀλέκτωρ ὁ ἐνδομάχας καὶ ὁ ἔνδον τὰς κατοικιδίους ποιῶν μάχας (ὑπάρχει, ἐλλειπτικῶς) παρὰ τῇ παρεστίᾳ καὶ τῇ οἰκίᾳ τῇ συγγόνῳ, ἐν ᾗ ἐγεννήθη· εἰ μὴ ἡ στάσις ἡ ἀντιάνειρα ἄμερσε καὶ ἐστέρησε καὶ ἐκίνησεν ἀπὸ τῆς Κνωσίας πάτρας καὶ πατρίδος. Μ. Ὦ υἱὲ τοῦ Φιλάνορος Ἐργότελες, ὄντως δὴ καὶ ἡ σὴ τιμὴ τῶν ποδῶν, ἀντὶ τοῦ καὶ ἡ τιμὴ τῆς ταχυτῆτος τῶν σῶν ποδῶν ἄδοξος ἂν κατεφυλλοῤῥόησεν, ἤγουν κατεμαράνθη παρὰ τῇ οἰκίᾳ τῇ συγγόνῳ, ἀντὶ τοῦ τῇ συγγενικῇ, τῇ πατρικῇ, καθὰ ἀλέκτωρ ἔνδον, ἐν τῷ οἴκῳ τὰς μάχας ποιούμενος, ἀφανής ἐστι δηλονότι, εἰ μὴ ἡ μάχη ἡ ἀντιάνειρα, τουτέστιν ἡ ἐξ ἐναντιώσεως τῶν ἀνδρῶν γινομένη, ἐστέρησέ σε τῆς πατρίδος τῆς σῆς τῆς Κνωσίας, ἀντὶ τοῦ τῆς Κνωσοῦ· τὸ κτητικὸν ἀντὶ τοῦ ἁπλοῦ. ἐν τῇ.

O 12 26g —ὦ. Th.

O 12 27 Ὅτε Ἡρακλῆς λαβὼν τὰς Γηρυόνου βοῦς ἐπανῄει ἐν Σικελίᾳ, αὐτῷ θερμὰ ὕδατα ἐκ τῆς γῆς ἀναδεδόσθαι Ἀθηνᾶ παρεσκεύασεν, ἵνα λουτροῖς αὐτοῖς χρήσαιτο πλεῖστα καμὼν περὶ τὴν ὁδόν. λέγει οὖν τὸ θερμὰ λουτρὰ Νυμφᾶ ν , ἤτοι τὴν Ἱμέραν ἀπὸ μέρους. τοῦ Ἡρακλέους.

O 12 27g —ὑψοῖς διὰ τῶν στεφάνων. — ἐνδιαιτώμενος. ἤτοι τῇ Ἱμέρᾳ, ἐν ᾗ οἰκεῖς.

O 12 25-28 Μ. Νῦν δέ, ὦ Ἐργότελες, τούτου γενομένου, ἐν τῇ Ὀλυμπίᾳ στεφανωσάμενος, ἤγουν νικήσας, καὶ δὶς ἐν Πυθῶνι νικήσας καὶ ἐν τῷ Ἰσθμῷ νικήσας, τὰ θερμὰ λουτρὰ τῶν Νυμφῶν τὰ ἐν τῇ Ἱμέρᾳ τῇ πόλει βαστάζεις, ἤγουν ὑψοῖς, μεγαλύνεις, ὁμιλῶν, τουτέστιν οἰκῶν, ἀναστρεφόμενος παρ’ αὐτῇ, τῇ Ἱμέρᾳ δηλονότι, ὥσπερ εἰ ἀνεστρέφου παρὰ τῇ οἰκείᾳ γῇ, ἤγουν τῇ πατρίδι σου τῇ Κνωσῷ. Ἐπίνικοι Ὀλυμπιονίκαις.

O 13 t Ξενοφῶντι Κορινθίῳ σταδιοδρόμῳ καὶ πεντάθλῳ. Ὠιδὴ ιγʹ. [Δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ ιγʹ εἴδους. ἔστι δὲ στροφῶν εʹ. Παλαιόν. Τοῦ ιγʹ εἴδους αἱ στροφαὶ καὶ ἀντιστροφαὶ ἑκάστη κώλων αʹ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 13 prae 1 Τὸ α′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐκ παίωνος γ′. ἀδιάφορος γάρ ἐστιν ἡ α′ συζυγία. ἃ δὲ περὶ τούτου λέγουσιν, οὔ μοι δοκεῖ εὔλογα. Τὸ β′ ἀντισπαστικὸν δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές, ὃ καλεῖται Φερεκράτειον ἐκ διτροχαίου. Τὸ γ′ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, τοῦ β′ ποδὸς χορείου τριβράχεος, τοῦ δὲ δ′ σπονδείου, ὃν καὶ ἀτάκτως παρὰ τοῖς μελοποιοῖς φασι κεῖσθαι. ἐμοὶ δ’ ἐπιωνικὸν δοκεῖ εἶναι ἀπ’ ἐλάσσονος τρίμετρον καταληκτικόν, ἐκ παίωνος β′, Ἰωνικοῦ καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς. Τὸ δ′ ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον καθαρόν. Τὸ ε′ περιοδικὸν ἰάμβοις καὶ τροχαίοις, ἀλλὰ τὸ μὲν ἰαμβικόν ἐστι μονόμετρον ἐξ ἀναπαίστου ἀρχόμενον, τὸ δὲ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, τοῦ β′ ποδὸς δακτύλου. ἐμοὶ δὲ δοκεῖ ἐκ β′ ἰαμβικῶν συγκεῖσθαι κώλων πενθημιμερῶν, καὶ ἔστιν ὥσπερ ἀσυνάρτητον, εἰ καὶ μὴ ἐκ διαφόρων κώλων σύγκειται. εἰ δὲ μὴ παραδίδωσι τοῦτο ὁ μετρικός, οὐδὲν θαυμαστόν· τὰ καιριώτερα γὰρ παραδίδωσιν, ὡς ἐγχειρίδιον γράφων. Τὸ ϛ′ ἐπιωνικὸν τρίμετρον ἀκατάληκτον, τῆς α′ συζυγίας ἰαμβικῆς, τῆς β′ Ἰωνικῆς ἀπ’ ἐλάσσονος καὶ τῆς γ′ τροχαϊκῆς. Τὸ ζ′ δακτυλικὸν πενθημιμερές. Τὸ η′ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἔχει δὲ ἔν τισι μὲν τοὺς χοριάμβους καθαρούς, ἔν τισι δὲ ἰαμβικὴν ἢ τροχαϊκὴν συζυγίαν καὶ τὴν κατάληξιν ὡσαύτως ἀδιάφορον. Τὸ θ′ προσοδιακὸν ἐξ Ἰωνικοῦ καὶ χοριάμβου· εἰ δὲ βούλει, ἀναπαιστικόν. Τὸ ι′ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον ἐκ δακτύλου ἀρχόμενον. ἐμοὶ δὲ δοκεῖ προσοδιακὸν εἶναι ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἢ ἐπιτρίτου διὰ τὴν ἀδιάφορον. Τὸ ια′ ἐπιχοριαμβικὸν ἐκ τροχαϊκῆς συζυγίας ἢ ἐπιτρίτου καὶ χοριάμβου. Ἐφ’ ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος. Περὶ τῶν κώλων τῶν ἐπῳδῶν. Αἱ ἐπῳδοὶ κώλων ια′. Τὸ α′ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ χοριάμβου. Τὸ β′ ἐγκωμιολογικὸν ἐκ δακτυλικοῦ καὶ ἰαμβικοῦ πενθημιμερῶν. Τὸ γ′ τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον δακτύλοις μεμιγμένον. Τὸ δ′ προσοδιακὸν ἢ ἐπιχοριαμβικὸν ὅμοιον τῷ ια′ τῆς στροφῆς. Τὸ ε′ Ἰωνικὸν ἀπ’ ἐλάσσονος δίμετρον ἀκατάληκτον. Τὸ ϛ′ Εὐριπίδειον. Τὸ ζ′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ η′ δακτυλικὸν πενθημιμερές. Τὸ θ′ Ἰωνικὸν τρίμετρον βραχυκατάληκτον. ἔστι δέ, ὥς φασιν, ἀταξία ἐν αὐτῷ· ἡ γὰρ β′ συζυγία ἰαμβικὴ οὖσα ἐν τῇ β′ χώρᾳ σπονδεῖον ἔχει ἀτάκτως· διὸ καὶ ἐπιλαμβάνονται αὐτοῦ. ὡς καὶ τὸ παρ’ Εὐπόλιδι ἐπιωνικὸν ἐν τῷ Χρυσῷ γένει τό· Ὦ καλλίστη πόλι πασῶν, ὅσας Κλέων ἐφορᾷ. Τὸ ι′ Εὐριπίδειον. Τὸ ια′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Ἐφ’ ἑκάστῃ ἐπῳδῷ τὰ συνήθη σημεῖα. Th. [45]

O 13 1 Τρισολυμπιονίκην λέγει τὸν τοῦ Ξενοφῶντος οἶκον, ἐπειδὴ αὐτῷ μὲν τῷ Ξενοφῶντι δύο Ὀλυμπιακαὶ νῖκαι κατὰ τὴν αὐτὴν ἡμέραν ἐγένοντο πεντάθλου καὶ σταδίου, τῷ πατρὶ δὲ Θεσσαλῷ μία πρόσθεν. ** Τὸ προοίμιον ἀπὸ τῆς πατρίδος τοῦ νικητοῦ.

O 13 2g πρᾶον καὶ προσφιλῆ. —τοῖς Κορινθίοις. ὑπουργὸν πρὸς ἃ βούλονται.

O 13 3g —γνωρίσω καὶ ἐπαινέσω. Th.

O 13 4 Ἡ Κόρινθος ἐν τέλει μὲν τοῦ Ἰσθμοῦ, ἐν ἀρχῇ δὲ τῆς Πελοποννήσου κειμένη, εἰκότως προπύλαιον τοῦ ἐν τῷ Ἰσθμῷ τιμωμένου Ποσειδῶνος τῷ Πινδάρῳ καλεῖται. εὐδαίμονα.

O 13 4g — * τὴν πόλιν τοῦ Ξενοφῶντος. —τοῦ ἐν Ἰσθμῷ τιμωμένου. προπύλαιον.

O 13 5g —καλοὺς κούρους ἔχον. ἀδελφαὶ αὐτῆς.

O 13 7g στήριγμα. ὁμοδίαιτος τῇ δικαιοσύνῃ, ἧς παρούσης καὶ εἰρήνη ἐστί· πλεονεξία γὰρ καὶ ἀδικία πολέμους ποιεῖ.

O 13 9g φύλακες. * πολυτίμητοι· — ** αἱ πολυτίμητοι, λέγω.

O 13 11g τῆς καλῶς βουλευομένους τοὺς αὐτὴν ἔχοντας ποιούσης. Th.

O 13 12

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὕβριν λέγει τὴν ἀδικίαν καὶ πλεονεξίαν, αἳ πλῆθος πολέμων καὶ σφαγῶν καὶ φόνων καὶ παντοίων κακῶν παρασκευάζουσι γίνεσθαι, καὶ πάντων τούτων τοῖς ἀνθρώποις εἰσὶν αἴτιαι. Ὅμηρος δὲ τὸν κόρον πατέρα τῆς ὕβρεως λέγει λέγων· τίκτει τοι κόρος ὕβριν. M.

O 13 1-11 Τρισολυμπιονίκα ν ] τὸν οἶκον ἐπαινῶν τοῦ Ξενοφῶντος τὸν τρὶς ἐν Ὀλυμπίᾳ νενικηκότα, τὸν πρᾷον τοῖς πολίταις, τοῖς ξένοις δὲ θεράποντα, ἀντὶ τοῦ θεραπευτήν, γνώσομαι, ἀντὶ τοῦ εἰς ἀνάμνησιν ἄξω τὴν Κόρινθον τὴν πατρίδα τοῦ Ξενοφῶντος τὴν μακαρίαν, τὸ πρόθυρον (5) τῆς Πελοποννήσου δηλονότι, τὸ λαμπροὺς ἔχον νέους, τὸ τοῦ Ἰσθμίου Ποσειδῶνος, τουτέστιν ὃ ὁ Ποσειδῶν ὁ ἐν τῷ Ἰσθμῷ τιμώμενος ἔχει κατοικητήριον δηλονότι. ἐν τᾷ γάρ, ἤγουν ἐν ταύτῃ, ἤτοι τῇ Κορίνθῳ οἰκεῖ ἡ Εὐνομία, ἤγουν ἡ κατὰ νόμους καλῶς ἐνεργουμένη διοίκησις, καὶ αἱ κασίγνηται, ἤτοι αἱ ἀδελφαὶ αὐτῆς τῆς Εὐνομίας δηλονότι, ἡ Δίκη (8) ἡ ἀσφαλής, ἀντὶ τοῦ ἡ ἀσφαλείας· ποιητική, τὸ βάθρον, ἤγουν ἡ ἀσφάλεια τῶν πόλεων, καὶ ἡ Εἰρήνη ἡ ὁμότροπος, τουτέστιν ἡ τὴν αὐτὴν αὐτῇ γνώμην ἔχουσα, ταμίαι οὖσαι, ἤγουν πάροχοι πλούτου τοῖς ἀνθρώποις, αἱ χρυσαῖ λέγω, ἀντὶ τοῦ αἱ κάλλισται θυγατέρες τῆς Θέμιδος τῆς εὐβούλου, τουτέστι τῆς δίκαια βουλευομένης. ἀποσοβεῖν ἔνθα ἂν ὦσιν.

O 13 12g —ἀδικίαν καὶ πλεονεξίαν. —τοῦ πλήθους παντοίων κακῶν. εἰπεῖν περὶ τῆς Κορίνθου.

O 13 14g —προθυμία. ἀληθής.

O 13 15g —διεγείρει. Germ.

O 13 12-15 Ἡ σύνταξις αὕτη. ἐθέλοντι δὲ καὶ ἐθέλουσιν ἀλεξεῖν καὶ ἀποκωλύειν καὶ ἐκφεύγειν τὴν ὕβριν τὴν θυγατέρα τοῦ κόρου, τὴν μητέρα τὴν θρασύμυθον. ἔχω καλά τε φράσαι περὶ τῶν Κορινθίων, ἡ τόλμα τε καὶ ἡ εὐτολμία ὀρνύει καὶ διεγείρει καὶ παρορμᾷ τὴν γλῶσσαν ἐμοῦ λέγειν εὐθεῖα καὶ εὐθέως. ἢ οὕτως· ἔχω καλά τε φράσαι, ἡ τόλμα τε ἡ εὐθεῖα ὀρνύει τὴν γλῶσσαν ἐμοῦ λέγειν περὶ τῶν Κορινθίων. ἀμήχανον καὶ ἀδύνατον.

O 13 16g —ἀφανίσαι. — * τὸ ἔμφυτον, ὥστε καὶ Κορίνθιοι ἀγαθοὶ ἐκ φύσεως ὄντες οὐκ ἄν ποτε μεταβληθεῖεν. Th.

O 13 17 Ἀλάτης ἀνήρ τις ἡγήσατο Ἡρακλείδαις τῆς πρὸς Πελοπόννησον ἐπανόδου. κατοικήσαντος οὖν ἐν Κορίνθῳ Ἀλᾶται ἀπ' αὐτοῦ οἱ Κορίνθιοι καλοῦνται. τοῖς Κορινθίοις.

O 13 17g —κατὰ πολύ. ἐκ νικῶν καὶ ἀνδραγαθιῶν.

O 13 18g —λαμπρότητα. * παρέσχον.

O 13 19g —ἃς ἔχετε. Th.

O 13 20 Αἰτιῶνταί τινες ἀσυνέτως τὸν Πίνδαρον, διότι ὑπερελθόντων εἶπε δέον ὑπερελθοῦσιν εἰπεῖν πρὸς τὸ ὑμῖν. οὓς αὐτὸς χαίρειν ἐάσας τὸ μὲν ὑμῖν νόει, διότι τὸ ὤπασαν δοτικῇ συντάσσεται, τὸ δὲ ὑπερελθόντων οὐ πρὸς τὴν σύνταξιν τοῦ ὤπασάν ἐστιν, ἀλλ' ἐπειδὴ αἰτία ἐστὶ τοῦ νικαφόρον ἀγλαΐα ν . σχηματίζομεν δὲ τὰς αἰτίας καὶ πρὸς τὴν ὄπισθεν σύνταξιν, εἰ δοτικὴ καὶ αἰτιατική ἐστι, καὶ πρὸς γενικήν· διὰ τοῦτο καὶ νῦν οὐ πρὸς τὸ ὑμῖν, ἀλλ' ὡς αἰτία πρὸς γενικὴν ἀπεδόθη· ὥσπερ ἐστὶ τοῦτο· πολλῶν κακῶν πειραθῆναι συνέβη μοι ἁμαρτωλοῦ ὄντος. ὑπερβαλλομένων τοὺς ἄλλους· — ** ὑπερελθόντων χρὴ γράφειν, οὐχ ὑπερελθοῦσιν · οὕτω γὰρ ἔχει πρὸς τὸ μέτρον ὀρθῶς.

O 13 20g —ταῖς τῶν θεῶν πανηγύρεσιν. M.

O 13 12-21 Ἐθέλουσι δὲ ἀλεξεῖν, ἤγουν ἀποσοβεῖν, διώκειν τὴν ὕβριν, τὴν τοῦ κόρου θυγατέρα δηλονότι, τὴν μητέρα τῶν θρασέων, ἤτοι τῶν ἐπηρμένων λόγων. κόρος λέγεται κυρίως ἐπὶ τοῦ στομάχου, ὅταν ἐμπλησθῇ βρωμάτων· ἀπὸ τούτου δὲ καὶ ἐπὶ τῶν μεγάλης περιουσίας ἀπολαυόντων ἢ τιμῆς ἢ ἑτέρου τοιούτου, καθὸ λέγεται ἐνταῦθα. ὕβρις δὲ ἡ ἀδικία καὶ ἀλαζονεία καὶ ἔπαρσις κατὰ τῶν ὑποδεεστέρων, ἣν ἡ Εὐνομία καὶ ἡ Δίκη καὶ ἡ Εἰρήνη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποστρέφεται καὶ διώκει. ἔχω καλά τε εἰπεῖν ἐπὶ τῇ Κορίνθῳ, τόλμα δέ, τουτέστι προθυμία εὐθεῖα, ἀντὶ τοῦ δικαία, τὴν γλῶσσάν μου παρορμᾷ εἰς τὸ λέγειν. ἄμαχον δέ, ἤγουν ἀμήχανον, ἀδύνατον κρύψαι, ἤτοι σβέσαι, ἐᾶσαι', τὸ συγγεγενημένον ἐμοὶ φυσικὸν ἦθος. ὑμῖν δέ (17), ὦ παῖδες, ἀντὶ τοῦ ἀπόγονοι τοῦ Ἀλήτου, τουτέστιν ὦ Κορίνθιοι, πολλάκις μὲν παρέσχον αἱ Ὧραι αἱ πολυειδῆ ἄνθη προτείνουσαι λαμπρότητα νικηφόρον, ἀντὶ τοῦ νικητικήν, δι' ἐξόχων ἀνδραγαθιῶν ὑπερελθοῦσιν, ἤγουν νικήσασιν ἐν ἱεροῖς, ἤτοι θείοις ἀγῶσιν. πολλάκις δέ.

O 13 22g τῶν ἐν ὑμῖν. αἱ πολλὰ ἄνθη τοῖς ἀνθρώποις φέρουσαι.

O 13 24g ποταπά; παλαιά. — * ἐστί· — * εἰ γὰρ καί τινες τοῖς εὑρεθεῖσι παρὰ Κορινθίων ἐπιδεδωκότες ἐξέλαμψαν, ἀλλ' οἱ καταρχὰς εὑρόντες αὐτὰ Κορίνθιοι κρείττους εἰσὶν αὐτῶν τῷ εὑρεῖν. Germ.

O 13 17-24 Ὕμμι δὲ παῖδε ς ] ὁ νοῦς· ὑμῖν δέ, ὦ παῖδες τοῦ Ἀλήτου, ἤγουν ὦ Κορίνθιοι, ὑπερελθόντων καὶ ὑπερελθοῦσι καὶ ὑπερνικήσασιν ἐν τοῖς ἱεροῖς ἀέθλοις, τουτέστι νικηταῖς γενομένοις ἐν τοῖς ἱεροῖς ἀγῶσιν, αἱ ὧραι αἱ πολυάνθεμοι, ἤτοι τὸ ἔαρ (κατὰ γὰρ τὸν καιρὸν τοῦ ἔαρος ἠγωνίζοντο —πάντα γὰρ ὁ χρόνος οἶδε χαρίζειν) πολλὰ καὶ κατὰ πολὺ ἢ πολλαχοῦ ὤπασαν καὶ παρέσχον ταῖς ἄκραις ἀρεταῖς, λέγω τὰ κατὰ τὴν νικηφόρον μὲν ἀγλαΐαν, πολλὰ δὲ ἀρχαῖα σοφίσματα ἔβαλλον ἐν ταῖς καρδίαις τῶν ἀνδρῶν· τουτέστιν, ὅτι οὐ μόνον ἐνδόξους ἐποίησαν διὰ τῆς νίκης, ἀλλὰ καὶ σοφοὺς ἐκείνους ἐποίησαν. Th.

O 13 23-24 Τὸ Ὧραι πολυάνθεμοι καὶ πρὸς τὸ ὤπασαν ἐκληπτέον. παρέχουσι δὲ αἱ Ὧραι τὰς νίκας διὰ τὸ τὰς πανηγύρεις κατὰ περίοδον φέρειν, ἐν αἷς ἀγῶνες καὶ νῖκαι γίνονται. πῶς δὲ ἀρχαῖα σοφίσματα ἐν τοῖς Κορινθίοις ἔβαλον; ἐπειδὴ ἔν τε τῷ ἔαρι καὶ τῷ θέρει καὶ τοῖς ἄλλοις καιροῖς ἐμηχανήσαντο τὰ πρόσφορα. δέον δὲ εἰπεῖν· σοφίσματα ἔβαλον καταρχάς, ἀρχαῖα εἶπε πρὸς τὸ σοφίσματ α . * αὗται.

O 13 25g —ἐξεφάνησαν. Th.

O 13 26 Βοηλάτην καλεῖ τὸν διθύραμβον, ἢ διότι τῷ κατορθώσαντι αὐτὸν βοῦς ἐδίδοτο ἆθλον, ἢ διότι διὰ βοῆς ἠλαύνετό τε καὶ ἐτελεῖτο. ὁ δὲ διθύραμβος χορὸς ἦν κυκλικὸς πρὸς τὸν Διόνυσον, ἐλέγετο δὲ ὁ διθύραμβος ἀπὸ Διονύσου τοῦ ἐκ δύο θυρῶν ἐξελθόντος, ἔκ τε τῆς μητρῴας αὐτοῦ γαστρὸς καὶ τοῦ μηροῦ τοῦ Διός. εὗρον δὲ Κορίνθιοι πρῶτον τοῦτον ἐν τοῖς Διονυσιακοῖς ὥσπερ καὶ τὸ μέτρον τοῦ κεραμεικοῦ τροχοῦ πόσον δεῖ γίνεσθαι, ὃν ἵππεια ἔντεα καλεῖ, καὶ τὰ ἐπάνω τῶν νεῶν ἀετώματα διπλᾶ. χορῷ.

O 13 27g —ἱππικοῖς. Germ.

O 13 26-27 Αἱ χάριτες δὲ αἱ τοῦ Διονύσου πόθεν ἐξέφανεν σὺν τῷ διθυράμβῳ τῷ βοηλάτᾳ; οὐκ ἐξ ὑμῶν, ὦ Κορίνθιοι; ** τοῖς ἅρμασι.

O 13 29g * ὀρνέων. τὸν ἀετόν.

O 13 30g —διπλοῦν. ἐπέθηκε] λάμβανε τοῦτο κατὰ συνεκδοχὴν καὶ πρὸς τὸ ἔντεσι ν .

O 13 31g —ἐν αὐτοῖς τοῖς Κορινθίοις. — ἡδυτάτη. * αὐτοῖς.

O 13 32g —ἀκμάζει. ὀλεθρίαις τοῖς δεχομένοις.

O 13 32-33 Germ. Ἐν δ' Ἄρης ἀνθε ῖ ] ἐν τίσι δὲ ἀνθεῖ ὁ Ἄρης ὁ ἐν ταῖς οὐλίαις αἰχμαῖς τῶν νέων ἀνδρῶν; ἐν ὑμῖν δηλονότι. Th.

O 13 31-33 Μοῖ ς ' ἀδύπνοος λέγει, ἢ ὅτι μουσικώτατοι ἦσαν Κορίνθιοι, ἢ ὅτι ἐν Κορινθίοις κάλλιστοι ποιηταὶ ἐγένοντο, ὧν εἷς ἦν Ἔσων. ἀνθεῖ δὲ ἐν αὐτοῖς ὁ Ἄρης, διότι πολεμικώτατοί εἰσι καὶ ἐν τῷ Περσικῷ πολέμῳ κάλλιστα ἐξέλαμψαν. M.

O 13 21-33 Πολλάκις δὲ ἔβαλον ὑμῖν αἱ Ὧραι ἐν καρδίαις ἀνδρῶν, τουτέστι πολλάκις δὲ ἔβαλον αἱ Ὧραι ἐν καρδίαις ἀνδρῶν ὑμετέρων σοφίσματα ἀρχαῖα, ἤγουν ἐπινοίας τεχνῶν πρῶτον εὑρημένας, οὔπω πρότερον εὑρημένας. ἅπαν δ' εὑρόντος ἔργον, τουτέστιν ἅπασα δὲ ἐργασία τεχνικὴ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὑρόντος αὐτὴν τὴν ἀρχήν, ἤτοι τοῦ ἐφευρόντος ἐστίν. αἱ Χάριτες (25) τοῦ Διονύσου, ἤγουν αἱ ἑορταὶ αἱ τὸ ἐπαγωγὸν ἔχουσαι, αἱ παρὰ τοῖς Κορινθίοις ὑμῖν τελούμεναι δηλονότι, σὺν ὕμνῳ διθυράμβῳ βοηλάτῃ, τουτέστι χάριν βοὸς ᾀδομένῳ, πόθεν ἄλλοθεν, ἢ παρ’ ὑμῶν δηλονότι, ἐξέφανεν, ἤγουν ἐλαμπρύνθησαν; τίς δὲ ἄλλος ἔθηκεν, ἀντὶ τοῦ ἐπενόησε συμμετρίας ἐν κατασκευάσμασιν ἱππείοις, ἀντὶ τοῦ πολεμικοῖς· ἤγουν τίς δὲ ἄλλος ἐπενόησε τὴν ἐν τοῖς ὅπλοις συμμετρίαν; ἢ (29) τίς ἄλλος ἐπενόησεν ἐν τοῖς ναοῖς τῶν θεῶν τὸν βασιλέα τῶν ὀρνέων τὸν διπλοῦν, ἤγουν τὸν διπλοῦν ἀετόν, τουτέστι τὸ λεγόμενον ἀέτωμα; ἐν τούτοις δέ, τουτέστι τοῖς Κορινθίοις ἀνθεῖ, ἀντὶ τοῦ ἀκμάζει, περιφανής ἐστι, δύναμις ποιητικὴ ἡδύπνους, ἤγουν ἡδυμελής, τερπνὰ προτείνουσα μέλη· ἐν τούτοις δὲ ἀνθεῖ Ἄρης, τουτέστι πολεμικὴ ἐμπειρία νέων ἀνδρῶν, ἐν αἰχμαῖς, ἀντὶ τοῦ ἐν μάχαις ὀλεθρίαις. θεῶν ὑπέρτατε.

O 13 34g —μέγα. Germ.

O 13 35 Φθόνος καὶ νέμεσις οὐ διαφέρουσιν. φθόνος ἡ νέμεσις, νέμεσις ὁ μερισμός. ἀφθόνητος οὖν ὁ μὴ φθόνον καὶ μερισμὸν καὶ διχασμὸν ἐμποιῶν ταῖς φήμαις αὐτῶν. ἤγουν μὴ νεμεσήσῃς τοῖς αὐτῶν ἐπαίνοις, ἀλλὰ νίκης αἴτιος γενοῦ, ἵνα καὶ τούτων τυγχάνοιεν ἀεί.

O 13 36g * κατά. — ** ὦ. τὸν τῶν Κορινθίων.

O 13 37g —ἀδυστύχητον. —διεξάγων. ἐξόρθου, κατευόδου τῆς τύχης τὴν εὐθυδρομίαν.

O 13 37-38 Germ. Ὁ νοῦς· καὶ ὁ νέμων καὶ διοικῶν τόνδε καὶ τοῦτον τὸν λαὸν τὸν ἀβλαβῆ, εὔθυνε τὸν οὖρον καὶ τὴν εὐτυχίαν καὶ τὴν εὐδαιμονίαν ἢ τὴν εὐθυτάτην κίνησιν τοῦ Ξενοφῶντος δαίμονος, τὸν ὑπάρχοντα ἀπὸ τοῦ δαίμονος καὶ τῆς τυχῆς, ἤγουν ἀπὸ τῶν Μοιρῶν. ἢ οὕτω. καὶ νέμων καὶ φυλάττων τόνδε τὸν λαὸν ἀβλαβῆ, εὔθυνε τὴν εὐτυχίαν τοῦ Ξενοφῶντος τὴν ἀπὸ τοῦ δαίμονος οὖσαν οὔριον καὶ εὐδιεινήν. * ἐγκωμιαστικὸν νόμον.

O 13 40g τὸν ὕμνον· εἰ γὰρ ἡ Ὀλυμπία αἰτία τῆς νίκης, καὶ τῶν ὕμνων ἄρα αἰτία. ὁμοῦ, ἤγουν ἐν μιᾷ ἡμέρᾳ.

O 13 43g ἐπέτυχεν ἐν ταὐτῷ. — πεντάθλου καὶ δρόμου. M.

O 13 34-44 Ὦ Ζεῦ πάτερ ἔξοχε, εὐρύ, ἀντὶ τοῦ μεγάλως, κραταιῶς ἀνάσσων τῆς Ὀλυμπίας, γενοῦ κατὰ πάντα τὸν χρόνον ἀφθόνητος, ἀντὶ τοῦ οὐκ ἐῶν ἐπιτίθεσθαι φθόνον τοῖς ἔπεσι τούτοις τοῖς ἐπ’ αὐτοῖς, τουτέστι τοῖς ὕμνοις. ἐπίφθονον τὸ ἔχον φθόνον, ἤγουν τὸ φθονούμενον· ἄφθονον τὸ χωρὶς φθόνου γινόμενον ἢ διδόμενον, οἷον ἄφθονος χάρις ἡ χωρὶς φθόνου διδομένη, καὶ ἄφθονος πρᾶξις ἡ χωρὶς φθόνου πραττομένη· ἀφ’ οὗ ἄφθονος πλοῦτος ὁ πολύς, καὶ ἄφθονον πλῆθος ὁμοίως ἀντὶ τοῦ πολύ. ἀφθόνητος δὲ ὁ μὴ φθονούμενος· ἐνταῦθα δὲ τὸ ἀφθόνητος ἐπὶ ἐνεργείας κεῖται. καὶ τόνδε (37) τὸν λαὸν τοῦ Ξενοφῶντος νέμων, ἤγουν διοικῶν, ἀβλαβῆ, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ἐν ἀσφαλείᾳ, ἐν εὐτυχίᾳ, εὔθυνε, ἤγουν εὐόδου, τοῦ δαίμονος αὐτοῦ δηλονότι, ἤγουν τοῦ θεοῦ τοῦ διοικοῦντος αὐτῷ τὸν βίον, τὸν οὖρον, τουτέστι τὸν οὔριον ἄνεμον, μεταφορικῶς ἀπὸ τῶν νεῶν, ἀντὶ τοῦ τὴν εὐτυχίαν. οὖρος γὰρ ποιητικῶς ὁ ἀπὸ τῆς οὐρᾶς ἤτοι τῆς πρύμνης τῆς νεὼς ἐπιτήδειος ἄνεμος, ὃν οὔριον οἱ πεζογράφοι φασίν, ἀφ’ οὗ καὶ τὸ Ἐξ οὐρίας πλεῖν. ἀπόδεξαι δὲ τὸν νόμον τὸν ἐγκώμιον, ἀντὶ τοῦ τὸν ἐγκωμιαστικὸν τῶν στεφάνων αὐτοῦ, ὃν ἐπάγεται ἀπὸ τῶν χωρίων τῆς Πίσης (41) νικῶν, ἀντὶ τοῦ νικήσας, τὸν δρόμον τοῦ σταδίου, ἤγουν τὸ στάδιον, ἅμα τῷ πεντάθλῳ. ἐλέγετο δὲ στάδιον μὲν ὁ τόπος, ἐν ᾧ ἔτρεχον· ἦν δέ, φασί, διαστήματος πήχεων τριακοσίων· πένταθλον δέ, ὃ εἶχεν ἐν ἑνὶ χρόνῳ τὰ πέντε ταῦτα, πυγμήν, πάλην, δίαλμα, δίσκον καὶ δρόμον. οὐκ ἐπέτυχεν οὐδαμῶς πρότερόν τις ἀνὴρ θνητὸς τούτων, ἀντὶ τοῦ τούτου τοῦ πράγματος, τουτέστι τοῦ νικῆσαι ἐν μιᾷ ἡμέρᾳ ταύτας τὰς δύο νίκας. * ἐστεφάνωσαν.

O 13 45g —πλόκαμοι· ἐνταῦθα γὰρ σέλινα ἐδίδοτο ἆθλα. * ἐν τῷ Ἰσθμιακῷ ἀγῶνι.

O 13 47g

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκλάμψαντα. — * τά. —ἤγουν ὁ τῶν Νεμέων ἀγὼν οὐκ ἐναντιοῦται αὐτῷ· ἐνίκησε γὰρ καὶ τοῦτον. * αὐτοῦ.

O 13 48g — ** οὕτως ἐκαλεῖτο. — * ἤγουν ἐν τῇ Ὀλυμπίᾳ. λαμπρότης.

O 13 49g —ἐκ δρόμου νίκης. * ἐν τῇ.

O 13 51g ** καί. — * ἤγουν ἐν μιᾷ ἡμέρᾳ. ** καί.

O 13 52g — ** ταῖς λεπτογυίοις· τοιαύτη γὰρ ἡ Ἀττική· ἤγουν ἐν Παναθηναίοις.

O 13 53g —δίαυλον, ὁπλιτικὸν δρόμον καὶ στάδιον. ἡ ταχεῖα· ἤγουν τρία ἔργα κατορθώσας ἐστεφανώθη.

O 13 51-55 Germ. Μηνός τέ ο ἱ ] μετὰ τοῦ μηνός τε τοῦ αὐτοῦ τρία ἔργα κάλλιστα ἡ ποδαρκὴς ἡμέρα ἐν ταῖς κραναaῖς Ἀθάναις (λέγει δὲ ἔργα κάλλιστα τοὺς στεφάνους) θῆκε καὶ ἔθηκεν ἀμφὶ ταῖς κόμαις αὐτοῦ. * ἑορτὴ Ἀθηνᾶς ἐν Κορίνθῳ.

O 13 56g —ἔργα ἀνέθηκεν αὐτῷ κάλλιστα. Th.

O 13 56 Ἑλλώτια ἑορτὴ Ἀθηνᾶς ἐν Κορίνθῳ. Δωριεῖς μετὰ Ἡρακλειδῶν ἐπιθέμενοι Κορινθίοις καὶ Κόρινθον χειρωσάμενοι ταύτην φλογὶ ἔκαιον. φυγοῦσαι οὖν αἱ Κορίνθιαι παρθένοι εἰς τὸν τῆς Ἀθηνᾶς βωμόν, ὅπως σωθεῖεν, αἰσθομένων Δωριέων καὶ πῦρ ἐμβαλόντων εἰς τὸν ναόν, αἱ μὲν ἄλλαι τῶν παρθένων ἔφυγον, Ἑλλωτιώνη δὲ μετὰ τῆς ἀδελφῆς Εὐρυτιώνης κατεφλέχθη. λοιμοῦ δὲ ὕστερον γενομένου ἔχρησεν Ἀθηνᾶ, μὴ πρότερον παύσασθαι τὸν λοιμόν, πρὶν τὰς τῶν κατακαεισῶν παρθένων ψυχὰς ἐξιλεώσασθαι καὶ ἱερὸν Ἀθηνᾶς Ἑλλωτίας ἱδρύσασθαι· ὃ δὴ καὶ γεγένηται. ἕτεροι δέ φασι διὰ τὸ ἑλεῖν τὸν Πήγασον ἐν χαλινῷ ὑπ' Ἀθηνᾶς δοθέντι Βελλεροφόντῃ πανήγυριν καὶ ἱερὸν Ἑλλωτίας Ἀθηνᾶς ὑπ' αὐτοῦ γεγενῆσθαι, ἢ τοῦτο τὸ ὄνομα ἐσχηκέναι τὴν πανήγυριν καὶ τὸν ναὸν ἀπὸ τοῦ ἐν Μαραθῶνι ἕλους. ἔστι γὰρ ἐκεῖ ἄγαλμα Ἀθηνᾶς Ἑλλωτίας. M.

O 13 45-56 Δύο δὲ στέφανοι ἀπὸ σελίνων πεπλεγμένοι ἐστεφάνωσαν αὐτὸν φανέντα, ἤγουν παῤῥησιασάμενον, ἀγωνισάμενον ἐν Ἰσθμιάσιν, ἀντὶ τοῦ ἐν τῷ ἀγῶνι τῷ ἐν Ἰσθμῷ. σημείωσαι, ὅτι οὐ μόνον πίτυς ἐδίδοτο ἐν τῷ Ἰσθμῷ, ἀλλὰ καὶ σελίνου στέφανος, ὥσπερ ἐν τῇ Νεμέᾳ· πλὴν ἐν μὲν τῷ Ἰσθμῷ ἀπὸ ξηρῶν σελίνων, φασίν, ἐπλέκετο ὁ στέφανος, ἐν δὲ τῇ Νεμέᾳ ἀπὸ χλωρῶν. καὶ τὰ Νέμεα οὐκ ἀντιξοεῖ, ἤγουν οὐκ ἀντίκειται τούτῳ τῷ Ξενοφῶντι· νενίκηκε γὰρ καὶ ἐν αὐτοῖς. τοῦ πατρὸς δὲ (48) αὐτοῦ τοῦ Ξενοφῶντος, τοῦ Θεσσαλοῦ, φήμη λαμπρὰ τῆς ἀρετῆς τῶν ποδῶν ἀνάκειται, ἀντὶ τοῦ ἐπικρατεῖ, παραμένει ἐπὶ τοῖς ῥεύμασι τοῦ Ἀλφειοῦ, ἤγουν ἐν τῇ Ὀλυμπίᾳ (Θεσσαλὸς ὁ ἀπὸ Θεσσαλίας· ἐνταῦθα δὲ ὄνομα κύριον ὁ Θεσσαλός)· ἐν τῇ Πυθοῖ τε ἔσχεν, ὁ Θεσσαλὸς δηλονότι, κλέος νίκης σταδίου καὶ διαύλου ἡλίῳ ἀμφ' ἐνί, ἀντὶ τοῦ ἐπὶ μιᾷ ἡμέρᾳ, καὶ ἐν τῇ Ἀττικῇ (53) τῇ τραχείᾳ ἐπὶ τοῦ αὐτοῦ μηνὸς ἡ ἡμέρα ἡ τοῖς δρόμοις διαρκοῦσα, ἤγουν ἡ ἱκανῶς τοῖς δρόμοις ἀνατεθειμένη, τρία ἔργα κάλλιστα, ἀντὶ τοῦ τριῶν ἔργων καλλίστων στεφάνους ἔθηκεν ἐπὶ τῇ κεφαλῇ αὐτοῦ· τὰ Ἑλλώτια δέ (ἑορτὴ δὲ ἦν αὕτη τῆς Ἀθηνᾶς ἐν τῇ Κορίνθῳ) ἑπτάκις ἔθηκαν δηλονότι στέφανον ἐπὶ ταῖς κόμαις αὐτοῦ. ἤτοι τῷ Ἰσθμῷ, παρ' ᾧ τελεῖται Ποσειδῶνος πανήγυρις ἐξ ἀρχῆς νενομοθετημένη.

O 13 57g — Ποσειδῶνος. οὗτος πατὴρ Θεσσαλοῦ.

O 13 58g — ** αὐτοῦ. —πλείονες ὧν ἔφην. * ἠκολούθησαν αὐτῷ, τῷ Θεσσαλῷ.

O 13 59g ἔστι δὲ τὸ ἕψονται ἀντιχρονισμός, ἢ τὸ μέλλον μαντευόμενος λέγει. τούτου δὲ ὄντος ζῶντα νοήσεις τὸν Πτοιόδωρον. —ἄγαν τίμιαι. εὐφημίαι.

O 13 56-60 Germ. Ὁ νοῦς. ἐν δὲ τοῖς τεθμοῖσι τοῖς ἀμφιάλοις· οὗτοι γὰρ τοῦ Ποσειδῶνος νόμιμοι ἀγῶνες· σὺν τῷ Πτοιοδώρῳ πατρὶ αἱ τέρψιες αἱ ἀοιδαί τε αἱ ἐρίτιμοι μακρότεραι ἕψονται καὶ γενήσονται. ἢ οὕτως· ἐν δὲ τοῖς ἀμφιάλοις τεθμοῖς τοῦ Ποσειδῶνος αἱ ἀοιδαὶ αἱ τέρψεις καὶ αἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ Τέρψιος, αἱ ἐρίτιμοι καὶ αἱ τοῦ Ἐριτίμου σὺν τῷ πατρὶ τῷ Πτοιοδώρῳ μακρότεραι ἕψονται. πολλά.

O 13 61g ἐν τοῖς Πυθίοις. —Ξενοφῶν, Θεσσαλέ, Πτοιόδωρε. ἤτοι τῇ Νεμέᾳ, ἔνθα Ἡρακλῆς ἀνεῖλε τὸν λέοντα.

O 13 56-62 M. Ἐν δὲ τοῖς ἀγῶσι τοῖς κατὰ νόμους τελουμένοις τοῖς ἀμφιάλοις, ἤγουν τοῖς ἐν τῷ τόπῳ τῷ ἀμφοτέρωθεν θάλατταν ἔχοντι, τουτέστι τοῖς ἐν τῷ Ἰσθμῷ, ὧν ἔφορος ὁ Ποσειδῶν, μακρότεραι, ἀντὶ τοῦ μείζονες τέρψεις (59) καὶ κατὰ πολὺ τίμιοι ὕμνοι ἕψονται, ἀντὶ τοῦ ἕπονται, ἤγουν ἀκολουθοῦσιν αὐτῷ δηλονότι σὺν τῷ πατρὶ αὐτοῦ τῷ Πτοιοδώρῳ. εἶτα ἀποτείνων τὸν λόγον πρὸς αὐτούς φησι· καὶ ἐν τοῖς Δελφοῖς βαβαὶ τῶν ἀνδραγαθημάτων ὅσα ἠνδραγαθήσατε· καὶ ἐν τοῖς χόρτοις τοῦ λέοντος, ἤγουν καὶ ἐν τῷ περιορίσματι, τῷ τόπῳ ἔνθα ὁ λέων ἐτράφη ὁ ὑπὸ τοῦ Ἡρακλέος ἀναιρεθείς, τουτέστι καὶ ἐν τῇ Νεμέᾳ (ἐν αὐτῇ γὰρ ἐτράφη οὗτος ὁ λέων) βαβαὶ δηλονότι τῶν ἀνδραγαθημάτων ὅσα ἠνδραγαθήσατε. φιλονεικήσω.

O 13 63g —πλείστοις ἀνθρώποις. * ἕνεκα πλήθους.

O 13 64g — * ὅσον μέν. — * κατὰ τό. ἤγουν οὐκ ἂν εἰδείην ὥστε λέγειν τὸν ἀριθμὸν τῶν ὑμετέρων ἀνδραγαθημάτων.

O 13 66g θαλασσίων. — * ψάμμων· — ** τῶν τῆς ἄμμου λιθιδίων. — * πληθύν. * ὀφείλεται.

O 13 67g — * ἀκολουθεῖ. —πράγματι. —συμμετρία. — * ἐνθυμηθῆναι· — ** ταύτην τὴν συμμετρίαν. * πρεπωδέστατος.

O 13 63-68 Th. Δηρίομαι πολλέσι] τοῦτο λέγει ἀντὶ τοῦ ἐρίσω πρὸς τοὺς πολλοὺς περὶ τοῦ πλήθους τῶν ὑμετέρων ἀνδραγαθημάτων, καὶ οὐδένα τῶν πάντων τοσαῦτα κατωρθωκότα εὑρήσω ἐπεὶ δὲ πλήθει ἀορίστως εἶπε, διὰ τοῦτό φησιν· Ὡς μὲν σαφές, ἤγουν πόσα εἰσὶ ταῦτα τῇ ἀληθείᾳ, οὐ δύναμαι λέγειν τὸν ἀριθμὸν τῆς ψάμμου· ὥστε ὥσπερ τοῦτο ἀδύνατον, οὕτω καὶ τὸ ταῦτα ἀπαριθμήσασθαι. διὸ δὲ τὸ ἄμετρον πλῆθος παραιτούμενος ὡς ἀδύνατον, τὴν συμμετρίαν αἱρεῖται καί φησιν· ἕπεται δ’ ἐν ἑκάστῳ μέτρον, τουτέστι πᾶν πρᾶγμα συμμετρίαν ἔχει, ὃ δὴ καὶ ποιήσω σύμμετρα ἐκλεξάμενος. M. Δηρίομαι, ἤγουν μάχομαι, φορτικὸς γίνομαι πολλοῖς ἀνθρώποις δηλονότι περὶ τοῦ πλήθους τῶν ἀνδραγαθημάτων τῶν ὑμετέρων· κατὰ πολὺ μέντοι ἀκριβῶς οὐκ ἂν εἰδείην ὥστε λέγειν τὸν ἀριθμὸν τῶν ψηφίδων τῶν παραθαλασσίων, ἤγουν τῆς ψάμμου, ἀντὶ τοῦ κατὰ πολὺ μέντοι ἀκριβῶς οὐκ ἂν εἰδείην τὸν ἀριθμὸν αὐτῶν λέγειν, ἤγουν τῶν ὑμετέρων ἀνδραγαθημάτων, ὥσπερ οὐδὲ τὸν ἀριθμὸν τῶν ψηφίδων τῶν παραθαλασσίων. ἕπεται δέ, ἀντὶ τοῦ προσήκει ἐπάγεσθαι ἑκάστῳ πράγματι μέτρον, ἤγουν συμμετρίαν. τὸ νοῆσαι δὲ αὐτό, ἤγουν τὸ μέτρον, καιρός ἐστιν ἄριστος, τουτέστιν εὐκαιρία, εὐστοχία ἐστὶν ἀρίστη. μόνος.

O 13 69g — * οἴκοθεν καὶ ἀφ’ ἑαυτοῦ· — ** οἴκοθεν. —τῶν Κορινθίων. — * ὁρμηθείς· — ** κινηθείς. * σύνεσιν.

O 13 70g — * λέξων· —βοῶν, ὑμνῶν. — * ἀρχαίων· — τῶν πάλαι Κορινθίων προγόνων. * τὸ κατὰ πόλεμον κράτος.

O 13 71g — ** καί. —ἡρωϊκαῖς, μεγάλαις. — * ἀνδραγαθίαις. * ψευδηγορήσω.

O 13 72g — * λέγων. —περί. —ὃς ἐκ Κορίνθου ἦν. συνετώτατον γαρύων.

O 13 73g —μηχαναῖς· — * βουλαῖς. θεῶν γὰρ τὸ μηχανᾶσθαι ἐν ἀμηχάνοις ὥσπερ ἐκεῖνος.

O 13 74g — ** τοῦ Αἰήτου. Th.

O 13 75 Διατί ἐμνημόνευσε τῆς Μηδείας Κολχίδος οὔσης; καί φαμεν, ὅτι ἡ Κόρινθος πρῶτον αὐτῆς ἦν κτῆμα οὕτως· Ἀλωεὺς καὶ Αἰήτης ὁ Μηδείας πατὴρ ἐγένοντο παῖδες Ἡλίου καὶ Ἀντιόπης. τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαβεν Ἀλωεὺς μὲν τὴν Ἀρκαδίαν, τὴν δὲ Κόρινθον

Αἰήτης. Αἰήτης δὲ μὴ ἀρεσθεὶς τῇ ἀρχῇ Βουνόμῳ μέν τινι Ἑρμοῦ υἱῷ παρέδωκε τὴν πόλιν, εἰπὼν φυλάσσειν τοῖς ἐσομένοις ἐξ αὐτοῦ· αὐτὸς δὲ εἰς Κολχίδα τῆς Σκυθίας ἀφικόμενος καὶ κατασχὼν ἐκεῖσε χώραν τινὰ ἐβασίλευεν. Ἰάσων οὖν ἐλθὼν εἰς αὐτὸν διὰ τὸ χρυσόμαλλον δέρας ἠράσθη παρὰ Μηδείας, ἣ παρασκευάσασα αὐτὸν λαβεῖν τὸ χρυσόμαλλον δέρας συναπῆρεν αὐτῷ πρὸς τὴν Ἑλλάδα ἄκοντος Αἰήτου. εἰρήκαμεν δὲ τὴν ἱστορίαν πλατύτερον ἐν τῇ τοῦ Λυκόφρονος παραφράσει. * ἀπεναντίας· — ** ἐξεναντίας.

O 13 75g —γαρύων. — * κατασκευάσασαν. —πρὸς Ἰάσονα. σωστικήν.

O 13 76g — * διὰ συνέσεως. * ναύταις· —ἤτοι τῆς ἐν τῇ Ἀργοῖ, οὓς ἀνελεῖν Αἰήτης ἐβούλετο.

O 13 69-77 Μ. Ἐγὼ δὲ ὡς ἴδιος καὶ οὐκ ἀλλότριος ὢν ἐν τῇ κοινότητι ὑμῶν παραγενόμενος τὴν φρόνησίν τε ὑμνήσων τῶν πάλαι γεγενημένων ὑμετέρων ἀνδρῶν καὶ τὸν πόλεμον τὸν ἐν ταῖς ἀρεταῖς, τουτέστι ταῖς ἀνδρείαις ταῖς ἥρωσι προσηκούσαις, οὐ ψεύσομαι περὶ τῆς Κορίνθου, τὸν Σίσυφον μὲν ὑμνῶν δηλονότι πυκνότατον (73) παλάμαις, ἀντὶ τοῦ βουλαῖς, πράξεσι, τουτέστι συνετώτατον ὡς θεόν, καὶ τὴν Μήδειαν ὑμνῶν ὁμοίως ὡς συνετωτάτην τὴν ποιήσασαν ἑαυτῇ τὸν γάμον κατ᾽ ἐναντιότητα τῆς γνώμης τοῦ πατρὸς αὐτῆς, τὴν γενομένην σώτειραν τῆς νηὸς τῆς Ἀργοῦς καὶ τῶν προπόλων, ἀντὶ τοῦ τῶν ἐπιμελουμένων αὐτῆς, ἤγουν τῶν ἐπιβατῶν αὐτῆς. κυρίως δὲ πρόπολος ὁ νεωκόρος. Tr.

O 13 78 Τὸ ποτὲ πρὸς τὸ ἐδόκησαν συναπτέον, τὸ δὲ τὰ δὲ πρὸς τὸ ἀλκά ν , οὕτω· τὰ δὲ ἐν ἀλκῇ ἐδόκησάν ποτε. * τὰ δὲ ἐν ἰσχύϊ πολέμου.

O 13 78g —δυνάμει. — * ἔμπροσθεν. τῆς Τροίας.

O 13 79g — * ἔδοξαν. Th.

O 13 80 Οἱ Κορίνθιοι ἐπ᾽ ἀμφότερα ἠρίστευσαν ἐν Ἰλίῳ· καὶ γὰρ τοῖς Τρωσὶ συνεμάχησαν καὶ τοῖς Ἕλλησι· Τρωσὶ μὲν Γλαῦκος τὸ γένος εἰς Βελλεροφόντην ἀνάγων τὸν Γλαύκου τοῦ Σισύφου, τοῖς δὲ Ἀχαιοῖς Εὐχήνωρ ὁ Πολυείδου τοῦ μάντεως. ὅτι δὲ Εὐχήνωρ Κορίνθιος ἦν, καὶ Ὅμηρος μαρτυρεῖ λέγων (Il. N 683)· ἦν δέ τις Εὐχήνωρ Πολυείδου μάντιος υἱός ἀφνειός τ᾽ ἀγαθός τε, Κορινθόθι οἰκία ναίων. ἤγουν ἐπ᾽ ἀμφοτέροις τοῖς πολεμίοις Ἕλλησί τε καὶ Τρωσίν.

O 13 80g — * τὰ μέρη. — * κατασκευάζειν. — * τάγμα ἢ νίκην· — ** κατορθοῦν νίκην. ὁ Εὐχήνωρ καὶ οἱ μετ᾽ αὐτοῦ Κορίνθιοι.

O 13 81g — * ἤτοι σὺν τοῖς Ἀτρείδαις. * ἀπολαμβάνοντες· — ** ἄγοντες, λαμβάνοντες.

O 13 82g — * οἱ περὶ τὸν Γλαῦκον· — ** ὁ Γλαῦκος καὶ οἱ περὶ αὐτόν. — * παντελῶς. * ἀπείργοντες· — τοὺς Ἕλληνας.

O 13 84g * ἔτρεμον. — * Ἕλληνες. Tr.

O 13 85 Ἄστυ Πειρήνης λέγει τὴν Κόρινθον ἀπό τινος γυναικὸς οὕτω καλουμένης. * ἐν τοῖς Δαναοῖς.

O 13 85g —καυχώμενος διηγεῖτο. Th.

O 13 86 Ἡ τοῦ Προίτου γυνὴ ἐρασθεῖσα Βελλεροφόντου ὡς οὐκ ἔσχεν αὐτὸν πειθόμενον, κατεψεύσατο αὐτοῦ πρὸς τὸν ἴδιον ἄνδρα Προῖτον. καὶ ὃς πρὸς τὸν τῆς Λυκίας βασιλέα κηδεστὴν ὄντα αὐτοῦ Ἰόβατον ἀποστέλλει ὑπ᾽ αὐτοῦ τεθνηξόμενον. Ἰόβατος οὖν ἐκπέμπει αὐτὸν κατὰ τῆς Χιμαίρας, ὑπ᾽ αὐτῆς νομίζων αὐτὸν διαφθαρήσεσθαι. Βελλεροφόντης δὲ θέλων μετὰ τοῦ Πηγάσου ἵππου τὸν πρὸς τὴν Χίμαιραν ἐργάσασθαι πόλεμον, ἐπεὶ πολλὰ παθὼν οὐχ οἷόστ᾽ ἦν αὐτὸν ὑποτάξαι, καθ᾽ ὕπνους εἶδε τὴν Ἀθηνᾶν ἐγχειρίζουσαν αὐτῷ χαλινόν, καὶ ἀναστὰς ὕπαρ εὗρε τὸ ὄναρ. ὅθεν χαλινώσας τὸν ἵππον καὶ καταπολεμήσας Χίμαιραν ἔλαβεν ἆθλον τὴν θυγατέρα Ἰοβάτου Ἀντίκλειαν, ἀφ᾽ ἧς ἔσχεν Ἱππόλοχον τὸν τοῦ Γλαύκου πατέρα. τῇ Κορίνθῳ.

O 13 86g — * ἰδίου. * τοῦ Βελλεροφόντου· — ** τοῦ πάππου αὐτοῦ Βελλεροφόντου.

O 13 87g

— * βασιλείαν· — τὴν ἀσφάλειαν. — * μέγαν· — ** πολύν. εἶναι.

O 13 88g — * οἶκον. M.

O 13 78-88 Τὰ δὲ ἀντὶ τοῦ κατὰ τὸ δέ, τουτέστι καὶ κατὰ τὸ ἕτερον δὲ μέρος, ἤγουν καὶ κατὰ τὸν πόλεμον δὲ πρὸ τῶν τειχῶν τοῦ Ἰλίου ποτέ, ἤτοι πάλαι ἔδοξαν οἱ Κορίνθιοι ἐπ' ἀμφότερα τὰ μέρη τῶν πολεμίων ἐν ἰσχύϊ τέμνειν τέλος, ἀντὶ τοῦ ἔχειν τὸ ἔξοχον· οἱ μέν (81), οἱ περὶ τὸν Εὐχήνορα δηλονότι, σὺν τῷ γένει τοῦ Ἀτρέως τῷ προσφιλεῖ αὐτῷ, δηλονότι τῷ Ἀτρεῖ, τουτέστι σὺν τοῖς παισὶ τοῦ Ἀτρέως τῷ Ἀγαμέμνονι καὶ τῷ Μενελάῳ, τὴν Ἑλένην κομίζοντες, ἀντὶ τοῦ ζητοῦντες κομίσασθαι· οἱ δέ, ἤγουν οἱ περὶ τὸν Γλαῦκον, ἀπείργοντες, τουτέστι κωλύοντες πάμπαν. ἐκ τῆς Λυκίας γὰρ τὸν Γλαῦκον ἐλθόντα σύμμαχον τοῖς Τρωσὶν ἔτρεμον οἱ Ἕλληνες. τούτοις μέν (85), ἤγουν τοῖς Λυκίοις, ηὔχετο, τουτέστι διηγεῖτο φιλοτιμούμενος ἐν τῇ πόλει τῆς Πειρήνης τῆς πηγῆς, ἤτοι ἐν τῇ Κορίνθῳ εἶναι τὴν βασιλείαν τοῦ σφετέρου πατρός, ἀντὶ τοῦ τοῦ ἑοῦ, ἤγουν τοῦ ἑαυτοῦ πάππου, τουτέστι τοῦ Βελλεροφόντου, καὶ μεγάλην κληρονομίαν καὶ μέγαρον, ἤτοι οἰκίαν, καθέδραν. τῆς ὄφεις περὶ τὰ νῶτα ἐχούσης Μεδούσης.

O 13 90g ὄντως. —τῆς Κορίνθου. ** τὸν ἵππον.

O 13 91g — * ἐπιθυμῶν. * ἕως οὗ.

O 13 92g — * αὐτῷ. — * χρυσῆν περικεφαλαίαν ἔχοντα. Ἀθηνᾶ.

O 13 93g —ἐκόμισεν. Germ.

O 13 91-94 Ὁ νοῦς· ὃς καὶ ὅστις ὁ Βελλεροφόντης ποτὲ ἣ καὶ ὄντως ποθέων καὶ ζητῶν ζεῦξαι καὶ ὑποτάξαι καὶ χαλινῶσαι τὸν Πήγασον τὸν υἱὸν τῆς ὀφιώδους Γοργόνης ἀμφὶ τοῖς κρουνοῖς πολλὰ ἔπαθε καὶ ὑπέστη, πρίν γε καὶ πρότερον ἡ κούρη Παλλὰς ἤνεγκε καὶ ἔδωκέν οἱ καὶ αὐτῷ τῷ Βελλεροφόντῃ τὸν χρυσάμπυκα χαλινόν. * ἐκ φαντάσματος.

O 13 94g — * παραχρῆμα. * ἔργον φανερῶς· — ** ἤγουν φανερὸν τὸ ὄναρ ἐγένετο.

O 13 95g —ἡ Ἀθηνᾶ. Βελλεροφόντα, τοῦ Αἰόλου ἀπόγονε.

O 13 96g — ** ἐν ἤθει τοῦτο ἀναγνωστέον, οὐ κατ' ἐρώτησιν· οὐ γὰρ ἠγνόει, εἰ καθεύδει. Th.

O 13 97 Φίλτρον ἵππειον λέγει τὸν χαλινὸν τὸν διὰ μακρὸν ἔθος ὡσανεὶ προσφιλῆ τοῖς ἵπποις ὄντα, ἢ τὸν ποθούμενον ὑπὸ σοῦ καὶ φιλούμενον· ζητεῖς γὰρ εὑρεῖν ἱππικὸν δεσμὸν κατὰ τοῦ Πηγάσου. * εἶα.

O 13 97g — * ποθεινόν, ἐπιθυμητόν. — * χαλινόν. — * δέχου. Germ.

O 13 98 Ἀργάντα πατρ ί ] ἀργάντα νῦν οὐχὶ τὸν λευκόν, ἀλλὰ τὸν διάδηλον τῷ μήκει καὶ ἔκδηλον τῷ μεγέθει καὶ περιφανῆ· Ὅμηρος γὰρ μέλαν κελεύεται θύειν διὰ τὸ φοβερόν. τῷ τῶν ἵππων δαμαστικῷ Ποσειδῶνι.

O 13 98g —τὸν χαλινόν. * λευκόν.

O 13 99g — * πατρί] σοῦ· τῇ ἀληθείᾳ Βελλεροφόντης Ποσειδῶνος ἦν υἱός, δοκῶν εἶναι Γλαύκου. M.

O 13 89-99 Ὅς, ἤγουν ὁ Βελλεροφόντης, πάλαι τὸν Πήγασον τὸν ἵππον τὸν υἱὸν τῆς Γοργόνος τῆς ὀφιώδους, τουτέστι τῆς ὁμοίωσίν τινα ὄφεως ἐχούσης, ποθῶν ζεῦξαι, ἀντὶ τοῦ ὑπαγαγεῖν, τῷ χαλινῷ ὑποτάξαι, ὄντως πολλὰ ἔπαθεν ἐπὶ τοῖς ῥεύμασι τῆς Πειρήνης, δηλονότι τῆς ἐν Κορίνθῳ πηγῆς, ἕως ἐνεγκοῦσα ἔδωκεν αὐτῷ ἡ παρθένος ἡ Ἀθηνᾶ χαλινὸν χρυσάμπυκα, ἀντὶ τοῦ χρυσᾶ φάλαρα ἔχοντα, ἐν ὕπνῳ δηλονότι. ἐπάγεται γάρ· ἐξ ὀνείρου (94) δ' αὐτίκα ἦν ὕπαρ, τουτέστιν ἦν δὲ ἡ δόσις αὐτίκα ἐκ τοῦ ὀνείρου ἐν τῷ φανερῷ. ἐφώνησε δὲ ἡ Ἀθηνᾶ τῷ Βελλεροφόντῃ ἐν τῷ ὕπνῳ δηλονότι· καθεύδεις, ἤγουν ὑπνώττεις, ὦ βασιλεῦ Αἰολίδη, τουτέστιν ἀπόγονε τοῦ Αἰόλου; ἄγε δέχου τόδε τὸ φίλτρον τὸ τῶν ἵππων, ἤγουν τὸ φάρμακον

τὸ πραϋντικὸν τῶν ἵππων, καὶ τῷ πατρὶ τῷ σῷ τῷ Ποσειδῶνι, τῷ δαμαστικῷ τῶν ἵππων, ἤγουν τῷ ἱππικῷ, δεῖξον αὐτό, θύων αὐτῷ ταῦρον περιφανῆ, εὐτραφῆ. * ἡ μελανείμων Ἀθηνᾶ διὰ τὸ ἐν βάθει κεῖσθαι τὴν γνῶσιν· —ἡ μέλαιναν αἰγίδα φοροῦσα. [15]

O 13 100g —κοιμωμένῳ. * ἡ Ἀθηνᾶ.

O 13 101g — * τοσαῦτα. Germ.

O 13 102 Ἔπαλτ ο ] ἀντὶ τοῦ ἀνηγέρθη καὶ ἀνεπήδησεν ὁ Βελλεροφόντης. * ἐνομίσθη· —ἐφάνη.

O 13 102g — * ἀνωρμήθη· —ἀνεπήδησε τοῦ ὕπνου. — * ὁρμητικῷ· —συντόμῳ. * πλησίον κείμενον.

O 13 103g — * κρατήσας. —τὸν θαυμασίως ἀναφανέντα αὐτῷ χαλινόν. Th.

O 13 104 Σύναπτε τὸ Κοιρανίδᾳ πρὸς τὸ μάντι ν . ὁ γὰρ Πολύειδος οὗτος μάντις Κοιράνου υἱὸς ἦν, ὃς καὶ προϋπέθετο Βελλεροφόντῃ καταδαρθεῖν παρὰ τῷ τῆς Ἀθηνᾶς βωμῷ, ὡς ἐκεῖθεν ἐσομένης αὐτῷ τῆς τοῦ ζητουμένου λύσεως. * ἐντόπιον.

O 13 104g — * Πολύειδον. — * χαίρων. ἀπόβασιν.

O 13 106g ** τοῦ συμβάντος. —πῶς. — * ἐν. * Ἀθηνᾶς.

O 13 107g — * ἐκοιμήθη. — * κατά. μαντείας.

O 13 108g — * πῶς. αὐτῷ.

O 13 109g — * Ἀθηνᾶ. θυγάτηρ, ἡ Ἀθηνᾶ.

O 13 110g —ἔδωκεν. Th.

O 13 111 Δαμασίφρονα χρυσὸν λέγει, ὃν ἔμπροσθεν εἶπε χρυσάμπυκα χαλινὸν ὡς τὰς φρένας τῶν ἵππων δαμάζοντα καὶ εὐπειθεῖς ἐργαζόμενον· ἢ διότι ὁ χαλινὸς χρυσοῦς ἦν, ὁ δὲ χρυσὸς πάντων ἀνθρώπων δαμάζει καὶ πείθει τὰς φρένας. * δαμάζοντα τὴν ἔπαρσιν, ἤγουν χρυσοῦν χαλινόν· —τὸν δαμάσαντα τὰς τοῦ Πηγάσου φρένας χαλινόν.

O 13 111g — ** τὸν χρυσοῦν χάλινον. — ** τῷ ὀνείρῳ. * παρεκελεύσατο.

O 13 113g —ὁ μάντις. — * αὐτόν· —τὸν Βελλεροφόντην. M.

O 13 100-113 Τοσαῦτα ἔδοξεν εἰπεῖν αὐτῷ ἐν νυκτὶ ὑπνώττοντι ἡ παρθένος, τουτέστιν ἡ Ἀθηνᾶ, ἡ κυαναιγίς, ἤγουν ἡ μέλαιναν ἔχουσα αἰγίδα. ἀνεπήδησε δὲ ὁ Βελλεροφόντης γενόμενος δηλονότι ἐν ὀρθῷ ποδί· παρ' ἑαυτῷ δὲ κείμενον εὑρὼν τέρας, ἤτοι θαῦμα, τουτέστι τὸν χαλινὸν οὕτω θαυμασίως φανέντα, τὸν ἐπιχώριον (104) μάντιν τὸν Πολύιδον τὸν υἱὸν τοῦ Κοιράνου ζητήσας εὗρεν ἀσμένως, ἤγουν μετὰ περιχαρείας, καὶ ἔδειξεν, ἀντὶ τοῦ ἐδήλωσεν αὐτῷ πᾶσαν τὴν τελευτήν, ἤγουν τὴν ἀπόβασιν τοῦ πράγματος, ὅπως τε ἐν τῷ ναῷ τῆς θεᾶς, ἤτοι τῆς Ἀθηνᾶς, ὕπνωσε κατὰ τὴν νύκτα μετὰ τὴν (108) μαντείαν ἐκείνου· ἐκεῖνος γάρ, ὡς ἔοικεν, ἔχρησεν αὐτῷ ἀμηχανοῦντι περὶ τῆς κατασχέσεως τοῦ Πηγάσου ἀπελθεῖν καὶ καθευδῆσαι ἐκεῖ· ὅπως τε παρέσχεν αὐτῷ τὸν χρυσοῦν χαλινὸν τὸν δαμάζοντα τὰ φρονήματα τῶν ἵππων αὐτὴ ἡ παῖς τοῦ Διὸς τοῦ τῷ κεραυνῷ ὡς ἔγχει χρωμένου, ἤγουν ἡ Ἀθηνᾶ. ἐκέλευσε δὲ αὐτὸν ὁ μάντις πείθεσθαι τῷ ἐνυπνίῳ ὅτι τάχιστα. * μεγαλοδυνάμῳ. [15]

O 13 114g * τὸν ἰσχυρόπουν Πήγασον· — ** τὸν ἰσχυρὸν ταῦρον. — * κωλύσῃ διὰ χαλινοῦ· — ** θύῃ. — * τῷ τὴν γῆν περιέχοντι Ποσειδῶνι. * θεῖναι· —ἐκέλευσεν ἀπὸ κοινοῦ.

O 13 115g — * πλησίον. * πληρῆ ποιεῖ· — ** διὰ τὸ μέτρον πληροῖ γράφε, οὐ τελε ῖ .

O 13 116g — * πρὸς ἣν ὀμνύει τις οὐκ ἰσχύων. —τὴν δι' ὅρκου ἀπαγορευθεῖσαν. * τὴν ἔξω ἐλπίδος.

O 13 118g * ῥᾳδίαν· — ** ῥᾴστην. Germ.

O 13 116-118 Ὁ νοῦς· τελεῖ δὲ καὶ πληροῖ ἡ δύναμις τῶν θεῶν, ἀντὶ τοῦ ὁ θεός, καὶ τὰ παρ' ἀνθρώποις ἀπαγορευθέντα πράγματα. Th. Οἱ θεοὶ καὶ τὰ νομιζόμενα ἀδύνατα ῥᾷστα ποιοῦσι, περὶ ὧν ἄν

τις καὶ δι’ ὅρκου ἀπαγορεύσειεν ὡς οὐχ οἷά τε γενέσθαι. ἔστι δὲ τὸ πα ρ ’ ἐλπίδα καὶ τὸ πα ρ ’ ὅρκον ταυτόν· τὰ γὰρ ἀδύνατα καὶ ἀνέλπιστα. M.

O 13 113-118 Ὅταν δὲ ἀνερύῃ, ἤγουν ἀνατρέπῃ, ἀντὶ τοῦ σφάζῃ, θύῃ, ἀπὸ τοῦ παρακολουθοῦντος, τὸν κραταιὸν τοὺς πόδας ταῦρον τῷ Ποσειδῶνι τῷ συνέχοντι τὴν γῆν, τῷ κατὰ πολὺ ἰσχυρῷ, ἐκέλευσεν αὐτίκα ποιῆσαι τῇ Ἀθηνᾷ τῇ ἱππικῇ, ἤγουν τῇ πολεμικῇ, ναόν. πληροῖ δὲ (116) ἡ δύναμις τῶν θεῶν κούφως, τουτέστιν εὐχερῶς τὴν κτίσιν, ἀντὶ τοῦ τὴν πρᾶξιν καὶ τὴν παρ’ ὅρκον, ἤγουν τὴν μὴ δεομένην βεβαιώσεως ὅρκων εἰς τὸ μὴ πραχθῆναι ὡς ἀνέλπιστον δηλονότι οὖσαν καὶ ἀδύνατον, καὶ τὴν παρ’ ἐλπίδα, τουτέστι καὶ ἣν οὐκ ἄν τις ἐλπίσαι ποτὲ πράξειν. * καὶ δή· —μέν.

O 13 119g * ζητῶν, προθυμούμενος· — ** κινηθείς. — * ἔλαβε· τὸ ἕλε πρὸς τὸ ἵππον σύναπτε· — ** τοῦτο πρὸς τὸ ἵππον σύναπτε. τὸ δίκην φαρμάκου πραΰνον τοὺς ἵππους, * ἢ βοήθημα πρὸς ὃ ἔχρηζε.

O 13 121g * πραοποιόν. — * ἕλκων. —ἐν τῷ στόματι τοῦ ἵππου. * ταχύν.

O 13 122g — ** ἐπιβὰς ἐπ’ αὐτόν. * πολεμικὰ παίγνια· — ** τὰ πολεμικά.

O 13 123g — * καθοπλισθείς· — ** ὁπλισθείς. — * ἐγυμνάζετο· — ** σύναπτε ἐνταῦθα τὸ ἐνόπλι α . * τῷ ἵππῳ τῷ Πηγάσῳ.

O 13 125 Th. Αἰθέρος εἶπε θηλυκῶς ὡς ποιητής· ψυχρᾶς δέ, ἐπεὶ καὶ ὁ ἀὴρ αἰθὴρ λέγεται, ψυχρότερον δὲ τὸ βόρειον μέρος, ἔνθα οἰκοῦσιν αἱ Ἀμαζόνες. ἐρήμου δὲ διὰ τὸ τοῦ ἀέρος κενόν. λέγει δέ, ὡς σὺν τῷ Πηγάσῳ τὰς ὑπὸ τοῦ ὑπερβορέου κλίματος Ἀμαζόνας καὶ τὴν Χίμαιραν καὶ τοὺς Σολύμους ἔθνος ἀπώλεσεν. * ἀοίκου.

O 13 126g — * τοξεύων. * ἐκπνέουσαν.

O 13 129g ἀπώλεσεν. M.

O 13 118-129 Ἤτοι καὶ ὁ καρτερό ς ] ὁ ἤτοι ἀντὶ τοῦ δ ή , ἤγουν καὶ δὴ καὶ ὁ ἰσχυρὸς Βελλεροφόντης ὁρμαίνων, ἤτοι προθυμούμενος, ἔλαβεν ἵππον ὑπόπτερον, τουτέστι τὸν Πήγασον φάρμακον πραΰ, ἀντὶ τοῦ πραϋντικόν, ἤγουν τὸν παρὰ τῆς Ἀθηνᾶς χαλινόν, τείνων, ἀντὶ τοῦ ἐφαπλώσας, ἐπενεγκὼν ἀμφὶ τῇ γένυϊ, ἀντὶ τοῦ ἐπὶ τῇ γένυϊ, τουτέστιν ἐπὶ τῷ στόματι αὐτοῦ δηλονότι· ἀναβὰς δὲ εὐθὺς (123) ἐπ’ αὐτὸν ἔπαιζεν ἐνόπλιον παιδιὰν χαλκωθείς, ἤτοι ὁπλισάμενος. (κραταιὸς κοινόν, κρατερὸς ποιητικὸν τὸ αὐτό, καὶ κατὰ μετάθεσιν τοῦ ρ καρτερός.) σὺν ἐκείνῳ δέ, ἤγουν τῷ Πηγάσῳ ποτὲ ἐφόνευσε καὶ τὸν στρατὸν τὸν γυναικεῖον τῶν Ἀμαζόνων τὸν τοξότην, βάλλων αὐτόν, τουτέστι βολαῖς ἐπιτιθέμενος αὐτῷ ἄνωθεν ἀπὸ τῶν κοιλωμάτων τῆς αἰθέρος τῆς ψυχρᾶς, ἀντὶ τοῦ τοῦ ἀέρος τοῦ ψυχροῦ, τοῦ ἐρήμου, ἤγουν ἐφ’ ᾧ οὐ διατρίβει πτηνὰ διὰ τὴν ψυχρότητα, καὶ τὴν Χίμαιραν τὴν πνέουσαν πῦρ, τουτέστιν ἥτις ἔπνει πῦρ, καὶ τοὺς Σολύμους. ἔθνος δὲ ἦσαν οἱ Σόλυμοι μεταξὺ Λυκίας καὶ Παμφυλίας πολεμικώτατον. Th.

O 13 130 Τὸ διασωπάσομαι εἶπε διὰ τὸ συμβὰν αὐτῷ ἐν τῇ τελευτῇ κακόν. οὐ γὰρ ἄξιον πολλοὺς καὶ μεγάλους ἐπαίνους ὑπὲρ αὐτοῦ διϊόντα καὶ τῶν συμβάντων αὐτῷ μνησθῆναι κακῶν. φασὶ γάρ, ὡς βουληθεὶς πρὸς οὐρανὸν ἀναπτῆναι σὺν τῷ Πηγάσῳ ἐξοιστρωθέντος τοῦ ἵππου παρὰ τοῦ Διὸς πίπτει καὶ χωλοῦται· κατὰ δέ τινας καὶ τυφλοῦται, καὶ ἐκπλανᾶται κατὰ τὸ Ἀλήϊον χωλός. φησὶ δὲ καὶ Ὅμηρος περὶ αὐτοῦ (Il. Z 201. sq.)· Ἤτοι ὁ καππεδίον τὸ Ἀλήϊον οἶος ἀλᾶτο Ὃν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων. * οὐ λέξω, σιγήσω.

O 13 130g — * αὐτῷ. — * θάνατον, δυστυχίαν· φασὶ γάρ, ὡς ἐναέριος ἐφέρετο ὁ Πήγασος, φέρων καὶ τὸν Βελλεροφόντην, ὃς καὶ κρημνηθεὶς ἐκεῖθεν χωλός τε καὶ τυφλὸς ἐγένετο καὶ ἀλώμενος ἀπέθανε· — ** τὴν δυστυχίαν, τὸν θάνατον. τὸν Πήγασον.

O 13 131g —ἐν οὐρανῷ. — * ἄστρα οὕτω καλούμενα. * ἐκ παλαιοῦ πεποιημέναι ἢ τίμιαι· — ** αἱ τίμιαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

O 13 133g ὀρθόν. — ** βελῶν. —πέμποντα. — δίνησιν, συστροφήν. * ἔξω σκοποῦ· — ** παρὰ τὴν βούλησιν, ἣν προὐθέμην.

O 13 135g τοὺς πλείστους ἐπαίνους. — * εὐτρεπίζειν· —οἰκονομεῖν, ἐκπέμπειν. Germ.

O 13 133-135 Ὁ νοῦς· ἐμὲ δὲ τὸν καρτύνοντα καὶ ἔχοντα καὶ ἰσχυροποιοῦντα ἐν ταῖν χεροῖν τὰ πολλὰ βέλεα οὐ χρὴ ἱέναι καὶ πέμπειν τὸν εὐθὺν ῥόμβον, τὴν δίνησιν καὶ ἀκοντίων παρὰ σκοπὸν καὶ ἔξω τοῦ σκοποῦ. Th. Τὰ μὲν τοῦ Βελλεροφόντου καὶ τοῦ Πηγάσου οὕτως ἔσχεν· ἐμὲ δὲ ἱέντα εὐθὺν ῥόμβον ἀκόντων, ἤγουν σκοπὸν θέμενον ἐπαινεῖν Ξενοφῶντα, οὐ χρὴ κρατύνειν τὰ πολλὰ βέλη ἐν ταῖν χεροῖν παρὰ σκοπόν, ἤγουν οὐ δεῖ παρεκβάσει πολλῇ χρῆσθαι καὶ τοὺς πλείστους τῶν ἐπαίνων εἰς ἑτέρους ἀναλίσκειν. M.

O 13 130-135 Σιωπήσομαι, ἤγουν σιγήσω τὸν θάνατον αὐτοῦ, τὸν Βελλεροφόντου δηλονότι. τοῦτο δέ φησιν, ἐπεὶ δυστυχὲς αὐτῷ τὸ τέλος ἐγένετο πεσόντι ἀπὸ τοῦ ἵππου καὶ χωλωθέντι. τὸν δέ, ἤγουν τὸν ἵππον, αἱ φάτναι τοῦ Διὸς αἱ ἀρχαῖαι ἐδέξαντο ἐν οὐρανῷ· ἄστρα γὰρ λέγουσιν εἶναι ἐν οὐρανῷ ἀρχῆθεν φάτναι καλούμενα καὶ ὄνοι. ἐμὲ δὲ χρὴ ἱέντα, ἤγουν βάλλοντα ῥόμβον, ἀντὶ τοῦ βολὴν ἀκόντων εὐθεῖαν οὐκ ἔξω τοῦ σκοποῦ ἐρείδειν τὰ πλείω βέλη διὰ τῶν χειρῶν. συμβολικὸς ὁ λόγος ἀντὶ τοῦ ἐμὲ δὲ χρὴ προσήκουσαν ποιούμενον τὴν ὁρμὴν τῶν λόγων, τουτέστι διὰ τὸ κατὰ τὸ προσῆκον ποιεῖσθαι τὴν ὁρμὴν τῶν λόγων οὐκ ἔξω τῆς προκειμένης ὑποθέσεως ποιεῖσθαι τοὺς πλείους λόγους. —Ῥόμβος ὁ κοινῶς στροῦμβα, ἥτις καὶ βέμβιξ λέγεται καὶ στρόμβος, ἀφ' οὗ τὸ στρομβηδόν. ἐνταῦθα δὲ ῥόμβον λέγει ἀντὶ τοῦ στρόμβησιν, λέγει δὲ οὕτω τὴν βολὴν τῶν ἀκόντων διὰ τὸ μετὰ δινήσεως αὐτὴν γίνεσθαι. ἤγουν ὑπὸ Μουσῶν κατεχόμενος.

O 13 136g — * τοῖς ἐνδόξοις. — * ὑπακούων. Tr.

O 13 137 Ὀλιγαιθίδαι φατρία ἐν Κορίνθῳ ἀπό τινος Ὀλιγαίθου, ἧς ἦν Ξενοφῶν. * τοῖς ἀπὸ Ὀλιγαίθου καταγομένοις.

O 13 137g — * ἐπαινέτης, βοηθός· βοήθεια γὰρ τῶν ἀγαθῶν ἔργων τὰ ἔπη οὐκ ἐῶντα τοῦ λοιποῦ λήθην αὐτῶν κατακαυχήσασθαι· — ** βοηθός. * ἀγωνισαμένοις δηλονότι ἐν Ἰσθμῷ καὶ Νεμέᾳ.

O 13 138g — * ἐν ὀλίγῳ. ποιήσω.

O 13 139g —πάντα, ὁμοῦ πάσας τὰς νίκας. Germ.

O 13 138-139 Ὁ νοῦς· ἐν ἔπει δὲ καὶ ἐν λόγῳ παύρῳ καὶ σμικρῷ καὶ συντόμῳ θήσω ἀθρόα καὶ πολλὰ ἢ ὁμοῦ, τά τε ἐν Ἰσθμοῖ τὰ ἐν τῇ Νεμέᾳ τε φανερά. Th.

O 13 140 Ἀλαθής τέ μοι ἔξορκο ς ] ἤγουν εἰ ὅρκῳ χρήσομαι ὡς κατὰ ἀλήθειαν καὶ οὐ πρὸς χάριν ἐπαινῶ αὐτόν, ἀληθεύσω. ἐξαίρετος ὅρκος.

O 13 140g — * ἐπενεχθήσεται. * ὑπῆρξε τοῖς Ὀλιγαιθίδαις.

O 13 142g * ἀπὸ τοῦ Ἰσθμοῦ καὶ τῆς Νεμέας. — * ἡδύλογος. * ἀγαθοῦ· —ὑπῆρξε τοῖς Ὀλιγαιθίδαις· λʹ γὰρ ἐν ἑκατέρῳ ἀγῶνι ἐνίκησε τῶν Ὀλιγαιθιδῶν.

O 13 144g ἔργα. — * ἐν. —τῶν Ὀλιγαιθιδῶν. — ** φαίνεται. * πρότερον.

O 13 145g — * λεχθῆναι· —ῥηθῆναι. — * ἐν τῷ προοιμίῳ, ὅτε τρισολυμπιονίκην τὸν οἶκον αὐτῶν εἶπεν. * ἔργα· —καὶ τὰς μελλούσας αὐτοῖς συμβήσεσθαι νίκας.

O 13 146g —ὅτε γενήσονται. γενήσεσθαι αὐτάς.

O 13 148g * τὸ ἀποτέλεσμα· —τῶν εὐχῶν. M.

O 13 136-148 Ταῖς Μούσαις γὰρ ταῖς ἐπὶ λαμπρῶν θρόνων ἱδρυμέναις, ἤγουν ταῖς τιμίαις καὶ ἐν ἐνδόξῳ τάξει τεταγμέναις εἴκων, ἤτοι ὑπηρετῶν, ἦλθον ἐπίκουρος, ἀντὶ τοῦ ὑμνητὴς τοῖς Ὀλιγαιθίδαις, τουτέστι τῇ φατρίᾳ τοῦ Ξενοφῶντος, ἀντὶ τοῦ τοῖς Κορινθίοις, διὰ τὰ ἐν Ἰσθμῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτῶν ἔργα καὶ διὰ τὰ ἐν Νεμέᾳ. ἐν βραχεῖ δὲ λόγῳ ποιήσω φανερὰ πολλὰ ὁμοῦ, καὶ ὅρκος ἔσται ἐμοὶ ἐπὶ τούτοις ἀληθής. ἑξηκοντάκις (141) γὰρ ἀμφοτέρωθεν, ἤγουν ἀπὸ τοῦ Ἰσθμοῦ καὶ τῆς Νεμέας, βοὴ κήρυκος ἀγαθοῦ, κατὰ τὸ κηρύττειν δηλονότι, ἡδύφωνος ἀνεκήρυξεν, αὐτοὺς δηλονότι. ἡδύγλωσσον δὲ λέγει τὴν βοὴν οὐ διὰ τὸ ἐμμελὲς αὐτῆς, ἀλλὰ διὰ τὸ τερπνὴν παρέχειν τὴν ἀνακήρυξιν τοῖς ἀνακηρυττομένοις. τὰ δὲ (144) ἔργα αὐτῶν τὰ ἐν Ὀλυμπίᾳ, τουτέστιν αἱ νῖκαι δὲ αὐτῶν αἱ ἐν Ὀλυμπίᾳ δοκοῦσιν ἤδη πρότερον εἰρῆσθαι (ἔφη γὰρ αὐτοὺς ἐν τῇ ἀρχῇ τρὶς νενικηκέναι ἐν τῇ Ὀλυμπίᾳ) καὶ τὰ ἐσόμενα, ἤγουν καὶ τὰς ἐσομένας αὐτοῖς νίκας τότε ἄν, ὅτε ἔσονται δηλονότι, φαίην σαφῶς· νῦν δὲ ἐν ἐλπίσιν ἔχω τὸ τέλος τῆς νίκης αὐτῶν ὅμως ἐν τῷ θεῷ. ἡ ἐκ γενέσεως αὐτῶν εὐτυχία. [15]

O 13 148bisg — * ὁ ἀπὸ γένους κατιών. — * προέρχοιτο· —εἰς τέλος ἀφίξεται. ὡς ἐφόρῳ τοῦ ἀγῶνος· — ** ἀντὶ μιᾶς.

O 13 149g —τῷ Ἄρει ὡς πατρῴῳ τῶν Ἠλείων θεῷ. τὰ ἔργα αὐτῶν.

O 13 150g — * ἐξοχῇ· — ἤγουν ἐν Πυθοῖ. * ἔνθα ἐτελεῖτο τὰ Ἥραια τὰ καὶ Ἑκατόμβαια.

O 13 152g * ἔνθα ἐτελεῖτο καὶ τὰ Ἰολάϊα. * ὁ βασιλεύων.

O 13 154g τοῦ Ἀπόλλωνος. Πελλάνα] ἡ νῦν Κασάνδρεια· — * ἔνθα ἐτελεῖτο τὰ Θεοξένια καὶ τὰ Ἕρμαια· τὸ δὲ ἆθλον ἦν χλαῖνα.

O 13 155g —Σικυών] πόλις Βοιωτίας· — * ἔνθα ἤγετο τὰ Πύθια. * ἐν οἷς ἐτελεῖτο τὰ Διόκλεια.

O 13 156g —ἡ Σαλαμὶς ἢ ἡ Αἴγινα· — * ἔνθα ἐτελεῖτο τὰ Αἰάκεια. * ἔνθα ἤγετο τὰ Δημήτρια τὰ καὶ Ἐλευσίνια.

O 13 157g — * ἔνθα ἐτελεῖτο τὰ Ἡράκλεια. αἱ ἐν Σικελίᾳ πόλεις.

O 13 159g ** πόλιες] συνίζησις. ἔργα τῶν Ὀλιγαιθιδῶν.

O 13 162g * μείζω. — * καὶ νοῆσαι. * ἐλαφροῖς ὑφ' ἡδονῆς.

O 13 163g — * ἀπελθεῖν· —ἐπιστρέψαι ἐμὲ ἢ τὸν Ξενοφῶντα. * πάντα τελειῶν.

O 13 164g —τιμήν. — ** μὴ δίδοι γράφε, ἀλλὰ διδούς · τοῦτο γὰρ κάλλιον. Germ.

O 13 163-165 Ὁ νοῦς· ἀλλὰ ὦ Ζεῦ τέλειε, δίδοι καὶ δίδου ἐκνεῦσαι καὶ περιπατῆσαι ἐν κούφοις δή με ποσί· δίδου τε αἰδῶ καὶ τύχην γλυκεῖαν τερπνῶν καὶ ποιημάτων καὶ ἔργων. M.

O 13 148-165 Εἰ δὲ ὁ δαίμων ὁ γενέθλιος, ἤγουν ὁ θεὸς ὁ διοικῶν τοῦ Ξενοφῶντος τὸν βίον ἀπὸ γενέσεως, ἕρποι, τουτέστι προκόπτοι, ἐπιδιδοίη, τῷ Διῒ καὶ τῷ Ἐνυαλίῳ, ἤγουν τῷ Ἄρει, δώσομεν πράττειν τοῦτο· τῷ Διῒ μὲν ὅτι ὁ ἀγὼν αὐτῷ ἦν ἀνατεθειμένος, τῷ δὲ Ἄρει ἐπειδὴ ἐπιχώριος καὶ πατρῷος τῶν Ἠλείων ὁ Ἄρης. τὰ δὲ ἐπὶ τῇ ὀφρύϊ, ἀντὶ τοῦ τῇ ἐξοχῇ τῇ τοῦ Παρνασοῦ, τουτέστιν ἐν τοῖς Πυθίοις ἔργα αὐτοῦ, καὶ τὰ ἐπὶ τῷ Ἄργει (151), ἔνθα ἐτελεῖτο τὰ Ἥραια τὰ καὶ Ἑκατόμβαια· ἐδίδοτο δὲ τῷ νικήσαντι ἀσπὶς χαλκῆ· καὶ τὰ ἐν ταῖς Θήβαις (152), ἔνθα ἤγετο τὰ Ἡράκλεια τὰ καὶ Ἰολάϊα, βαβαὶ τοῦ πλήθους ὅσα ἐστί. καὶ ἐν τοῖς Ἀρκάσιν ἀνάσσων, ἤγουν νικῶν, φεῦ τοῦ πλήθους ὅσα ἐστὶν ἔργα αὐτοῦ. μαρτυρήσει τὰ ἔργα αὐτοῦ ὁ βωμὸς τοῦ Λυκαίου Διὸς ὁ ἄναξ ὁ ἐν Ἀρκαδίᾳ, καὶ ἡ Πελλήνη (155)· πόλις δὲ ἦν αὕτη τῆς Ἀχαίας, ἔνθα ἐτελεῖτο τὰ Θεοξένια καὶ τὰ Ἕρμαια· τὸ δὲ ἆθλον ἦν χλαῖνα· καὶ ἡ Σικυών, ἔνθα ἤγετο τὰ Πύθια· τῆς Βοιωτίας δὲ ἦν αὕτη ἡ πόλις· καὶ τὰ Μέγαρα, ἐν οἷς ἐτελεῖτο τὰ Διόκλεια, καὶ τὸ ἄλσος ἀντὶ τοῦ ἡ καθέδρα τῶν Αἰακιδῶν ἡ καλῶς τῇ θαλάττῃ περιειλημμένη, ἤγουν ἡ Αἴγινα, ἔνθα ἐτελεῖτο τὰ Αἰάκεια. μαρτυρήσει καὶ ἡ Ἐλευσὶς τὰ ἔργα αὐτοῦ, ἔνθα ἤγετο τὰ Δημήτρια τὰ καὶ Ἐλευσίνια, καὶ ἡ πλουσία Μαραθών, ἔνθα ἐτελεῖτο τὰ Ἡράκλεια· ἦν δὲ τὸ ἆθλον ἀργυραῖ φιάλαι· καὶ αἱ πόλεις αἱ καλλίπλουτοι (159), ἤγουν αἱ πλούτῳ κομῶσαι αἱ ὑποκάτω τῆς Αἴτνης τῆς ὑψηλὴν ἐχούσης κορυφήν, τουτέστιν αἱ Συράκουσαι, ἔνθα ἐτελεῖτο ἀγὼν Ἴσθμια καλούμενος. καὶ ἡ Εὔβοια μαρτυρήσει αὐτοῦ τὰ κατορθώματα, καὶ κατὰ πᾶσαν τὴν Ἑλλάδα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐρευνῶν εὑρήσεις αὐτῶν ἔργα μείζονα ἢ ὡς ἰδεῖν, ἀντὶ τοῦ νοῆσαι. ἀλλά, (163) ὦ Ζεῦ τέλει, ἤγουν ποίει ἐκνεῦσαί με, ἤτοι ἐξελθεῖν ἀνύσαντα ἤδη τὸν ὕμνον ἐλαφροῖς ποσί, τουτέστιν ἀνεπαχθῶς, ἐλαφρῶς, ὑπ' οὐδενὸς βαρούμενον, αἰδῶ διδούς, ἀντὶ τοῦ δύναμιν αἰδέσιμον, καὶ εὐτυχίαν ἡδέων γλυκεῖαν. Ἐπίνικοι Ὀλυμπιονίκαις.

O 14 t Ἀσωπίχῳ Ὀρχομενίῳ παιδὶ σταδιεῖ. [Δημητρίου Τρικλινίου] Περὶ τῶν κώλων τῆς α' μονοστρόφου στροφῆς τοῦ ιδ' εἴδους τῶν Ὀλυμπίων. Παλαιόν. Τὸ ιδ' εἶδος τῶν Ὀλυμπίων οὐκ ἔστιν ἐπῳδικὸν ὡς τὰ λοιπά, ἀλλὰ β' ἐστὶ στροφῶν μονοστρόφων· οὔτε ἀντιστροφὰς γὰρ ἔχουσιν οὔτε ἐπῳδούς, ἀλλὰ μονόστροφοί εἰσιν ὡς εἴρηται.

O 14 prae 1 ἔστι δὲ τῆς μὲν α' στροφῆς τὰ κῶλα ιη'. Τὸ α' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ α' ποδὸς ἐπιτρίτου γ', τοῦ β' παίωνος γ' καὶ συλλαβῆς. καλεῖται δὲ Σαπφικὸν ἢ Ἱππωνάκτειον· εὕρημα γάρ ἐστι Σαπφοῦς, ὁ δὲ Ἱππώναξ πολλάκις ἐχρήσατο. ἔστι δ' ἐννεασύλλαβον. Τὸ β' ἐπιωνικὸν τρίμετρον καταληκτικὸν, τοῦ α' ποδὸς ἐπιτρίτου γ', τοῦ β' παίωνος γ' ἀντὶ Ἰωνικοῦ, τοῦ δὲ γ' χοριάμβου καταληκτικοῦ, ὃς γίνεται δάκτυλος. Τὸ γ' ἀντισπαστικὸν διπλοῦν Φερεκράτειον· σύγκειται γὰρ ἐκ β' κώλων Φερεκρατείων, ὧν τὸ β' ἀτελές. τὸ μὲν γάρ ἐστι δίμετρον καταληκτικὸν ἤτοι ἑφθημιμερές, τὸ δὲ δίμετρον βραχυκατάληκτον ἀντὶ ἀντισπάστου παίωνα β' ἔχον. Τὸ δ' παιωνικὸν δίμετρον καταληκτικόν, ἐκ παίωνος δ' καὶ ἀναπαίστου. Τὸ ε' ἐπιωνικὸν τρίμετρον καταληκτικόν, τῆς α' συζυγίας ἰαμβικῆς, τῆς β' Ἰωνικῆς ἀπ' ἐλάττονος ἤτοι παίωνος γ' ἀντὶ Ἰωνικοῦ, τῆς δὲ γ' τροχαϊκῆς καταληκτικῆς. Τὸ ϛ' ἑξασύλλαβον, δακτυλικὴ διποδία ἤτοι δακτυλικὸν δίμετρον. ὡς δ' ἐμοὶ δοκεῖ, παιωνικόν ἐστι Κρητικὸν λεγόμενον δίμετρον ἀκατάληκτον ἐκ β' Κρητικῶν. Τὸ ζ', ὡς ἐμοὶ δοκεῖ, ἀσυνάρτητόν ἐστιν ἐκ παιωνικοῦ Κρητικοῦ διμέτρου ἀκαταλήκτου καὶ ἀντισπαστικοῦ διμέτρου βραχυκαταλήκτου, ἢ κατὰ συνίζησιν τῆς τελευταίας πενθημιμεροῦς, ὃ καλεῖται δοχμιακόν, τὸ ἀντισπαστικὸν δηλονότι. εἰ δὲ βούλει, ἀντισπαστικὸν ἔστω τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου δευτέρου, διϊάμβου καὶ παίωνος α' διὰ τὴν ἀδιάφορον. Τὸ η' τροχαϊκὸν ἑφθημιμερές, ἤτοι Εὐριπίδειον ἢ ληκύθιον. Τὸ θ' ἀσυνάρτητον ἐκ δακτυλικῆς διποδίας ἤτοι διμέτρου ἀκαταλήκτου καὶ τροχαϊκοῦ πενθημιμεροῦς. Τὸ ι' ἀντισπαστικὸν ἑφθημιμερὲς Φερεκράτειον ἐξ ἀντισπάστου ἑξασήμου ἢ ἑπτασήμου καὶ τροχαϊκῆς κατακλεῖδος. Τὸ ια' Ἰωνικὸν ἀπὸ μείζονος ἑφθημιμερές. Τὸ ιβ' δακτυλικὸν πενθημιμερές. Τὸ ιγ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ιδ' Ἰωνικὸν δίμετρον ὑπερκατάληκτον ἀπ' ἐλάττονος ἐξ Ἰωνικῆς καὶ τροχαϊκῆς συζυγίας καὶ συλλαβῆς. ἃ δὲ καὶ περὶ τούτου καὶ τῶν ἄνω κώλων φασίν, οὐκ ὀρθῶς ἔχει. Τὸ ιε' Ἰωνικὸν ἀπ' ἐλάττονος ἑφθημιμερές, τῆς α' συζυγίας τροχαϊκῆς ἤτοι ἐπιτρίτου β', τῆς δὲ β' Ἰωνικῆς καταληκτικῆς. Τὸ ιϛ', ὡς ἐμοὶ δοκεῖ, ἀναπαιστικόν ἐστι δίμετρον ἀκατάληκτον· εὕρηται γὰρ τοῦ Ἀπόλλωνος τὸ α καὶ μακρόν. εἰ δὲ βούλει, ἔστω ὁ β' ποὺς τρίβραχυς· οἰκεῖος γὰρ τῷ μέτρῳ. τοῦτο καὶ Ἰωνικὸν γένοιτ' ἂν ἀπ' ἐλάττονος τρίμετρον καταληκτικόν, παίωνος γ' ἀρχομένου ἀντὶ Ἰωνικοῦ. ἃ δὲ καὶ περὶ τούτου λέγουσιν, οὐ καλά. Τὸ ιζ' ἐκ χοριάμβου καὶ ἰαμβικῆς συζυγίας ἤτοι ἑφθημιμερὲς χοριαμβικόν. ἐμοὶ δὲ δοκεῖ καὶ τροχαϊκὸν εἶναι δίμετρον ἀκατάληκτον, τοῦ α' ποδὸς δακτύλου· τὸ γὰρ ἀέναον μακρὸν ἔχει τὸ α , ὡς καὶ τὸ Ἀέναοι Νεφέλαι παρ' Ἀριστοφάνει (Nub. 276). Τὸ ιη' ἰαμβικὸν ἑφθημιμερές. Ἐπὶ τῷ τέλει παράγραφος. Περὶ τῶν κώλων τῆς β' μονοστρόφου στροφῆς. Ἡ β' δὲ τοῦ αὐτοῦ ἐπινικίου μονόστροφος στροφὴ κώλων ιζ'.

O 14 prae 1 Τὸ α' ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν Φαλαίκειον, τῆς α' συζυγίας τροχαϊκῆς, τῶν ἄλλων δὲ ἰαμβικῶν. Τὸ β' χοριαμβικὸν τρίμετρον καταληκτικὸν ἐκ χοριάμβου καὶ ἰαμβικῶν συζυγιῶν. Τὸ γ' Ἀλκμαιώνειον δεκασύλλαβον· σύγκειται δὲ ἐξ ἰάμβων β' καὶ δακτύλων β', καὶ ἔστι τοῦ Ἀλκμαίωνος εὕρημα. Τὸ δ' ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον ἐκ τροχαϊκῆς καὶ ἰαμβικῆς συζυγίας μεμιγμένον. Τὸ ε' χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ϛ' χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συζυγίας. Τὸ ζʹ ἀντισπαστικὸν δίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου καὶ τροχαϊκῆς κατακλεῖδος. Τὸ ηʹ προσοδιακὸν ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάττονος, ὡς ἐμοὶ δοκεῖ. ἃ δὲ καὶ περὶ τούτου λέγουσιν, οὐ καλά. Τὸ θʹ ἐκ βʹ σύγκειται ἡμιολίων, τοῦ αʹ ἀναπαιστικοῦ, τοῦ βʹ δὲ ἰαμβικοῦ· γʹ γάρ εἰσιν ἀνάπαιστοι καὶ γʹ ἴαμβοι. τὸ γὰρ ἡμιόλιον, ὡς οἶσθα, ἥμισύ ἐστι καὶ ὅλον. Τὸ ιʹ ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον Ἀσκληπιάδειον, ἐκ τροχαϊκῆς καὶ ἀντισπαστικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ιαʹ δακτυλικὴ τριποδία ἤτοι δακτυλικὸν τρίμετρον. ὡς δὲ ἐμοὶ δοκεῖ, προσοδιακόν ἐστι δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπ' ἐλάττονος. Τὸ ιβʹ ἰαμβικὸν ἑφθημιμερές, ἐμοὶ δὲ χοριαμβικὸν δοκεῖ ἑφθημιμερές. Τὸ ιγʹ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν, τῆς αʹ συζυγίας τροχαϊκῆς ἤτοι παίωνος γʹ, τῶν δὲ ἑξῆς ἰαμβικῶν. ἐμοὶ δὲ ἀναπαιστικὸν δοκεῖ δίμετρον ἀκατάληκτον, τοῦ γʹ ποδὸς τριβράχεος. Τὸ ιδʹ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον Γλυκώνειον ἐξ ἀντισπαστικῆς καὶ ἰαμβικῆς συζυγίας. Τὸ ιεʹ ἰαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ σπονδείων καὶ δακτύλων. ἐμοὶ δὲ καὶ Ἰωνικὸν δοκεῖ ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον, τῆς αʹ συζυγίας Ἰωνικῆς, τῆς δὲ βʹ τροχαϊκῆς ἤτοι ἐπιτρίτου δʹ, καὶ βʹ συλλαβῶν. Τὸ ιςʹ χοριαμβικὸν τρίμετρον καταληκτικόν, ἐκ χοριαμβικῆς καὶ ἰαμβικῆς συζυγίας καὶ βακχείου. Τὸ ιζʹ ἰαμβικὸν πενθημιμερές. Ἐπὶ τῷ τέλει τῆς βʹ ταύτης στροφῆς κορωνὶς μόνη. Tr. [80]

O 14 1 Γέγραπται ὁ ὕμνος Ἀσωπίχῳ τῷ ἀπὸ Ὀρχομενοῦ νικήσαντι τὴν οςʹ Ὀλυμπιάδα. ὁ λόγος πρὸς τὰς Χάριτας. Th. Ἐπειδὴ ὁ μὲν Ἀσώπιχος Ὀρχομένιός ἐστιν, ὁ δὲ Κηφισὸς ποταμὸς περὶ τὸν Ὀρχομενόν, ἐν ᾧ ποταμῷ τιμῶνται αἱ Χάριτες, εἰκότως ἄρα ὁ ποιητὴς προσφωνεῖ πρῶτον ταῖς Χάρισι. δύο δὲ Ὀρχομενοί εἰσιν· ὁ μὲν ἐν Ἀρκαδίᾳ πολύμηλος καλούμενος, ὁ δὲ ἐν Βοιωτίᾳ Μινύειος, ἀπὸ Μϊνυοῦ τοῦ Θεσσαλοῦ Καλλιρόης καὶ Ποσειδῶνος υἱοῦ, ἀφ' οὗ καὶ τὸ γένος τῶν Ἀργοναυτῶν· Μινύειοι γὰρ οὗτοι λέγονται. Ὀρχομενὸς δὲ καὶ ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ εὕρηται. ** Τὸ προοίμιον εὐκτικόν. [10]

O 14 1g — ** τοῦ Κηφισοῦ ποταμοῦ. —κληρωσάμεναι. * οἰκεῖτε.

O 14 2g —ἤγουν τὴν ἱππικωτάτην Ὀρχομενίων πόλιν. * εὔγεω ἢ εὐγείου· — ** εὐγείου.

O 14 4g ** πόλεως Βοιωτίας. * ἀρχαίων· —τῶν ἀρχηγετῶν τοῦ Ὀρχομενίων γένους.

O 14 5g — * ἔφοροι. * σὺν βοηθείᾳ, συνεργίᾳ ὑμῶν· — ** μετὰ τῆς ὑμῶν βοηθείας.

O 14 7g — ** τὰ εὐφραντά. ὡραῖος.

O 14 9g —λαμπρός, ἐπίσημος. διεξάγουσι καὶ καθιστῶσι.

O 14 12g —τὰς κατὰ τὰς πανηγύρεις εἰς αὐτοὺς συστάσεις. θυσίας.

O 14 1-13 Μ. Καφισίων ὑδάτω ν ] Ὦ Χάριτες ἀοίδιμοι, ἤγουν περιβόητοι βασίλισσαι τῆς πλουσίας Ὀρχομενοῦ, ἔφοροι τῶν Μινυῶν τῶν ἀρχαίων τὴν γένεσιν, αἵτινες οἰκεῖτε ἕδραν, ἤγουν καθέδραν, τόπον καλλίπωλον, τουτέστιν ἵπποις κομῶντα, ἢ καλλίβωλον, ἤτοι εὔγειον, τῶν τοῦ Κηφισοῦ τοῦ ποταμοῦ ὑδάτων τὸν κλῆρον ἐσχηκυῖαι· τοῦτο γὰρ δύναται τὸ λαχοῦσαι· κλῦτε (6), ἀντὶ τοῦ ἐπακούσατε ἐμοῦ δηλονότι· ἐπεὶ εὔχομαι ὑμῖν, ἤγουν ἐπικαλοῦμαι ὑμᾶς. σὺν ὑμῖν γάρ, ἀντὶ τοῦ δι' ὑμῶν γίνεται τοῖς ἀνθρώποις πάντα τὰ τερπνὰ καὶ τὰ γλυκέα, λέγω εἴτις ἀνήρ ἐστι σοφός, ἤγουν φρόνιμος καὶ ψυχικὴν ἀρετὴν ἔχων, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τῆς φρονήσεως· εἴτις ἐστὶ καλὸς ἤγουν εὔμορφος καὶ σωματικῇ ἀρετῇ χρῆται, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τοῦ κάλλους· εἴτις ἐστιν ἀγλαός, τουτέστι λαμπρός, περιφανὴς τὰ ἐκτὸς καὶ εὐδοξίαν ἔχων, δι' ὑμῶν ἐστιν αὐτῷ τὸ τερπνὸν τῆς λαμπρότητος. καὶ γὰρ καὶ οἱ θεοὶ χωρὶς τῶν σεβασμίων Χαρίτων οὔτε χοροὺς κοιρανοῦσιν, ἀντὶ τοῦ δεσπόζοντες διατάττουσι· χοροὺς δὲ λέγει οὓς οἱ ἄνθρωποι αὐτοῖς τελοῦσιν· οὔτε δαῖτας, ἤγουν ἑορτάς, θυσίας, ἀνθρώπων δηλονότι ἐπ' αὐτούς, δεσπόζοντες διατάττουσιν ἔφοροι. [15]

O 14 15g

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διὰ τὴν πρὸς αὐτὸν οἰκειότητα· ὁ μὲν γάρ ἐστι μουσικός, χαριέστερον δὲ οὐδὲν μουσικῆς. διηνεκῆ.

O 14 17g —εὐλαβῶς ἐνεργοῦσι. σεβασμία.

O 14 19g — * ταῦτά ἐστι τὰ ὀνόματα τῶν τριῶν Χαρίτων· Ἀγλαΐα καὶ Εὐφροσύνη καὶ Θαλία. ποιεῖται δὲ πρῶτον τὸν λόγον πρὸς τὰς δύο, ἔπειτα πρὸς τὴν Θαλίαν. ἤγουν τοῦ Διός.

O 14 21g * γίνεσθέ μου τῶν ὕμνων. ὕμνον.

O 14 23g —ἐπὶ λαμπρᾷ εὐτυχίᾳ. ῥᾷστα.

O 14 26g Λυδίαις. ἐστι.

O 14 27g — * Ὀλυμπιόνικος γέγονεν. — * δέον καὶ ἡ Μινύεια εἰπεῖν, ἀσυνδέτως εἶπεν. ἤγουν διὰ τῆς εἰς τὸν πολίτην αὐτῆς παρά σου βοηθείας.

O 14 13-28 Μ. Ἀλλὰ πάντων τῶν ἔργων ταμίαι, ἤγουν διεξαγωγεῖς, αἱ Χάριτες οὖσαι δηλονότι, τὴν ἀΐδιον τιμὴν τοῦ πατρὸς αὐτῶν τοῦ οὐρανίου, ἤγουν τοῦ Διὸς σέβουσιν, ἀντὶ τοῦ δοξάζονται ἐν οὐρανῷ, θέμεναι, ἤγουν θεῖσαι τοὺς ἑαυτῶν θρόνους πλησίον τοῦ Ἀπόλλωνος τοῦ χρυσοτόξου τοῦ ἐν τῇ Πυθῶνι τιμωμένου. ἐκεῖ γάρ, φασίν, ἦσαν αὗται ἱδρυμέναι ἐν τοῖς δεξιοῖς τοῦ Ἀπόλλωνος. ὦ σεβασμία (19) Ἀγλαΐα καὶ ὦ Εὐφροσύνη φίλη τῶν μολπῶν, θυγατέρες τοῦ κρατίστου τῶν θεῶν, ἤγουν τοῦ Διός, ἐπήκοοι νῦν γένεσθε δηλονότι· καὶ ὦ Θαλία ἐρασίμολπε, ἤγουν τῶν μολπῶν ἐρῶσα, ἐπήκοος γενοῦ ἰδοῦσα τόνδε τὸν κῶμον, ἀντιστρόφως ἀντὶ τοῦ ἐπήκοος γενομένη ἐπίσκεψαι τοῦτον τὸν σὺν ὕμνῳ χορὸν τὸν μετεώρως στρεφόμενον ἐπὶ μοίρᾳ εὐμενεῖ, ἤγουν ἀγαθὰ φρονούσῃ· τὸν Ἀσώπιχον γὰρ ἦλθον ἀείδων, ἀντὶ τοῦ ᾄσων, ἤγουν ὑμνήσων, ἐν τρόπῳ, τουτέστι ῥυθμῷ Λυδίῳ, καὶ ἐν μελέταις, ἀντὶ τοῦ συνθήκαις ἐπῶν, διότι Ὀλυμπιόνικος ἐγένετο δηλονότι ἡ τῶν Μινυῶν πόλις, τουτέστιν ἡ Ὀρχομενὸς ἡ πατρὶς τοῦ Ἀσωπίχου, σοῦ χάριν, ὦ Θαλία. τὸν σκοτεινόν. [15]

O 14 29bisg ὦ φήμη θεά. * τῷ Ἀσωπίχου, Κλεοδάμῳ.

O 14 31g ἵνα. — * τόν. αὐτῷ.

O 14 32g — αὐτῷ. ἐν.

O 14 34g αὐτὸς ὁ Ἀσώπιχος. στεφάνοις.

O 14 35g — ἤγουν τὴν κεφαλὴν ἀπὸ μέρους. Th.

O 14 31-35 Τὸ Κλεόδημον πρὸς τὸ ἰδοῦσ α , τὸ δὲ υἱὸν πρὸς τὸ εἴπῃ ς , οὕτως· ἵνα ἰδοῦσα τὸν Κλεόδημον εἴπῃς αὐτῷ τὸν υἱὸν ὅτι ἐστεφάνωσεν οὗτος ὁ Ἀσώπιχος τὴν νέαν αὐτοῦ χαίτην, ἤτοι τὴν κεφαλὴν ἐν τοῖς κόλποις τῆς Πίσης, ἤγουν ἐν τῇ Ὀλυμπίᾳ, ἐν τοῖς πτεροῖς τῶν κυδίμων ἀέθλων, τοῖς δίκην πτερῶν αἴρουσι τὸν νικήσαντα. τοιαύτη δὲ καὶ ἡ παρὰ Ἀριστοφάνει σύνταξις (Nub. 95)· Οἳ τὸν οὐρανὸν Λέγοντες ἀναπείθουσιν, ὥς ἐστι πνιγεύς· καὶ πάλιν (Nub. 145)· Ἀνήρετ’ ἄρτι Χαιρεφῶντα Σωκράτης Ψύλλαν, ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας. Μ. [10]

O 14 28-35 Νῦν, ὦ Ἠχοῖ, τουτέστι φήμη, ἄπιθι εἰς τὴν καθέδραν τῆς Περσεφόνης τὴν μέλανα τείχη ἔχουσαν, ἤγουν εἰς τὸν Ἅιδην, φέρουσα ἀγγελίαν περιᾳδομένην τῷ πατρὶ τοῦ Ἀσωπίχου τῷ Κλεοδήμῳ, ὅπως ἰδοῦσα αὐτὸν τὸν Κλεόδημον εἴπῃς (32) τὸν υἱὸν αὐτοῦ ὅτι ἐστεφάνωσε τὴν χαίτην, ἀντὶ τοῦ τὴν κόμην αὐτοῦ παρὰ ταῖς κοιλάσι τῆς ἐνδόξου Πίσης, ἤγουν ἐν τῇ ἐνδόξῳ Ὀλυμπίᾳ, πτεροῖς ἐνδόξων ἀγώνων, ἀντὶ τοῦ στεφάνοις ἐπαίρουσι καὶ οἷον πτεροῦσι τοὺς στεφανουμένους. ἐπὶ τοῦ πράγματος δὲ ὀφείλων θεῖναι τὸ εἴπῃς, ἵν’ ᾖ ὁ λόγος οὕτως· ὅπως ἰδοῦσα τὸν Κλεόδημον εἴπῃς, ὅτι ὁ υἱὸς αὐτοῦ τὴν νέαν κόμην αὐτοῦ ἐν τῇ Ὀλυμπίᾳ ἐστεφάνωσεν· ὁ δὲ ἐπὶ τοῦ ὀνόματος αὐτὸ τίθησιν, εἶτα ἐπάγει τὸ πρᾶγμα, καὶ ποιεῖ τὸν λόγον ὅμοιον τῷ (Eur. Hecub. 986)· Εἰπέ μοι τὸν Πολύδωρον, εἰ ζῇ. κατ’ αἰτιατικὴν δὲ λέγεται ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτοις τὸ ὄνομα· τὸ γὰρ λέγειν αἰτιατικὴν ἀεὶ λαμβάνει, ὅτε πρὸς τὸ λεγόμενον ἀποτείνει. Πινδάρου Πύθια.

P 1 t Ἐπίνικοι Πυθιονίκαις. Ἱέρωνι Αἰτναίῳ ἅρματι. Ὠιδὴ α′. [Δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ α′ εἴδους τῶν Πυθίων. Παλαιόν. Τοῦ α′ εἴδους τῶν Πυθίων αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ιβ′.

P 1 prae 1 Τὸ α′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ β′ δακτυλικὸν πενθημιμερές. Τὸ γ′ ὀκτωσύλλαβον Σαπφικόν, δίμετρον ἀκατάληκτον ἐκ τροχαϊκῆς συζυγίας καὶ χοριάμβου· καὶ ἔστιν ἐπιχοριαμβικόν. Τὸ δ′ Πινδαρικὸν ἐκ Σαπφικοῦ, τρίμετρον ὑπερκατάληκτον· σύγκειται δὲ ἐκ τροχαϊκῆς συζυγίας, χοριάμβου, Ἰωνικοῦ ἀπ’ ἐλάττονος καὶ συλλαβῆς. Τὸ ε′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον· ἔχει δ’ ἐπιτρίτους δ′ ἀντὶ ἀντισπάστων. Τὸ ϛ′ σύνθετον ἔκ τε τοῦ λεγομένου προσοδιακοῦ καὶ ἰαμβικῆς συζυγίας. ἔστι δὲ τὸ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου. Τὸ ζ′ Πινδαρικὸν ἐκ Σαπφικοῦ ἑνδεκασύλλαβον, ἤτοι τρίμετρον καταληκτικόν. σύγκειται δὲ ἐκ τροχαϊκῆς συζυγίας, χοριάμβου καὶ Ἰωνικῆς καταληκτικῆς, ἤτοι ἀναπαίστου. Τὸ η′ τροχαϊκὸν τρίμετρον καταληκτικόν. Τὸ θ′ δακτυλικὸν πενθημιμερὲς ὅμοιον τῷ β′. Τὸ ι′ ὅμοιον τῷ ζ′. Τὸ ια′ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου. Τὸ ιβ′ τροχαϊκὴ συζυγία, ἤτοι μονόμετρον. Ἑξῆς παράγραφος ἐφ’ ἑκάστῃ στροφῇ καὶ ἀντιστροφῇ. Περὶ τῶν κώλων τῶν ἐπῳδῶν. Αἱ ἐπῳδοὶ κώλων ἑκάστη ιε′. τὸ α′ δακτυλικὸν τρίμετρον, καὶ εἰ μέν ἐστιν ἡ τελευταία βραχεῖα, ἐστὶ καταληκτικὸν εἰς δισύλλαβον, εἰ δὲ μακρά, ἀκατάληκτον. Τὸ β′ τροχαϊκὸν δίμετρον καταληκτικὸν Εὐριπίδειον ἢ ληκύθιον. Τὸ γ′ προσοδιακὸν δίμετρον ἀκατάληκτον. ἐμοὶ δὲ δοκεῖ ὅμοιον εἶναι τῷ α′. Τὸ δ′ Πινδαρικὸν ἐκ Σαπφικοῦ ὅμοιον τῷ ζ′ καὶ ι′ τῆς στροφῆς. Τὸ ε′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. Τὸ ϛ′ Ἰωνικὸν δίμετρον καταληκτικὸν ἀπ’ ἐλάττονος ἐκ τροχαϊκῆς συζυγίας καὶ Ἰωνικοῦ καταληκτικοῦ. ἐμοὶ δὲ παιωνικὸν δοκεῖ Κρητικὸν δίμετρον ἀκατάληκτον ἐκ Κρητικοῦ καὶ παίωνος δ′. Τὸ ζ′ ὅμοιον τῷ ϛ′ τῆς στροφῆς. Τὸ η′ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον ἐκ χοριάμβου καὶ Ἰωνικοῦ ἀπὸ μείζονος καὶ συλλαβῆς. οἱ δὲ λέγοντες αὐτὸ ἀκατάληκτον οὐ καλῶς, οἶμαι, λέγουσι. Τὸ θ′ Ἰωνικὸν ἀπ’ ἐλάττονος δίμετρον καταληκτικόν, ἤτοι ἑφθημιμερές. Τὸ ι′ προσοδιακὸν τρίμετρον ἀκατάληκτον ἢ Πινδαρικὸν ἐκ Σαπφικοῦ, ἐκ τροχαϊκῆς συζυγίας, χοριάμβου καὶ Ἰωνικοῦ ἀπ’ ἐλάττονος. Τὸ ια′ τροχαϊκὸν δίμετρον ἀκατάληκτον τοῦ α′ ποδὸς χορείου. Τὸ ιβ′ ὅμοιον. Τὸ ιγ′ ὅμοιον τῷ β′ τῆς στροφῆς. Τὸ ιδ′ προσοδιακὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ χοριάμβου. Τὸ ιε′ ὅμοιον τῷ ια′. Ἑξῆς κορωνίς, εἶτα παράγραφος ἐν πάσαις ταῖς ἐπῳδοῖς· ἐν δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος. ἔστι δὲ τὸ ᾆσμα ε′ στροφῶν. Th. Κυραῖοι, ἔθνος περὶ τὸν Παρνασὸν τοὺς εἰς τὴν Πυθίαν ἰόντας λοχῶντες ἀνῄρουν. Εὐρύλοχος οὖν ὁ Θεσσαλὸς Ἀμφικτίωνας συμπαραλαβὼν ἐπιθέμενος αὐτοῖς, κατεστρέψατο. ἀνθ’ ὧν ἀμοιβὴν τῆς νίκης καθίστησι πανήγυριν τῷ Ἀπόλλωνι, τὰ λεγόμενα Πύθια, τελουμένην κατὰ χρόνους ε′, ὡς καὶ ἡ τῶν Ὀλυμπίων. Πυθὼν δὲ ἐκαλεῖτο διὰ τὸ σεσῆφθαι ἐκεῖ τὸν ὑπ’ Ἀπόλλωνος ἀνῃρημένον δράκοντα· πύθω γὰρ τὸ σήπω. ἢ διότι οἱ δεόμενοι περί τινων μαθεῖν, ἐκεῖσε ἀφικνούμενοι ἐμάνθανον.

P 1 prae 1 ποιεῖται δὲ τὸν λόγον πρὸς τὴν τοῦ Ἀπόλλωνος κιθάραν, ὅτι τε αὐτὸς ἐν μουσικῇ ᾖδε τὰ ποιήματα, καὶ ὅτι ἡ ἑορτὴ ἡ παροῦσα, καθ’ ἣν ποιεῖται τοὺς ὕμνους, τοῦ Ἀπόλλωνος ἦν. εἰ καί τινές φασι διὰ τοῦτο πρὸς τὴν φόρμιγγα πεποιῆσθαι τὸν λόγον, διότι Ἱέρων αὐτῷ χρυσῆν κιθάραν ὑπέσχετο, ἵνα αὐτὸν ἀναμνήσῃ. Germ.

P 1 1 Ἐπιδεξίως πως ἐν ὑπομνήσει ἄγει αὐτὸν τῆς χρυσέας φόρμιγγος τῆς ὑποσχεθείσης. οὐχ ἁπλῶς δὲ εἶπε χρυσέα φόρμιγ ξ , ἀλλ’ αἰνιγματωδῶς παραδηλοῖ αὐτῷ τοῦ τὴν ὑποσχεθεῖσαν φόρμιγγα χρυσέαν πέμψαι. ** Τὸ προοίμιον προσφωνητικόν.

P 1 1g

Eulogikon public reading copy · View original HTML at eulogikon.org

— ** χρυσῆ. —ὦ κιθάρα. τῶν ἀνθηρὸν ἐχουσῶν πλόκαμον, ** ὁποῖόν ἐστι τὸ ἴον.

P 1 3g σύντροπον, κοινόν. —κτῆμα· κιθαρίζοντι γὰρ τῷ Ἀπόλλωνι αἱ Μοῦσαι χορεύουσιν. Th.

P 1 4 Τὸ βάσις οἱ μὲν τὸν ῥυθμὸν νοοῦσι. τῆς γὰρ κιθάρας ὁ ῥυθμὸς ἀκούει, ἤγουν κατὰ τὸ μέλος ἐκείνης συντίθεται. οἱ δὲ διὰ τοὺς τῶν χορευτῶν πόδας· ἀκούουσι γὰρ ἐκεῖνοι τῆς κιθάρας. τουτέστιν ὁποῖόν ἐστι τὸ μέλος αὐτῆς καὶ οὗτοι κινοῦνται. λέγει δὲ τὴν βάσιν ἀρχὴν ἀγλαΐας ἢ διότι ὁ ῥυθμὸς τὸ πᾶν ἐστι τοῦ λόγου, ἢ ὅτι ἡ κατ’ ἀρχὰς τοῦ χοροῦ κίνησις μεγίστης εὐφροσύνης ὕστερον ἀπ’ αὐτοῦ ἐσομένης ἀρχή ἐστιν. τῆς κιθάρας. [5]

P 1 4g — ** ἤγουν ὁ ῥυθμός. —εὐφροσύνης. ** ὑπακούσουσιν.

P 1 5g —οἱ μελῳδοί. —τοῖς παρὰ σοῦ τύποις, ἤγουν ὅπως αὐτὴ τὰ μέλη τυπώσῃς, καὶ ἡ παρ’ ἐκείνων ᾠδὴ φέρεται. τῶν τοὺς χοροὺς ἀγόντων· πρὸς γὰρ τὰ ᾄσματα καὶ οἱ χοροὶ ἄγονται.

P 1 6g — * μελῶν. * ἄσματα· — ** ἤγουν ᾄσματα, ἀπὸ τοῦ ἀναβάλλομαι τὸ προοιμιάζομαι.

P 1 7g —ποιῇς. — * κινουμένη· — ** κινουμένη τοῖς κρούμασιν. Tr.

P 1 8 Κεραυνὸν σβεννύει ς ] ἤτοι τὸν Δία τῆς ὀργῆς παύεις καὶ μειλίχιον καθιστᾷς, ὁπόταν ἀκούῃ σου. ** ὃν ὁ Ζεὺς δίκην αἰχμῆς φέρει.

P 1 8g — ** παύεις, πραΰνεις. τοῦ ἀϊδίου· ἄσβεστον γὰρ τὸ πῦρ τοῦ παρὰ τῷ Διῒ κεραυνοῦ.

P 1 10g * ὑπνοῖ· — ** καθεύδει. — * τῇ ῥάβδῳ· — ** τῇ ῥάβδῳ τοῦ Διός. Th.

P 1 9-10 Φασίν, ὅτι ἐν τῷ τοῦ Διὸς σκήπτρῳ ἀετὸς κάθηται δεικνύων τὸ τοῦ Διὸς ἡγεμονικόν, ἐπειδὴ καὶ οὗτος βασιλεὺς ἁπάντων πτηνῶν. ὅντινα ἀετόν φησιν ἀκούοντα τῆς Ἀπόλλωνος κιθάρας εἰς ὕπνον τρέπεσθαι θελγόμενον τῇ ᾠδῇ. ποταπήν; ταχεῖαν.

P 1 11g —ἤτοι ἐξ ἀμφοτέρων τῶν μερῶν αὐτοῦ. * χαλάσας· — ** καταγαγών.

P 1 13g ὁ ἡγεμών. — * ἤτοι τῶν ὀρνέων πάντων. —τὴν εἰς σκότος τοὺς ὀφθαλμοὺς ἄγουσαν. ** γάρ.

P 1 14g — * αὐτῷ· — ** ἐπ’ αὐτῷ. — ἤτοι τὸν ὕπνον. τῇ ἐστραμμένον ῥάμφος ἐχούσῃ.

P 1 15g — ** κεφαλῇ αὐτοῦ. —τῶν ὀφθαλμῶν. Th.

P 1 16 Τὸ κατέχευας ἢ πρὸς τὸ γλεφάρων συναπτέον ἢ πρὸς τὸ κρατ ί , ἵν’ ᾖ τὸ γλεφάρων πρὸς τὸ κλαῖστρο ν . ὁ γὰρ ὕπνος ὥσπερ τι κλεῖθρον τῶν ὀφθαλμῶν κλείων αὐτοὺς καὶ οὐκ ἐῶν ἠνεῳγμένους εἶναι. Germ.

P 1 13-16 Ὁ νοῦς· ἐπὶ τῷ κρατὶ δὲ καὶ τῇ κεφαλῇ τῇ ἀγκύλῳ, τῇ καμπύλῳ ἀπὸ τοῦ ῥάμφους (τὸ κεφαλῇ δηλοῖ, ὅτι καὶ ἐπ’ αὐτῷ τῷ αἰετῷ) κατέχευας καὶ ἔχυσας τὴν κελαινῶπιν νεφέλην, ἤγουν μέλανα ὕπνον κατέχυσας, τὸ ἡδὺ κλεῖστρον καὶ κλειδίον (τὸ γὰρ ἡδὺ τοῦ ὕπνου λέγει) τῶν βλεφάρων. γλυκύ. [5]

P 1 16g —κλεῖθρον. —κατέχεας. —κοιμώμενος. ποταπόν; εὔχυτον, ** ἢ ὑγρότητά τινα ἐμφαῖνον ἔχειν.

P 1 17g —χαλᾷ, ** ἢ ὥσπερ κυρτὸν δείκνυσιν. —ταῖς σαῖς. Th.

P 1 18 Δείκνυσιν ἐντεῦθεν τὴν τῆς μουσικῆς δύναμιν. εἰ γὰρ τὸν ἀμείλικτον καὶ θρασὺν Ἄρην θέλγει, τίνα οὐκ ἂν τοῦτο ἐργάσηται; τοῖς μέλεσιν.

P 1 18g —ἀνδραποδιζόμενος καὶ κηλούμενος. —ὁ θρασὺς καὶ ἀμείλικτος. ** τὴν σκληρὰν καὶ δεινήν.

P 1 19g —μακράν. τῶν δοράτων.

P 1 20g — ** τὴν ὀξύτητα ἢ τὰ ἔγχη. —εὐφραίνει. — * τὴν αὐτοῦ· — ** τὴν ἑαυτοῦ. * τῷ μέλει καὶ τῇ ᾠδῇ.

P 1 21g — * τὰ θελκτήρια. * οὐ μόνον τῶν ἀνθρώπων.

P 1 22g — * εὐφραίνει. — * περί. ** συνίζησις.

P 1 23g —τοῦ Ἀπόλλωνος. —τῇ τῆς μουσικῆς ἐπιστήμῃ. — ** βαθυζώνων. * καί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

P 1 25g ** Ἀττικῶς ἀντὶ τοῦ ὅσσου ς . —ἠγάπησεν. — * τὸ ὅσσα μὴ πεφίληκε πρὸς τὸ γᾶν συναπτέον. μισοῦσι καὶ ἄτην ἡγοῦνται.

P 1 26g — ** ᾠδήν. τῶν ἓν τῇ Πιερίᾳ γεγεννημένων Μουσῶν.

P 1 27g —ἀκούοντα. κατὰ τὴν.

P 1 28g — * καί. —μέγαν καὶ ἀκαταπόνητον διὰ τὸ μέγεθος. τῇ χαλεπῇ.

P 1 29g — ** ἤγουν ὑπὸ τὴν ῥίζαν τῆς Αἴτνης. ** ὁ ἐχθρός.

P 1 31 Th. Ὁ Τυφὼς χεῖρας ἀντάρας τῷ Διῒ ἐκεραυνώθη ὑπ' αὐτοῦ ἐν Σικελίᾳ, ἔχων ἐπικείμενον τὴν Αἴτνην τὸ ὄρος. εἰπὼν δὲ ἄνω· ὅσα μὴ πεφίληκε Ζεύς, ἐπάγει, ὅστις ἐστὶν ὁ Τυφώς. τοῦτον γὰρ οὐ φιλεῖ. εἰκότως δὲ ἐπέβαλε τὴν περὶ αὐτοῦ ἱστορίαν, ἐπειδὴ καὶ ὁ νῦν ἐπαινούμενος Ἱέρων Σικελιώτης ἐστίν, ἔνθα οὗτος κολάζεται. ** ἑκατοντακέφαλος. [5]

P 1 31g — ** ὅντινα Τυφῶνα. τὸ ἐν τῇ Κιλικίᾳ.

P 1 32g — * ἐγέννησεν· — ** ἤγουν ἐγέννησε καὶ ἀνέθρεψε. πολυθρύλλητον.

P 1 33g — ** σπήλαιον. — ** δέ. Th.

P 1 34 Τὴν Κύμην τινές φασι νῆσον παρακειμένην τῇ Σικελίᾳ, λέγοντες τὸ ὄχθαι ἀντὶ τοῦ ἡ ὑπερκειμένη τῆς Κύμης Σικελία, οὓς αὐτὸς μὴ μεμφόμενος τὴν Κύμην νόει πόλιν ἐν Σικελίᾳ, ἵν' ᾖ τὸ ὄχθαι ἁλιερκέες διὰ τὴν Αἴτνην τὸ ὄρος ἐν τέλει Σικελίας οὖσαν καὶ πλησιάζουσαν θαλάττῃ. αἱ. [5]

P 1 34g — ** καί. — ** νήσου ἢ πόλεως. —περίῤῥυτοι. ** τοῦ Τυφῶνος.

P 1 35g —δαμάζει. τὰ στήθη· — ** ἤγουν αὐτόν.

P 1 36g —δασέα ταῖς θριξί· τοιαῦτα γὰρ τὰ τῶν ἰσχυρῶν στήθη. ** ἡ μέχρις οὐρανοῦ φθάνουσα τῷ ὕψει.

P 1 37g — ** κατέχει. χιονώδης.

P 1 38g — ** τὸ ὄρος. —δι' ὅλου τοῦ ἔτους. ** τῆς ὀξέως τιτρωσκούσης τῷ ψύχει.

P 1 39g —τροφός, διὰ τὸ ἀεὶ ἐμφιλοχωρεῖν αὐτῷ τὴν χιόνα. Th.

P 1 36-39 Κίονα οὐρανίαν τὴν Αἴτνην καλεῖ διὰ τὸ μέχρις οὐρανοῦ τῷ ὕψει φθάνειν. ὀξεῖαν δὲ τὴν χιόνα ἢ τὴν ταχέως αἴσθησιν τοῦ ἐν αὐτῇ ψυχροῦ τοῖς δεχομένοις ποιοῦσαν ἢ διότι οἱ ἐφαπτόμενοι ταύτης ὅμοιόν τι πάσχουσι τοῖς κεντουμένοις βαλλόμενοι τῇ ψυχρότητι. Th. [5]

P 1 40 Ἰστέον ὅτι ἐν τῇ Αἴτνῃ ἡμέρας μὲν φωτὸς δίχα καπνὸς καυστικὸς ἀναδίδοται, νυκτὸς δὲ πέτραι ἀποσφαιρίζονται ἔξω κεκαυμέναι καὶ ζέουσαι, καὶ κτύπον τῇ φορᾷ παρέχουσαι. πίπτουσι δὲ ἐν τῇ θαλάττῃ. τοὺς γὰρ πρόποδας τῆς Αἴτνης ἡ θάλαττα βρέχει. τῆς Αἴτνης. [5]

P 1 40g —ἀναδίδονται. —ἀπροσεγγίστου. λαμπρόταται ἢ καθαρτικαί· τοιοῦτον γὰρ τὸ πῦρ.

P 1 42g ** ἐκ τῶν ῥιζῶν δηλονότι τοῦ ὄρους. — ** πυρός. ** ἐν ἡμέραις.

P 1 43g —ῥεῦμα. μέλανα ἢ καυστικόν.

P 1 44g — ἐν νυξί. πυῤῥώδης.

P 1 45g —συστρεφομένη. ἤτοι τὸν πόντον περιφραστικῶς.

P 1 46g — ** ἤχῳ· —κτύπῳ. πυρός.

P 1 47g — * ῥεύματα· — ** ῥεῦμα. —ἤγουν ὁ Τυφὼς διὰ τὸ πρηνὴς κεῖσθαι. σφοδροτάτους.

P 1 48g — ** ἤγουν ἐπὶ τὴν κορυφὴν ἀνάγει. ** σημεῖόν τι.

P 1 49g — ** θαύματος ἄξιον. —ἰδόντα τινὰ μαθεῖν. * τῶν ἐντεῦθεν ἐλθόντων· — ** τῶν ἐκεῖ ἐλθόντων.

P 1 51g ** τινὰ ἐκείνων. ὁποῖον.

P 1 52g — ** ταῖς μέλανα φύλλα ἐχούσαις. δεδέσμηται.

P 1 53g — ** ἐν ταῖς κορυφαῖς τῆς Αἴτνης. ** ἤτοι ἐν τοῖς μυχοῖς τοῦ ὄρους.

P 1 54g — ἡ αὐτοῦ κοίτη, — * καταῤῥηγνύουσα· — ** κατατέμνουσα. Th.

P 1 52-54 Τὸ μελαμφύλλοις λέγει ἢ ταῖς δασέσι καὶ σκιὰν ὑπὸ τοῦ δάσους ποιούσαις ἢ ταῖς μέλανα φύλλα ἐχούσαις ὑπὸ τοῦ ἐκεῖθεν ἀναδιδομένου καπνοῦ. λέγει δὲ ἐν ταῖς κορυφαῖς καὶ τῷ πέδῳ δεδέσθαι αὐτὸν διὰ τὸ ὑπ' ἐκείνων συνέχεσθαι. τὴν ῥάχιν αὐτοῦ. [5]

P 1 55g —κείμενον αὐτόν. —πλήττει διὰ τὸ ἐπικείμενον βάρος. ** ὦ.

P 1 56g —σοί. —ἀρέσκειν με· — * τοῦτο δὲ λέγει διὰ τὸ φάσκειν περὶ τοῦ Τυφῶνος ἐχθροῦ ὄντος τοῦ Διὸς καὶ τοιαῦτα ὑπ' ἐκείνου παθόντος. ** τὴν Αἴτνην.

P 1 57g —διοικεῖς· ἐνταῦθα γὰρ ἱερὸν αὐτοῦ. —τῆς πολυκάρπου Σικελίας. Th.

P 1 58 Μέτωπον τῆς Σικελίας λέγει τὴν Αἴτνην οἱονεὶ ὀφθαλμόν. εἰς ὕψος γὰρ διήκουσα σκοπιὰν τῆς τε θαλάσσης καὶ πάσης τῆς Σικελίας ἔχει. τὸν ὀφθαλμόν.

P 1 58g — ** τοῦ ὄρους. ὁ ἔνδοξος Ἱέρων.

P 1 59g —ἐτίμησε· πλησίον γὰρ τοῦ ὄρους πόλιν κτίσας Αἴτνην ἀπ' αὐτοῦ ὠνόμασεν. τῷ ὄρει.

P 1 60g —τῆς ἐν τῇ Πυθῶνι πανηγύρεως. Th.

P 1 61 Τὸ ἀνέειπέ νιν λέγει ἢ ὅτι ἔθος ἦν καὶ τὰς πατρίδας τῶν νικησάντων ὑπὸ τοῦ κήρυκος ἀναγορεύεσθαι ἢ ὅτι ἡ ἐκείνων ἀναγόρευσις καὶ τῆς πόλεως αὐτῶν ἐστιν, οἷς τοιούτους προήνεγκεν. τῇ διὰ τοῦ δρόμου νίκῃ τοῦ ἅρματος.

P 1 61g —ἀνηγόρευσεν αὐτήν. μηνύων.

P 1 62g —τοῦ οἰκιστοῦ αὐτῆς. τοῦ νικήσαντος ἐν ἅρματι.

P 1 64 Th. Ἐπειδὴ ἡνίκα ἐκτίσθη ἡ Αἴτνη, τὸ τοῦ Ἱέρωνος ἅρμα ἐν Πυθίᾳ ἐνίκησε, μέγιστον τοῦτο τεκμήριον ποιεῖται τῆς ἐς ὕστερον συμβησομένης αὐτῇ εὐτυχίας, λέγων ὅτι ὥσπερ τοῖς ἀρχομένοις ἀπό τινος τόπου πλέειν, ἢν εὐθὺς ἐξ οὐρίας τὸν πλοῦν ποιήσωνται, πάρεστιν ἐντεῦθεν τεκμαίρεσθαι καὶ περὶ τῆς ἐπανόδου ὡς ἄρα τοιάδε αὐτοῖς ἔσται, οὕτω καὶ ἡ πόλις ἡ μετὰ τὴν οἰκοδομὴν τιμηθεῖσα, καὶ εἰς τὸν ἔπειτα χρόνον ἀνθήσει. ἰστέον δέ, ὅτι οὐκ ἀπῆλθεν Ἱέρων ἐν τοῖς Πυθίοις διὰ τὸ νόσῳ κατέχεσθαι, ὡς προϊὼν ἐρεῖ, ἀλλὰ τὸ αὐτοῦ ἅρμα. ** τοῖς ἐν ναυσὶ φερομένοις. [5]

P 1 65g γάρ. —κατ' ἀρχὰς τοῦ πλοῦ. — * ἡδονὴ καὶ εὐτυχία. ἤγουν ἀρχὴν ποιουμένοις τοῦ πλοῦ.

P 1 67g πόμπιμον. —ἄνεμον. —ἤγουν εἰκός ἐστιν οὕτω πλέουσιν. ἐν τῷ τέλει τοῦ πλοῦ.

P 1 68g — ποταπῇ; καλλίστῃ. Tr.

P 1 69 Ὁ δὲ λόγος. ἤγουν ὁ ῥηθεὶς περὶ τῶν ναυσιφόρων ἀνδρῶν λόγος ἔχει ὑπόληψιν, τουτέστιν ἐκ τούτου ὑπονοεῖν ἡμῖν ἐστιν, ὡς ἀεὶ εὐδαίμων ἔσται. ἐπανόδου.

P 1 69g —οὗτος ὁ ῥηθείς. ἤγουν τῷ τῆς τύχης συμβάματι.

P 1 70g —ὑπόληψιν ἔχει. εἰς τὸ ἑξῆς.

P 1 71g —τὴν πόλιν. ἔνδοξον.

P 1 73g διὰ τὸ ἐν αὐταῖς αὐλοὺς καὶ κιθάρας εἶναι. —πανηγύρεσιν. —ὀνομαστήν. Th.

P 1 74 Τὸ Λύκιε νόει ἢ ἀντὶ τοῦ ἐν τῇ Λυκίᾳ τιμώμενε, ἢ ὅτι ἐπίθετον ἦν Ἀπόλλωνος. Λύκιος γὰρ ἐτιμᾶτο ἐν Ἄργει διὰ τὸ Λύκον τινὰ ἀπεκτονέναι ποτέ. τῆς Δήλου νήσου.

P 1 74g —ἄρχων. ὦ Ἄπολλον.

P 1 75g — τὴν ἐν τῷ Παρνασῷ ὄρει. —πηγήν. οὕτως ἡ πηγὴ ὠνομάζετο.

P 1 76g

Eulogikon public reading copy · View original HTML at eulogikon.org

—φιλῶν. Tr.

P 1 77g Ταῦτα νό ῳ ] ἀντὶ τοῦ εὐμενῶς δεξάμενος ταῦτα, ἐθελήσαις πράττειν καὶ συμπεραίνειν. ἃ ὑπὲρ τῆς πόλεως ἔφην. —τῷ σῷ. Tr.

P 1 78 Εὔανδρο ν ] ἀντὶ τοῦ ἀνδρείους ἔχουσαν πολίτας, ἵνα τούτων νικώντων αὐτὴν τιμῷτο. τιθέναι.

P 1 78g —ποταπήν. —τιθέναι. —καί. βοήθειαι, χορηγίαι.

P 1 80g ἤγουν οἱ θεοὶ πάντα τὰ ἀγαθὰ ἀνθρώποις παρέχουσιν. δυνατοί, ἰσχυροί.

P 1 82g ῥήτορες. —ἐγένοντο θεόθεν. —τὸν Ἱέρωνα. ἐπαινέσαι.

P 1 83g — προθυμούμενος. —ἐλπίζω. τὸν χαλκῆν παρειὰν ἤτοι αἰχμὴν ἔχοντα.

P 1 84g —ἀκόντιον. —ὥσπερ. —τοῦ ἐν τῷ ἀγῶνι σκοποῦ. ῥίψειν τὸν λόγον.

P 1 85g —τῇ χερί. —στρέφων. Th.

P 1 83-85 Μενοινῶν δὲ καὶ προθυμούμενος αἰνῆσαι καὶ ἐπαινέσαι ἐκεῖνον τὸν ἄνδρα ἤτοι τὸν Ἱέρωνα, ἔλπομαι καὶ ἐλπίζω μὴ βαλεῖν καὶ ῥίψειν τὸν λόγον ἔξω τοῦ ἀγῶνος, ὡσεὶ καὶ ὥσπερ ἄκοντα χαλκοπάρῃον δονέων καὶ συστρέφων ἐν τῇ παλάμῃ. τουτέστιν ἐλπίζω μὴ ἀπορήσειν περὶ αὐτοῦ πραγμάτων φερόντων πρὸς ἐγκώμιον. ἀλλ’ ὅσα ἂν περὶ αὐτοῦ εἴπω, ἀξίως ἐρῶ καὶ προσήκοντα αὐτῷ εἰρῆσθαι. παρεικάζει οὖν τὸν αὐτοῦ λόγον ἄκοντι· διὸ καὶ εἶπε τὸ παλάμῃ δονέω ν . πάλλουσι γὰρ οἱ ἄνδρες ἐν ταῖς χερσὶ τὰ ἀκόντια. τὸν λόγον.

P 1 86g —νικῆσαι καὶ θανατῶσαι τοὺς ἐχθροὺς Ἱέρωνος. —τοῦτο λέγει, ὅτι ὁ ἐμὸς ἔπαινος πρὸς Ἱέρωνα τοὺς φθονοῦντας αὐτῷ τρώσει. αὐτοῦ.

P 1 87g —τιμήν. ὡς νῦν.

P 1 88g —κτημάτων. —χορηγίαν. διεξάγοι καὶ οἰκονομοίη.

P 1 89g —ἤτοι τῆς νῦν κατεχούσης αὐτὸν νόσου. —λήθην. ἡ γὰρ τούτων ἀπαλλαγὴ λήθην παράσχοι αὐτῷ.

P 1 91g ὄντως ὄν. — ἐνθυμήσειεν ὁ χρόνος ἢ ὁ Ἱέρων ἡμᾶς. μάχαις] ἀγωνίσμασι.

P 1 93g καρτερικῇ. —ἤγουν ἐπιμείνας ἠγωνίσατο. Th.

P 1 87-93 Τινὲς τὸ εἰ γὰρ ὀξύνοντες ἀντὶ τοῦ εἴθε φασί, στίζοντες εἰς τὸ παράσχοι · ἐγὼ δὲ ἀντὶ τοῦ ἐὰν λέγων, ὑποστίζω πρὸς τὸ παράσχο ι , καί τινα τῶν βιβλίων συμμαρτυροῦντα ἔχων. Τὸ δὲ καμάτων (89) λέγει, ἐπειδὴ ὁ Ἱέρων δυσουρίᾳ κατεχόμενος καὶ φορείῳ ἐν πολέμοις ἀγόμενος κατώρθου τὰς μάχας. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. εἰ γὰρ εὐδαιμονοίη καὶ κατὰ πλοῦτον καὶ τιμὴν καὶ τοῦ πιέζοντος ἀπαλλαγείη νοσήματος, ὄντως ἂν ἐνθυμήσειεν ἡμᾶς τὰς αὐτοῦ ἀνδραγαθίας, ἤτοι εἰς ἔπαινον ἡμᾶς τούτων κινήσειεν. ἔστι δὲ τὸ μνήσειε διπλοῦν· ἢ ὁ Ἱέρων ἢ ὁ χρόνος. κρεῖττον δέ ἐστι διὰ μόνον τὸν Ἱέρωνα λέγεσθαι, τὸ δὲ κεν καὶ τὸ ἂν ἐκ παραλλήλου. ὅτε.

P 1 94g —εὕρισκεν. —βοηθείαις. οὐδείς.

P 1 95g — καρποῦται. Th.

P 1 96 Ὥσπερ ὁ στέφανος τιμὴ τῷ δεξαμένῳ τυγχάνει, οὕτω καὶ ἡ τῶν ἔργων νίκη τιμὴ τοῦ πλούτου ἐστίν. δόξαν λέγω.

P 1 96g —μέγιστον καὶ θαυμάσιον. —δέ. Th.

P 1 97 Παραβάλλει τὸν Ἱέρωνα διὰ τὴν κατέχουσαν αὐτὸν νόσον τῷ Ποίαντος υἱῷ Φιλοκτήτῃ, οὐχ ὅτι τὴν αὐτὴν νόσον εἶχον ἀμφότεροι, ἀλλ’ ὅτι ὥσπερ Φιλοκτήτης νοσῶν ἐκ τῆς Λήμνου εἰς Τροίαν ἐκομίσθη πρὸς τὴν ταύτης ἅλωσιν, οὕτω καὶ Ἱέρων νοσῶν εἰς πολέμους ἐχώρει. ἡ δὲ ἱστορία τοῦ Φιλοκτήτου τοιαύτη. Ἑλένου τοῦ Πριάμου υἱοῦ μάντεως ὄντος καὶ ἁλόντος ὑφ’ Ἑλλήνων, ἔλαβον ἀπ’ αὐτοῦ χρησμόν, μὴ ἂν ἄλλως πορθηθῆναι τὸ Ἴλιον εἰ μὴ τὰ ὀστᾶ Πέλοπος ἐκ Λετρίνης ἐνέγκοιεν καὶ τὸν Ἀχιλλέως υἱὸν Νεοπτόλεμον καὶ τὸν Φιλοκτήτην ἐκ Λήμνου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετακομισθέντων οὖν τῶν ἄλλων Φιλοκτήτης μόνος ἐναπολέλειπτο. μετεκλήθη οὖν ὑπ’ Ὀδυσσέως καὶ Νεοπτολέμου ἐκ Λήμνου· ἐκεῖ γὰρ αὐτὸν ἔῤῥιψεν Ὀδυσσεὺς δηχθέντα ὑπὸ ὄφεως ὕδρου, ὅτε ἐκάθαιρον Ἕλληνες τὸν κεχωσμένον βωμὸν Ἀθηνᾶς. ἐλθὼν οὖν εἰς τοὺς Ἕλληνας, ἰᾶται τὸ σκέλος ὑπὸ Μαχάονος τῇ ὀφίτιδι λίθῳ. ἕτεροι δέ φασιν, ὡς Ἀπόλλωνος ὕπνον αὐτῷ ἐμβαλόντος, τεμὼν ὁ Μαχάων καὶ βοτάνην θεὶς ἰᾶται. τρόπον.

P 1 97g —διεξάγων. —ἔστι δὲ τὸ ἐφέπων τὴν δίκην ἀντὶ τοῦ κατὰ τὸν ὅμοιον τρόπον. ἐστράτευσεν.

P 1 98g —τῇ ἐκ τῆς νόσου. —αὐτὸν τὸν Ἱέρωνα. διὰ Ἀναξίλαος.

P 1 99g —ὢν. —ὑπέρφρων καὶ σοβαρός. διὰ κολακείας ὑπελθὼν ἐποίησε φίλον.

P 1 98-100 Th. Οἱ γράφοντες φίλον τὸ λον μέγα ληροῦσι. τὸ δέ ἐστι τοιοῦτον. ἔσανέ τις αὐτὸν φίλον, τουτέστι διὰ κολακείας ὑπελθὼν φίλον ἐποίησεν. — Μεγαλάνωρ (99) ὑπέρφρων καὶ σοβαρός. οὗτος γὰρ ὁ Ἀναξίλαος Ῥηγίνων βασιλεὺς ὢν καὶ θέλων τοὺς ἐν Ἰταλίᾳ Λοκροὺς καταπολεμήσειν ἐκωλύθη ἀπειλαῖς Ἱέρωνος ὥστε ὑπελθεῖν αὐτὸν ὕστερον καὶ φίλον ποιῆσαι. ἀπὸ τῆς Λήμνου νήσου.

P 1 101g τῷ τοῦ ποδὸς τραύματι. —πιεζόμενον. —ζητήσοντας. ἐκ Τροίας.

P 1 103 Ὀδυσσέα καὶ Νεοπτόλεμον. —ἰσοθέους. τὸν Φιλοκτήτην.

P 1 105g Φιλοκτήτης. —ἐπόρθησε τοξεύσας Ἀλέξανδρον. εἰς τέλος ἤγαγεν.

P 1 106g —οὓς εἶχον Τροίαν πολιορκοῦντες. νοσερῷ σώματι· λέγει δὲ διὰ τὸ τοῦ σκέλους ἄλγος.

P 1 108g μεμοιραμένον ὑπ’ ἐκείνου Τροίαν ἑλεῖν Ἕλληνας. βοηθός.

P 1 109g —ὑπάρχοι. προσερχόμενον.

P 1 111g ἐπιθυμεῖ. —εὐκαιρίαν καὶ εὐτυχίαν. —αὐτῷ. Εἰ μὲν συνάψεις τὸ ὀρθωτὴρ πρὸς τὸ ὧν ἔρατα ι , οὕτως ἐρεῖς.

P 1 109-111 οὕτω δὲ τῷ Ἱέρωνι πέλοι θεὸς ὀρθωτὴρ ὧν ἔραται καὶ ἐπιθυμεῖ διδοὺς αὐτῷ τὸν προσέρποντα χρόνον καιρὸν ἤτοι εὐκαιρίαν καὶ εὐτυχίαν. εἰ δὲ οὐ συνάψεις, οὕτως. οὕτω δὲ τῷ Ἱέρωνι πέλοι θεὸς ὀρθωτὴρ ἤτοι βοηθὸς καὶ εὐτυχίας παρεκτικός, διδοὺς αὐτῷ τὸν προσέρποντα καὶ προσερχόμενον χρόνον τῶν πραγμάτων ὧν ἐπιθυμεῖ καιρόν. ὥσπερ γάρ φαμεν· ἥδε ἡ ἡμέρα πολλῶν ἀγαθῶν ἡμέρα μοι γέγονεν, οὕτω καὶ τοῦτο. ὦ Καλλιόπη.

P 1 112g —ἐν. —τῷ υἱῷ Ἱέρωνος. —ὑμνῆσαι. πίθεο] διὰ τὸ μέτρον· —πιθοῦ μοι.

P 1 113g —ἀμοιβὴν τῆς νίκης, ἣν τὸ πατρὸς αὐτοῦ ἅρμα νενίκηκεν. Νικαφορία πατέρο ς ] τοῦ πατρὸς αὐτοῦ τοῦ Δεινομένους.

P 1 114 τουτέστιν ἡ τοῦ Ἱέρωνος νίκη καὶ τοῦ αὐτοῦ παιδός ἐστιν. εἶπε δὲ τοῦτο, ἵνα μή τις αὐτῷ εἴπῃ, τίνος χάριν τὴν Μοῦσαν ἐπὶ τῷ Δεινομένει καλεῖς; οὐ γὰρ αὐτός, ἀλλ’ ὁ πατὴρ αὐτοῦ νενίκηκεν. χαρά ἐστι.

P 1 114g —γάρ. —ἀλλ’ οἰκεῖον. ἡ νίκη.

P 1 115g —τοῦ πατρὸς αὐτοῦ τοῦ Δεινομένους. ὦ Μοῦσα.

P 1 116g —τῆς πόλεως. —τῷ Δεινομένει. προσφιλῆ.

P 1 117g —ἐπινοήσωμεν. Germ.

P 1 114-117 Τὸ ἄ γ ’ ἔπειτα ἀντὶ τοῦ ἄγε τοίνυν, ὦ Μοῦσα. τοῦτο προτρεπτικὸν πρὸς τὴν Μοῦσαν καὶ ἐφεξῆς κατὰ ἀκολουθίαν· ἐπὶ τῷ τῆς Αἴτνης βασιλεῖ Δεινομένει προσφιλέστατον ἀνεύρωμεν καὶ προσαρμόσωμεν ὕμνον. τὸ δὲ χάρμα δ ’ οὐκ ἀλλότριον τοῦτό ἐστι λύσις τοῦ ἀντιπίπτοντος, ἤγουν οὐ ξένη χαρά ἐστιν ἡ τοῦ πατρὸς νίκη τῷ υἱῷ καὶ ἀνεύφραντον οὐ λογισθήσεται. ᾧτινι Δεινομένει.

P 1 118

Eulogikon public reading copy · View original HTML at eulogikon.org

—τὴν Αἴτνην. —θείως ἐπὶ τῇ δομήσει τῆς πόλεως γενομένῃ. φασὶ γάρ, ὅτι ἐλευθερίαν καὶ ἀτελείαν τῇ πόλει ἐδωρήσατο.

P 1 120g Δωρικοῦ τόπου, ἀπὸ Ὕλλου τινός. Λακωνικοὺς γὰρ νόμους ἐν ταύτῃ ἐθέσπισεν.

P 1 118-121 Germ. Ὁ νοῦς. τῷ καὶ ᾧτινι τῷ Δεινομένει ὁ Ἱέρων ἔκτισε καὶ ἔδωκε διοικεῖν κείνην τὴν πόλιν σὺν ἐλευθερίᾳ θεοδμήτῳ καὶ θείᾳ, ἥντινα πόλιν ἔκτισεν ὁ Ἱέρων ἐν νόμοις τῆς στάθμης καὶ δικαιοσύνης καὶ νόμου τῆς Ὑλλίδος καὶ τῆς Δωρικῆς, ἢ καὶ τῆς τοῦ Λυκούργου, ἤ τινος ἐξόχου Δωριέων Δωρίδος. οἱ.

P 1 123g ὄρους Λακωνικοῦ. —κατοικοῦντες. — ἀεί. νόμοις.

P 1 124g —νομοθέτου αὐτῶν. Δωριῆς] ποταποί; Τῷ πόλιν κείνα ν ] τῷ καὶ ᾧτινι Δεινομένει ἔκτισεν ὁ Ἱέρων ἐκείνην τὴν πόλιν σὺν ἐλευθερίᾳ θεοδμήτῳ ἐν νόμοις Ὑλλίδος στάθμας ἤτοι Δωρικοῦ τόπου.

P 1 118-125 ἔκτισεν οὖν τὴν πόλιν τούτῳ, ἀντὶ τοῦ κτίσας στρατηγεῖν αὐτῷ ταύτης ἐπέτρεψε. δέον δὲ εἰπεῖν θεοδμήτως ἔκτισε σὺν ἐλευθερίᾳ, θεοδμήτῳ εἶπε πρὸς τὸ ἐλευθερί ᾳ . φασὶ γάρ, ὅτι οὓς ἐγκατῴκισεν ἐν τῇ Αἴτνῃ, ἐλευθερίαν καὶ ἀτέλειαν αὐτοῖς ἐδωρήσατο. ἐπεὶ δὲ τὸ τῆς ἐλευθερίας μέγιστόν ἐστι καὶ ἄντικρυς θεῖον, διὰ τοῦτο λέγει τὸ θεοδμήτῳ σὺν ἐλευθερίᾳ ἤτοι ἐν θείᾳ ἐλευθερίᾳ ἐπὶ τῇ δομήσει τῆς πόλεως γενομένῃ. τὸ δὲ Ὑλλίδος στάθμης (120) νόμοις λέγει, ἐπειδὴ Λακωνικοὺς νόμους ἐν τῇ Αἴτνῃ Ἱέρων ἐθέσπισεν, ἢ ὅτι οἱ ἐν τῇ πόλει κατοικισθέντες Γελῷοι καὶ Συρακούσιοι ἄποικοι Δωριέων εἰσίν. ἐστὶ δὲ τὸ Ὑλλίδος ἀπὸ Ὕλλου ἀνδρὸς ἐπιφανεστάτου τῶν Δωριέων, ἄρξαντος τῶν ἐν Ἰταλίᾳ οἰκησάντων. κρεῖττον δέ ἐστι λέγειν τὸ Ὑλλίδος ἐν νόμοις διὰ τοὺς ἐγκατοικισθέντας ἐν τῇ Αἴτνῃ Γελῴους καὶ Συρακουσίους Δωριέων ὄντας ἀποίκους, ἐπεὶ τὸ ἐπαγόμενον μαρτυρεῖ. οἱ δὲ ἔκγονοι (121) τοῦ Παμφύλου καὶ τῶν Ἡρακλειδῶν ναίοντες καὶ κατοικοῦντες ὑπὸ ταῖς ὄχθαις τοῦ Ταϋγέτου Λακωνικοῦ ὄρους ἤτοι ἐν Λακεδαιμονίᾳ, θέλοντι καὶ θέλουσι μένειν αἰεὶ καὶ πάντοτε ἐν τοῖς νόμοις τοῦ Αἰγιμιοῦ, ποταποί; Δωριεῖς· τουτέστιν οἱ Λάκωνες ἐάν τε κατὰ χώραν ἐάν τε ἄλλῃ ποι οἰκήσωσι, τὸ πάτριον σώζουσι φρόνημα καὶ τοὺς αὐτῶν νόμους, ὥστε καὶ οἱ ἀποικισθέντες ἐν Σικελίᾳ Δωριεῖς οὐ μετέβαλον τὸ ἐξ ἀρχῆς ἦθος. ὁ δὲ Πάμφυλος πρόγονος ἦν Δωριέων, οὗ καὶ φυλὴ ἐπώνυμος ἐν Λακεδαίμονι, Παμφυλίς. κατήγοντο οὖν οἱ Δωριεῖς οἱ μὲν ἀπὸ Παμφύλου, οἳ δ’ ἀφ’ Ἡρακλειδῶν. ὁ δὲ Αἰγιμιός (124), ὡς μέν τινές φασι, νομοθέτης ἦν Δωριέων, ὡς δέ τινες, Λυκούργου, ἐπίπαππος τοῦ Λακεδαιμονίων νομοθέτου. πάλαι οἱ Δωριεῖς.

P 1 125bisg —τὴν Λακεδαιμονίαν, ἀπὸ μέρους. —εὐδαίμονες. ἀπὸ Πίνδου πόλεως Περεβοίας.

P 1 126g —κινούμενοι. Κάστορος καὶ Πολυδεύκους.

P 1 127g — μεγάλην τιμὴν ἔχοντες. τῶν Τυνδαριδῶν.

P 1 126-127 Πινδόθε ν ] Πίνδος ὄρος Περεβοίας, ἐν ᾗ τέσσαρες πόλεις εἰσίν, ὧν μία ἐπώνυμος τῷ ὄρει, ἀφ’ ἧς ἀναστάντες οἱ τῶν Δωριέων πρόγονοι ἀφικνοῦνται εἰς τὴν μεταξὺ Οἴτης ὄρους καὶ Παρνασοῦ Δωρίδα, ὅθεν καὶ τοὔνομα ἔσχον. ἐν δὲ τῇ Δωρίδι ταύτῃ ἓξ πόλεις ἦσαν· Ἐρινεόν, Κύτιον, Βοιόν, Κάρφαια, Δρυόπη, Λίλαιον, ὅθεν μετὰ τῶν Ἡρακλειδῶν εἰς Λακεδαίμονα ἐλθόντες οἰκοῦσι. γείτονας δὲ λέγει τῶν Τυνδαριδῶν, ἐπεὶ ὁ τούτων πατὴρ Τυνδάρεως ἐνταῦθα ἦρχε, διὸ καὶ κηδεύσας Μενέλαον ἔδωκεν αὐτῷ προικὸς χάριν τὴν Σπάρτην. δόξα.

P 1 129g ἐξέλαμψεν. —ἤτοι τῆς ἀνδρείας. πληρέστατε.

P 1 130g —οἵαν νῦν ἔχουσιν. ποταμοῦ Σικελίας.

P 1 132 Germ. Τὸ δίδου λείπει, ἵν’ ᾖ· δίδου τοῖς βασιλεῦσι καὶ τοῖς ἀστοῖς τοῖς περὶ τὸν Ἱέρωνα μερίδα εὐτυχίας. μοῖραν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

P 1 132g —τοῖς πολίταις. κεχωρισμένως τῶν ἄλλων παρέχειν θέλε.

P 1 133g —ἀληθῆ. Καὶ βασιλεῦσ ι ] τινὲς πρὸς τὸ βασιλεῦσιν ὑποστίζοντες καὶ τὸ δίδου ἔξωθεν λαμβάνοντες, τὸ διακρίνειν πρὸς τὸ ἔτυμον λόγον συνάπτουσιν, οὓς αὐτὸς ἐάσας τὸ μὲν δίδου μὴ λάμβανε ἔξωθεν, ὥσπερ ἐκεῖνοι, πρὸς δὲ τὸ διακρίνειν ὑποστίζων ἀντὶ τοῦ διάκρινε λέγε οὕτως.

P 1 132-133 αἰεὶ δὲ καὶ πάντοτε, ὦ Ζεῦ τέλειε, θέλε διακρίνειν ἤγουν κεχωρισμένως τῶν ἄλλων πάρεχε παρὰ τὸ ὕδωρ τοῦ ἐν Σικελίᾳ Ἀμένα ποταμοῦ τοῖς ἀστοῖς καὶ τοῖς βασιλεῦσιν αἶσαν καὶ μοῖραν τοιαύτην οἵαν νῦν ἔχουσιν ἔτυμον καὶ ἀληθῆ λόγον ἀνθρώπων, τουτέστι παρὰ πάντων ἀληθῶς θρυλλεῖσθαι τὴν αὐτῶν εὐτυχίαν. ὁ γὰρ ἀληθῶς εὐτυχῶν καὶ τὴν περὶ αὐτοῦ φήμην ἀληθῆ ἔχει καὶ οὐ δύναταί τις περὶ αὐτοῦ λέγων ψεύσασθαι, φανερᾶς οὔσης τῆς προσούσης αὐτῷ εὐτυχίας. μετὰ τῆς σῆς βοηθείας.

P 1 134g —τοι] ἀργόν. —τιν] σοί. —ἄν. —ὁ ἡγεμὼν Ἱέρων. αὐτοῦ.

P 1 135g —καί. —ἐντελλόμενος ταύτην. —τιμῶν ταῖς αὐτοῦ ἀρεταῖς. πορεύσοιτο εἰς τὸ ἑξῆς.

P 1 136g —ὁμοίαν τῇ παρούσῃ. Σύν τοι τίν κεν] σὺν σοί, ὦ Ζεῦ, ἤτοι μετὰ τῆς σῆς βοηθείας ὁ ἀγιστὴρ καὶ ἡγεμὼν τῆς Σικελίας Ἱέρων τράποι ἂν καὶ εἰς τὸ ἑξῆς πορεύοιτο εἰς ἡσυχίαν καὶ εἰρηναίαν κατάστασιν σύμφωνον ἐπιτελλόμενος καὶ ἐντελλόμενος ταύτην τῷ υἱῷ αὐτοῦ Δεινομένει καὶ γεραίρων καὶ τιμῶν τὸν δῆμον ταῖς αὐτοῦ ἀρεταῖς.

P 1 134-136 εἰ γὰρ μὴ πολέμους ἔχων ἐν αὐτοῖς ἀσχολοῖτο ἐν ἡσυχίᾳ διάγων, νίκας ἑαυτῷ ἐκ τῶν ἐν εἰρήνῃ ἀγώνων ἐργάσεται, δι᾽ ὧν τοῖς ὑπ᾽ αὐτὸν τιμὴ ἔσται. τὸ δὲ σύμφωνον ἡσυχίαν λέγει ἢ ὁμόφωνον καὶ ὁμοίαν ᾗ νῦν χρῆται ἢ ὅτι ἐν τῇ ἡσυχίᾳ ὁμόνοιά ἐστι καὶ ταὐτὰ πάντες φρονοῦσι καὶ λέγουσιν, ἐν δὲ τῷ πολέμῳ ἑτερότητές εἰσι λόγων καὶ βουλῶν. ἱκετεύω σε.

P 1 137g —ἐπάκουσον τῶν ἐμῶν εὐχῶν. — ὦ Ζεῦ. —ἥσυχον ἤγουν ἡσύχως. ἵνα.

P 1 138g —τὸν αὐτοῦ. —ἤτοι οἱ Φοίνικες. ὁ θόρυβος ἤτοι οἱ Τυρσηνοὶ περιφραστικῶς.

P 1 137-139 Ἅμερον ὄφρα κα τ ᾽ οἶκο ν ] μὴ λέγῃς τὸ ἅμερον ἀντὶ τοῦ πράως ὥσπερ τινὲς συνάπτοντες πρὸς τὸ νεῦσον · ἔχει γὰρ τὸ ἅμερον τὴν δύναμιν πρὸς τὸ ἔχῃ, οὕτως. ὄφρα καὶ ἵνα ὁ Φοίνιξ καὶ ὁ Τυρσηνὸς κατὰ τὸν οἶκον ἔχῃ ἥμερον καὶ ἥσυχον, ἤτοι ἡσυχάζῃ; ἔστι γὰρ τὸ ἥμερον οὐδέτερον. τὸ δὲ Φοίνι ξ , εἰ βούλει, μὴ σύναπτε πρὸς τὸ ἀλαλητό ς , ἀλλὰ μεμονωμένον λέγε. εἰ δὲ μή, σύναπτε οὕτως· ὁ Φοίνιξ ἀλαλητὸς καὶ ὁ Τυρσηνῶν ἀλαλητός. τὴν ἀπὸ τῆς τῶν νηῶν καταβολῆς ἐγγενομένην πάλαι αὐτῷ ἀτιμίαν.

P 1 141g τὴν συμβᾶσαν ἐπὶ τῇ Κύμῃ τῇ πρὸ τῆς Σικελίας νήσῳ. ὁποῖα.

P 1 142g —ἡγεμόνι τῷ Γέλωνι τῷ ἀδελφῷ Ἱέρωνος. καταπολεμηθέντες.

P 1 143g —ἔπαθον πάλαι. ταχέως θεουσῶν.

P 1 144g —πλοίων. ὁ Γέλων.

P 1 145g — τὴν Φοινίκων καὶ Τυρσηνῶν τὴν ἡλικίαν. —ἤτοι κατεπόντισε τοὺς ἐν ταῖς ναυσὶ μαχομένους αὐτῶν. Ναυσίστονον ὕβρι ν ] ὁπότε Ξέρξης ἐπὶ τὴν Ἑλλάδα στρατεύειν ἔμελλε, Φοίνικας καὶ Τυρσηνούς, ὑπηκόους ὄντας αὐτῷ, ἐκέλευσε μετὰ τοῦ αὐτῶν ναυτικοῦ Σικελίαν παραγενομένους πορθῆσαι, εἰδὼς ὅτι ταύτης χειρωθείσης ἥ τε Πελοπόννησος καὶ ἡ ἄλλη Ἑλλὰς εὐχείρωτος ἔσται.

P 1 140-145 ἐν δὲ τῷ αὐτῷ χρόνῳ Ἀθηναῖοι καὶ Πελοποννήσιοι πρὸς Γέλωνα πρεσβείαν ἔπεμψαν, ἀξιοῦντες αὐτὸν μετὰ τῶν Ἑλλήνων καὶ μὴ μετὰ τῶν βαρβάρων γενέσθαι. καὶ ὃς ὑπακούσας καὶ ναῦς διακοσίας ἐξαρτήσας καὶ δισχιλίους ὁπλίτας καὶ πεζοὺς μυρίους, ἐπεὶ τὸ Φοινίκων ναυτικὸν ἐν τῇ πρὸ τῆς Σικελίας νήσῳ Κύμῃ παρεγένετο, ναυμαχήσας αὐτοὺς κατεστρέψατο.

τὸ δὲ ὠκυπόρων ἀπὸ ναῶν ἢ πρὸς τὸ πάθον συναπτέον ἢ πρὸς τὸ βάλετ ο . εἰκότως δὲ εἶπε τὸ ἡλικία ν , ἐπειδὴ οἱ ἐν ἡλικίᾳ μάχονται, καὶ οὐχ οἱ γέροντες. πᾶσαν.

P 1 146g —ἐκβάλλων. —μεγάλης καὶ δυσχεροῦς· εἰ γὰρ προὐχώρησεν αὐτοῖς ἡ ὁρμή, ἅπαντ’ ἂν τὰ τῶν Ἑλλήνων ᾤχετο πράγματα. τῆς ἀπὸ τῶν Περσῶν.

P 1 147g —θέλω, προκρίνω. Πὰρ μὲν Σαλαμῖνο ς ] ἰστέον, ὅτι ἐν μὲν Σαλαμῖνι τὸ τοῦ Ξέρξου ναυτικὸν κατεστράφη ὑπ’ Ἀθηναίων· ἐν δὲ τῇ Βοιωτίᾳ τὸ πεζὸν αὐτοῦ ὃν Λακεδαιμόνιοι κατηγωνίσαντο.

P 1 148 ἐν δὲ τῇ Σικελίᾳ ὁ Γέλων, ὡς ἄνω ἔφαμεν, τὸ Φοινίκων καὶ Τυρσηνῶν ναυτικὸν διέφθειρε. ζητεῖται δέ, πῶς Λακεδαιμονίων νεῶν καὶ ἑτέρων Ἑλληνίδων μετ’ Ἀθηναίων ἐν Σαλαμῖνι οὐσῶν, μόνοι Ἀθηναῖοι τὴν νίκην ἐργάσασθαι λέγονται. καί φαμεν, ὅτι μόνοι οὗτοι ἦσαν οἱ τὴν νίκην ποιήσαντες ταῖς Θεμιστοκλέους βουλαῖς καὶ τῷ τῶν νεῶν πλήθει καὶ τῇ κατὰ θάλατταν ἐμπειρίᾳ, ὥσπερ καὶ Λακεδαιμόνιοι τὴν ἐν Πλαταίᾳ τῇ τοῦ Παυσανίου στρατηγίᾳ καὶ τῷ κατὰ γῆν ἄριστοι εἶναι τὰ τακτικά. λέγει οὖν· αἱρέομαι καὶ προκρίνω μισθὸν μὲν παρὰ τῆς Σαλαμῖνος χάριν καὶ ἀρετὴν τῶν Ἀθηναίων· τουτέστιν ἐν αὐτῇ οἱ Ἀθηναῖοι τὸ τῶν Περσῶν ναυτικὸν διέφθειραν. λέγει δὲ τὴν νίκην μισθὸν τῆς Σαλαμῖνος κατὰ τοῦτο· ὥσπερ γὰρ ὁ μισθὸς ὀφείλεται, οἷς δίδοται, οὕτω καὶ ἡ συμβᾶσα ἐν αὐτῇ νίκη ὥσπερ ὠφείλετο καὶ πρέπουσα ἦν γενέσθαι· ἢ ἐπειδὴ μέρος ἦν τῆς Ἑλλάδος, ἔδει καὶ ταύτην ἀναγκαίως εἰσενεγκεῖν τι εἰς τὴν ὑπὲρ τοῦ κοινοῦ σωτηρίαν· εἰσήνεγκεν οὖν τὸ ἐν αὐτῇ γενέσθαι τὴν νίκην· ἢ ἐπειδὴ οἱ Ἀθηναῖοι τὴν αὑτῶν πόλιν καταλιπόντες πρὸς αὐτὴν ταῖς ναυσὶ κατέφυγον, ὥσπερ μισθὸν αὐτοῖς ἀπέδωκε τῆς καταφυγῆς, τὸ νικητὰς ἐν αὐτῇ γενέσθαι. ἀπό.

P 1 148g —ἀρετήν. λέξω.

P 1 150g τὴν ἐν τῇ Πλαταίᾳ, ᾗ πλησιάζει τούτῳ τῷ ὄρει. Ἐν Σπάρτῃ δ ’ ἐρέ ω ] ἐρέω δὲ καὶ λέξω ἐν τῇ Σπάρτῃ τὴν μάχην τὴν πρὸ τοῦ Κιθαιρῶνος· τουτέστιν εἴπω Σπαρτιάτας τὸ τῶν Περσῶν πεζὸν νικῆσαι ἐν τῇ Πλαταιέων πόλει, τῇ πρὸ τοῦ Κιθαιρῶνος ὄρους κειμένῃ πλησίον Βοιωτίας.

P 1 151g τῇ Σαλαμῖνι καὶ τῇ Σπάρτῃ, ἤγουν τῷ ἀπ’ αὐτῶν λαῷ. —οἱ Πέρσαι. —κατεπολεμήθησαν ἐν Πλαταίᾳ. — οἱ περιφερῆ τόξα ἔχοντες. τὴν ἄριστον ὕδωρ ἔχουσαν.

P 1 153g τοῦ· —ποταμοῦ Σικελίας. —Γέλωνι, Ἱέρωνι, Ἱέρωνι, Πολυζήλῳ· —Γέλων, Ἱέρων, Πολύζηλος Δεινομένους παῖδες, ᾧ ὁμώνυμος ὁ Ἱέρωνος παῖς. —ἐρέω ἀπὸ κοινοῦ. Δεινομένεος] οὗτος γὰρ πατὴρ αὐτῶν· —συνίζησις.

P 1 154g —πληρώσας. Ταῖσι ν ] ἤγουν τῇ Σαλαμῖνι ἐξ Ἀθηναίων καὶ τῇ Σπάρτῃ, ἤτοι τῷ ἀπ’ αὐτῆς λαῷ, ἐν τῇ Πλαταίᾳ κάμον καὶ κατεπολεμήθησαν οἱ ἀγκυλότοξοι Μῆδοι.

P 1 151-154 παρὰ δὲ τὴν εὔυδρον ἀκτὴν τοῦ Σικελικοῦ ποταμοῦ Ἱμέρα, ἤτοι παρὰ τὴν Σικελίαν, ἐρέω καὶ εἴπω ἀπὸ κοινοῦ ὕμνον τοῖς παισὶ τοῦ Δεινομένους τελέσας καὶ πληρώσας τοῦτον ὥσπερ τινὰ ὀφειλήν· ὁ γὰρ ἔπαινος μισθός ἐστιν ἀρετῆς. ἀποροῦσι δέ τινες, πῶς τοῦ Γέλωνος μόνου τότε νικήσαντος οὗτος τοῖς τρισὶν ἀνατίθησι τὴν νίκην· καί φαμεν, ὅτι τῇ τοῦ Γέλωνος γνώμῃ ἕπεται. ἐκεῖνος γὰρ τρίποδας τρεῖς χρυσοῦς ἀναθεὶς τῷ Ἀπόλλωνι ἕνα μὲν δι’ ἑαυτόν, δύο δὲ διὰ τοὺς ἀδελφούς, αἰτίους καὶ αὐτοὺς ἐν τούτοις ἐπέγραψεν. ὕμνον.

P 1 155g —ἀνδραγαθίᾳ. τῶν Φοινίκων καὶ Τυρσηνῶν.

P 1 156g —καταναυμαχηθέντων ὑπ’ αὐτῶν. ἤγουν εἰ ἐγκαίρως τοὺς λόγους ποιήσαιο, ὦ θυμέ.

P 1 157g —ἔργων. —(ἐπιδιόρθωσις). τέλη.

P 1 158g —συνάξας. ἐν ὀλίγῳ.

P 1 159g — ἤγουν οὐδείς. —ἀκολουθεῖ. μέμψις.

P 1 157-160 Καιρὸν εἰ φθέγξαι ο ] αἰσθόμενος ἑαυτὸν ὁ Πίνδαρος ἀκαίρως ἐκβεβηκότα, φησίν· εἰ φθέγξαιο, ὦ θυμέ, καιρὸν τὸν πρέποντα, ἤγουν εἰ ἐγκαίρως τοὺς λόγους ποιήσαιο, συντανύσας καὶ

συνάξας ἐν βραχεῖ καὶ ἐν ὀλίγῳ πέρατα καὶ τέλη πολλῶν πραγμάτων, τουτέστιν ἀφεὶς τὸ πολλὰ λέγειν καὶ συντεμὼν εἰς ὀλίγα, μείων καὶ ἐλάττων καὶ οὐδεὶς μῶμος ἕπεται παρὰ τῶν ἀνθρώπων, ἤγουν οὐδεὶς ψόγον ἐπαγάγῃ σοι ὡς πολυλογοῦντι. μὴ λάβῃς δὲ πρὸς τὸ καιρὸν ἔξωθεν εἰ ς , ὥς τινες· ἀλλ' ἔστιν αὕτη ἡ αἰτιατικὴ πρὸς τὸ φθέγξαιο · ὁ γὰρ φθεγγόμενος ἔγκαιρα, καιρὸν φθέγγεται. τῶν λόγων.

P 1 160g —καταβάλλει. ποταπός; σκοτεινός.

P 1 161 Germ. Ἐλπὶς ἔργον διανοίας· ὅθεν καὶ δέδεκτο τὸ ἐνεργούμενον ἀντὶ τοῦ ἐνεργοῦντος καὶ τὸ αἰτιατὸν ἀντὶ τοῦ αἰτίου. Ἀπὸ γὰρ κόρος ἀμβλύνε ι ] ἀπαμβλύνει γὰρ καὶ καταβάλλει ὁ κόρος τῶν λόγων τὰς ταχείας ἐλπίδας τῶν ἀκροατῶν· ποταπός; αἰανὸς καὶ σκοτεινὸς ἤτοι τὸ λελογισμένον αὐτῶν σκοτίζων· τουτέστιν ἐλπίδα ἔχοντες οἱ ἀκροαταὶ ταχέως ἀκούσεσθαί τι περὶ τοῦ ἐπαινουμένου, σκοτίζονται ὑπὸ τοῦ πολλὰ ἀκούειν μεταξὺ λεγόμενα καὶ τὴν ἐλπίδα αὐτῶν ἀπολλύουσιν ἀπαγορεύοντες.

P 1 161-162 αἰανὸς δὲ κόρος λέγεται οὐχ ὅτι αὐτὸς σκοτεινός ἐστιν, ἀλλ' ὅτι τοὺς ἄλλους σκοτίζει. οἱ δὲ λέγοντες τὸ ἐλπίδας ἀντὶ τοῦ γνώμας ἀμαθεῖς. τῶν πολιτῶν.

P 1 162g —ἤγουν κρυφίως. —καταβάλλει. περισσοτέρως.

P 1 163g —ἀγαθοῖς. —ξένοις. Ἀστῶν δ ' ἀκο ά ] τὸ ἀκοὰ πρὸς τὸ βαρύνει σύναπτε, τὸ δὲ θυμὸν πρὸς τὸ πολιτῶ ν , οὕτως· ἡ ἀκοὴ τῶν προσόντων τισὶν ἀγαθῶν βαρύνει καὶ καταβάλλει τὸν θυμὸν τῶν πολιτῶν, ποταπόν; κρύφιον μάλιστα καὶ περισσοτέρως ἐπὶ ἀλλοτρίοις καὶ ξένοις ἐσθλοῖς.

P 1 162-163 τοῦτο δὲ λέγει ὡς φθονουμένου τοῦ Ἱέρωνος τοῖς αὐτοῦ πολίταις. δέον δὲ εἰπεῖν κρυφίω ς , κρύφιον εἶπε πρὸς τὸ θυμό ν . τὸ δὲ μάλιστα εἶπεν, ἵνα δείξῃ, ὅτι περισσοτέρως ἡ τῶν ἀλλοτρίων ἀγαθῶν ἀκοὴ τούτους λυπεῖ ἢ ἄλλο τι. Κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος͡ ὁ μὲν γὰρ βέλτιστος φθονεῖται διὰ τὰ προσόντα αὐτῷ πλεονεκτήματα, ὁ δὲ μὴ τοιοῦτος ἐλεεῖται.

P 1 164g ἤγουν εἰ καὶ φθονοῖο. —κρείττων. —ἐλέου. καταλίμπανε καὶ ἀμέλει.

P 1 165g —διέξαγε, κυβέρνα. ἤγουν δίκαιος ἔσο τοῖς ὑπό σε.

P 1 167g ἤγουν φιλαλήθης ἔσο· εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν χαλκευόντων. οἰκονόμει, εὐτρέπιζε.

P 1 166-168 Τοῦτο λέγει ὡς ἐπαγγειλαμένου τοῦ Ἱέρωνος αὐτῷ δοῦναί τι καὶ οὐ δόντος. διὸ δὴ ἐπαίρει αὐτὸν ἐκτελέσαι τὴν ὑπόσχεσιν. φαῦλον, εὐτελές.

P 1 169g —ὁρμήσει. ἤγουν μέγα δοκεῖ τοῖς ἄλλοις.

P 1 171g παρὰ σοῦ, ἤγουν ἀπὸ σοῦ. Σύναπτε τὸ παραιθύσσει πρὸς τὸ πὰρ σέθε ν .

P 1 169-171 τὸ γὰρ μικρὸν τῶν βασιλέων ἁμάρτημα μέγα δοκεῖ τοῖς ἄλλοις. φύλαξ ἤτοι ἄρχων.

P 1 172g ἤτοι τοῖς καλοῖς καὶ κακοῖς. —βέβαιοι. εὐθαλεῖ.

P 1 173g —ὁρμῇ τῇ περὶ τὰ καλά. —παραμένων ἀεί. Germ.

P 1 173 Ἡ ὀργὴ ἐπιμερίζεται μόνῳ τῷ μανικῷ τρόπῳ, τὸ δὲ νῦν ἐπιμεμέρισται καὶ κεκοινώνηται πᾶσι τοῖς τρόποις κατὰ τόνδε τὸν ποιητήν. ἤτοι ὕμνους ἡδεῖς.

P 1 175g ἀκούειν. —μὴ ἀπαγόρευε, ἀλλὰ μισθοὺς δαψιλεῖς τοῖς ὑμνοῦσί σε πάρεχε. ὑποχάλα πρὸς τοὺς μισθούς.

P 1 176g —ὥσπερ ἐξίει. Ἱστίον ἀμπετάσα ς ] δεῖ γὰρ ἀνέμου πνεύσαντος τὸ ἱστίον ὑποχαλᾶν, ἵνα μὴ ὄντος τεταμένου ὑπὸ τοῦ ἀνέμου εἰς τοὔμπαλιν ἀνατραπείη τὸ σκάφος.

P 1 177g λαῖφος. —τανύσας. Μὴ δολωθῇ ς ] μὴ τοὺς ὀφειλομένους τισὶ μισθοὺς ἀποστερῶν κερδαίνειν τι λογίζου.

P 1 178 τοῦτο γὰρ τὸ κέρδος αἰσχρὸν καὶ τὸν κερδαίνοντα μιαίνει. μὴ ἀπατηθῇς καὶ μιανθῇς.

P 1 178g

Eulogikon public reading copy · View original HTML at eulogikon.org

—Ἱέρων. εὐτραπέλοις] κακοῖς καὶ ἀδίκοις· ἔστι δὲ καὶ εὐτράπελον τὸ καλόν· —ἀντὶ μιᾶς.

P 1 179g —ποταπόν; ὑπὸ τῶν ἐσομένων βροτῶν ᾀδόμενον. ἤτοι ὁ ὕμνος.

P 1 181g μόνον. —ἀποθανόντων. διαγωγήν.

P 1 183g λογοποιοῖς. —ποιηταῖς. Οἶον ἀποιχομένω ν ] οἶον καὶ μόνον τὸ αὔχημα τῆς δόξης, ἤτοι ἡ ἀρετὴ καὶ ὁ ἔπαινος, ποταπόν; ὀπισόμβροτον καὶ ὑπὸ τῶν ἐσομένων βροτῶν ᾀδόμενον μηνύει καὶ λογίοις καὶ ἀοιδοῖς τὴν δίαιταν καὶ τὴν διαγωγὴν τῶν ἀποιχομένων ἀνδρῶν, τῶν κτησαμένων τοῦτο τὸ αὔχημα· τουτέστιν ἐάν τις καλὸν ἐργάσηται καὶ ἐπαινεθῇ, ἐν τοῖς ἔπειτα ᾄδεται λογοποιοῖς καὶ ποιηταῖς, ὁποῖός τις ἦν, διεξιοῦσι τὸν ἐπ’ αὐτὸν γενόμενον ὕμνον.

P 1 184g οὐ φθείρεται, ἀλλὰ θάλλει παρὰ τοῖς ποιηταῖς. — ἤγουν ἡ πρὸς τοὺς φίλους εὐεργεσία. Τὸν δὲ ταύρῳ χαλκέ ῳ ] Περίλαός τις Ἀθηναῖος ἐλθὼν εἰς Φάλαριν τὸν Ἀκραγαντίνων τύραννον ὑπέσχετο αὐτῷ ταῦρον ποιήσειν χαλκοῦν, ἵνα ἐντὸς αὐτοῦ ὃν ἂν καταδικάσῃ ἐμβάλλων καὶ τῷ πυρὶ προσάγων οὕτω κολάζῃ.

P 1 185 οὗ γενομένου πρῶτος εἰσεβλήθη Περίλαος, οὐκ ἄξιον τοῦ Φαλάριδος κεκρικότος ἕτερον πρὸ αὐτοῦ κολασθῆναι ἀλλ’ ἢ τὸν δημιουργόν, ὅπως ἂν μόνος δείξῃ τὸ αὐτοῦ δημιούργημα. λέγει οὖν ὡς κακὸν πάντες ᾄδουσι Φάλαριν, καὶ ἡ μὲν τοῦ Κροίσου ἀρετὴ ἀεὶ ἐν συμποσίοις καὶ πανηγύρεσιν ὑπὸ τῶν παίδων ἐμμελῶς ᾄδεται, ὁ δὲ Φάλαρις οὐκ ἔχει χώραν ἐν συμποσίοις. δέον δὲ εἰπεῖν ὁμορόφιο ν , ὁμορόφιαι εἶπε πρὸς τὸ φόρμιγγες · εἴρηται δὲ ἐκ μεταφορᾶς τῶν τοὺς ξένους ὑποδεχομένων. μὴ λάβῃς δὲ εἰς τὸ κοινωνίαν τὸ εἰς, ὥς τινες, ἀλλ’ ἔστιν ἡ αἰτιατικὴ πρὸς τὸ δέχοντα ι , οὕτως· οὐ δέχονταί μιν καὶ αὐτὸν κοινωνίαν, ἤτοι κοινωνὸν παραλαμβάνουσιν. χαλκῷ.

P 1 185g —τὸν καίοντα τοὺς ἀνθρώπους. ποταπόν; ἀνηλεῆ καὶ ἀμείλιχον τὸν νοῦν.

P 1 187g κακή. — κρατεῖ. —πανταχοῦ. —φήμη. Νηλεὰ νόο ν ] μὴ λέγε πρὸς τὸ νόον ἔξωθεν τὸ κατ ά , ἀλλ’ ἔστι τὸ νόον καὶ τὸ Φάλαριν ταὐτόν.

P 1 186-187 ὥσπερ γάρ φαμεν· ὁ Πλάτων σοφὴ διάνοιά ἐστιν, οὕτω καὶ τοῦτο· κατέχει τὸν Φάλαριν φήμη ἀνηλεῆ νοῦν, ἤγουν κακὸν καὶ ἀμείλικτον ᾄδουσιν. αὐτόν.

P 1 188g —αἱ κιθάραι. —ποταπαί; ὁμόστεγον ἔχουσαι. ἤγουν κοινωνὸν παραλαμβάνουσιν.

P 1 189g —ἡδίστην. —τοῖς μέλεσι. Germ.

P 1 190 Ὄαρ λέγεται ἡ γυνὴ καὶ κατὰ συναίρεσιν ὦρ· ἐκ δὲ τοῦ ὄαρ λέγεται καὶ ὀαρίζειν, τὸ γυναικεῖα διαλέγεσθαι. ἤτοι νίκης ἠξιῶσθαι ἀγωνιζόμενον.

P 1 191g —ἐστί. — ἀέθλων] συνίζησις· —τῶν ἀγώνων. ἤγουν ἐγκωμίου τυγχάνειν.

P 1 192g —τύχη ἐστί. Τινὲς πρὸς τὸ ἀέθλων λαμβάνουσιν ἔξωθεν ἀπό, οὕτω· τὸ δὲ εὖ παθεῖν καὶ εὐτυχῆσαι ἀπὸ ἀέθλων καὶ ἀγώνων πρῶτον ὑπάρχει.

P 1 191-192 ἐγὼ δὲ οὕτω· τὸ δὲ εὖ παθεῖν καὶ εὐτυχῆσαι, ἤτοι νίκης ἀξιωθῆναι ἀγωνιζόμενον, πρῶτον τῶν ἄθλων ἐστί, τουτέστι τοῦτο πρῶτον οἱ ἀγῶνες παρέχουσι. δευτέρα δὲ μοῖρά ἐστιν εὖ ἀκούειν, ἤτοι ἐγκωμιάζεσθαι ὡς τῆς μὲν νίκης πρῶτον γινομένης, ἔπειτα δὲ ἐπακολουθοῦντος τοῦ ὕμνου. οἱ δὲ πολλοὶ ἀγνοοῦντες καὶ ἀέθλω χωρὶς τοῦ ν γράφουσιν. τῇ νίκῃ καὶ τῷ ἐγκωμίῳ.

P 1 194g ἐντύχῃ. — λάβῃ ταῦτα ἀμφότερα. μέγιστον.

P 1 195g —ἤτοι θαυμάσιος καὶ μέγας ἔδοξεν. Ἐπίνικοι Πυθιονίκαις.

P 2 t Ἱέρωνι Συρακοσίῳ ἅρματι. Ὠιδὴ β′. [Δημητρίου Τρικλινίου] περὶ τῶν κώλων τῶν στροφῶν καὶ ἀντιστροφῶν τοῦ β′ εἴδους τῶν Πυθίων. Τοῦ β′ εἴδους τῶν Πυθίων αἱ στροφαὶ καὶ ἀντιστροφαὶ κώλων ἑκάστη ιη′.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

P 2 prae gl Τὸ α′ τροχαϊκὸν ἑφθημιμερὲς τοὺς πρώτους β′ πόδας ἔχον ἐκ τριβράχεος ἤτοι χορείου. Τὸ β′ Ἰωνικὸν ἀπ’ ἐλάττονος δίμετρον καταληκτικὸν ἐκ β′ παίωνος ἀντὶ Ἰωνικοῦ καὶ Ἰωνικοῦ καταληκτικοῦ. Τὸ γ′ Ἰωνικὸν ὅμοιον δίμετρον ἀκατάληκτον ἐκ παίωνος δ′ καὶ Ἰωνικοῦ ἀπ’ ἐλάττονος. Τὸ δ′ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον. τοῦτο καὶ ἰαμβικόν ἐστιν ἑφθημιμερὲς τοῦ β′ ποδὸς ἀναπαίστου. Τὸ ε′ δακτυλικὸν δίμετρον ἤγουν β′ δάκτυλοι. Τὸ ϛ′ προσοδιακὸν τρίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ Ἰωνικοῦ ἀπ’ ἐλάττονος. Τὸ ζ′ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον καταληκτικὸν ἐκ παίωνος β′ καὶ Ἰωνικοῦ καταληκτικοῦ ἤτοι διτροχαίου. Τὸ η′ τετράμετρον βραχυκατάληκτον ἐκ β′ προσοδιακῶν. σύγκειται γὰρ ἐκ χοριάμβου, παίωνος β′ ἀντὶ Ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου αὖθις καὶ Ἰωνικοῦ ἀπ’ ἐλάττονος ἡμίσεος. Τὸ θ′ προσοδιακὸν τρίμετρον ἀκατάληκτον ἄλλον τρόπον ἐσχηματισμένον. οὐ γὰρ τὴν β′ ἔχει συζυγίαν χοριαμβικήν, ἀλλὰ τὴν γ′. ἐξ Ἰωνικοῦ γάρ ἐστιν ἀπὸ μείζονος, παίωνος γ′ καὶ χοριάμβου. τὸ αὐτὸ δὲ καὶ ἰαμβικόν ἐστι τρίμετρον βραχυκατάληκτον τοῦ β′ ποδὸς τριβράχεος, τοῦ δὲ ε′ ἀναπαίστου. Τὸ ι′ Ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον ἐξ Ἰωνικοῦ ἀπὸ μείζονος, παίωνος γ′ καὶ συλλαβῆς. τὸ αὐτὸ καὶ ἰαμβικὸν εὕρῃς δίμετρον ἀκατάληκτον τοῦ β′ ποδὸς τριβράχεος. Τὸ ια′ ἀναπαιστικὸν μονόμετρον ἀκατάληκτον. Τὸ ιβ′ Ἰωνικὸν ἀπ’ ἐλάττονος τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος δ′, ἐκ γ′, καὶ ἡμίσεος Ἰωνικοῦ. ἔστω δὲ καὶ παιωνικόν, εἰ βούλει. Τὸ ιγ′ Ἰωνικὸν τρίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου γ′, Ἰωνικοῦ ἀπὸ μείζονος καὶ ἑτέρου καταληκτικοῦ ἤτοι δακτύλου. Τὸ ιδ′ τροχαϊκὸν ἑφθημιμερὲς ἤτοι Εὐριπίδειον. Τὸ ιε′ ἰαμβικὸν πενθημιμερὲς ἐξ ἀναπαίστου α′. Ἑξῆς ἐπὶ πάσῃ στροφῇ καὶ ἀντιστροφῇ παράγραφος. Περὶ τῶν κώλων τῶν ἐπῳδῶν. Αἱ ἐπῳδοὶ κώλων ἑκάστη ιδ′. Τὸ α′ παιωνικὸν τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος δ′, ἐκ γ′, καὶ ἡμίσεος Ἰωνικοῦ. οἰκεῖοι γὰρ οἱ πόδες. Τὸ β′ παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος β′ καὶ Κρητικοῦ. Τὸ γ′ χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ ἀντισπάστου. Τὸ δ′ πολυσχημάτιστον τρίμετρον ἀκατάληκτον ἐκ χοριάμβου καὶ ἀντισπάστου καὶ ἰαμβικῆς συζυγίας. Τὸ ε′ παιωνικὸν δίμετρον καταληκτικὸν ἐκ παίωνος δ′ καὶ ἀναπαίστου. Τὸ ϛ′ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον ἐξ ἀντισπάστου καὶ ἰαμβικῆς συζυγίας. Τὸ ζ′ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστων β′, τοῦ πρώτου πεντασυλλάβου διαλελυμένου καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς ἤτοι Κρητικοῦ. Τὸ η′ παιωνικὸν τρίμετρον ἀκατάληκτον ἐκ παίωνος δ′, ἐκ γ′, καὶ Ἰωνικοῦ ἀπὸ μείζονος. Τὸ θ′ ἰαμβικὸν πενθημιμερές. Τὸ ι′ Ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐξ Ἰωνικοῦ καὶ τροχαικῆς συζυγίας. Τὸ ια′ προσοδιακὸν τρίμετρον καταληκτικὸν ἐξ ἰαμβικῆς συζυγίας, χοριάμβου καὶ τροχαϊκῆς συζυγίας καταληκτικῆς. Τὸ ιβ′ Ἰωνικὸν δίμετρον καταληκτικὸν ἐξ ἐπιτρίτου γ′ καὶ Ἰωνικοῦ καταληκτικοῦ. Τὸ ιγ′ πολυσχημάτιστον τρίμετρον καταληκτικὸν ἐξ ἀντισπάστου, χοριάμβου καὶ ἰαμβικῆς συζυγίας καταληκτικῆς.

P 2 prae gl Τὸ ιδ′ Ἰωνικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος β′ καὶ τροχαϊκῆς συζυγίας. εἰ δὲ βούλει, ἔστω καὶ ἰαμβικὸν ἑφθημιμερὲς τοῦ β′ ποδὸς ἀναπαίστου. Ἑξῆς ἐφ’ ἑκάστῃ ἐπῳδῷ κορωνὶς καὶ παράγραφος, ἐν δὲ τῷ τέλει τοῦ ᾄσματος ἀστερίσκος. ἔστι δὲ στροφῶν δ′. Τὸ προοίμιον ἀπὸ τῆς πόλεως τοῦ νικητοῦ.

P 2 2g τοῦ μεγάλου ἐν μάχαις. ἱερόν.

P 2 3g —τοῦ. Ἐπειδὴ αἱ Συράκουσαι πόλις ἐστὶν ἐν Σικελίᾳ, εἰς ἃς Ἱέρων ἐποιεῖτο, τὴν οἴκησιν, διὰ τοῦτο πρὸς αὐτὰς ἀποτείνει τὸν λόγον, φάσκων αὐτὰς μεγαλοπόλιας, ἢ διότι τέσσαρας πόλεις Ἱέρων καταστρεψάμενος αὐτὰς ἐποίησεν, Ἀρκαδίνην, Νεάπολιν, Ἐπιπολάς, Τύχην, ἢ διὰ τὸ τῆς πόλεως θαυμαστὸν καὶ ἐξαίρετον.

P 2 1-3

τέμενος δὲ Ἄρεος διὰ τὸ τῶν ἐνοικούντων πολεμικόν. τῶν ἐν τοῖς πολέμοις χαιρόντων· λάμβανε δὲ καὶ πρὸς τὸ ἀνδρῶν καὶ πρὸς τὸ ἵππω ν .

P 2 5g ἐξαίρετοι. ὑμῖν.

P 2 6g — τῶν εὐγείων. τὸν ὕμνον.

P 2 8 Τὸ ἀγγελίαν εἶπεν, ἐπειδὴ ὁ ὑπὲρ τῆς νίκης τοῦ τετραώρου γενόμενος ὕμνος ἀγγελεῖ αὐτὸ ταῖς Συρακούσαις. τοῦ τετραώρου ἅρματος τοῦ ἐπὶ γῆς κινουμένου.

P 2 4-8 Germ. Τὸ σιδηροχαρμᾶν ἀπὸ κοινοῦ καὶ τῶν ἀνδρῶν καὶ τῶν ἵππων. — Λιπαρᾶν διὰ τὸν Διόνυσον, καὶ ἐλελίχθονος τῆς ταραττούσης τὴν γῆν. ποταπός; καλὸς ἐν τῷ ἅρματι φανείς.

P 2 9g —τετραορίᾳ. —νικῶν. Τὴν Ὀρτυγίαν τινὲς νῆσόν φασι παρακειμένην τῇ Σικελίᾳ, πατρῷον αὐτοῦ κτῆμα.

P 2 10 κρεῖττον δὲ φάσκειν αὐτὴν πόλιν ἐν Σικελίᾳ διὰ τὸ ἐπαγόμενον. λαμπροῖς.

P 2 10g —ἐστεφάνωσεν. πόλιν ἐν Σικελίᾳ πατρίδα αὐτοῦ.

P 2 12 Φασὶ τὸν Ἀλφειὸν ποταμὸν τῆς ἐν Σικελίᾳ Ἀρεθούσης πηγῆς ἐρῶντα ἐκ Πελοποννήσου διὰ μέσης θαλάττης ἀγόμενον συμμίγνυσθαι τῇ πηγῇ. ἔστι δὲ ἡ πηγὴ πλησίον τῆς Ὀρτυγίας πόλεως. διὰ δὲ τὸ παρ' Ἀλφειῷ τὸ ἐν Σικελίᾳ ἱερὸν ἢ ἄγαλμα Ἀρτέμιδος εἶναι, διὰ τοῦτο τὴν Ὀρτυγίαν ἕδος ἤτοι τέμενος λέγει. τῆς ἐν Ἀλφειῷ ποταμῷ ἱδρυμένης. [5]

P 2 13g Ἀρτέμιδος. —χωρίς. —τὰς ἐν τῷ ἅρματι. —λαμπραῖς. ποικίλους χαλινοὺς ἐχούσας.

P 2 15g ἤλασε νικητικῶς πρὸς τὸν δρόμον. —τοὺς ἵππους. ἡ τοξικὴ καὶ τοῖς βέλεσι χαίρουσα.

P 2 17g διπλῇ. Ἐπὶ γὰρ Ἰοχέαιρ α ] τὸ ἐπὶ πρὸς τὸ τίθησι συναπτέον.

P 2 16-17 τὸ δὲ διδύμῃ χερὶ ἢ πρὸς τὴν Ἄρτεμιν νοητέον ἀντὶ τοῦ μεγάλῃ βοηθείᾳ· ὁ γὰρ ἀμφοτέραις χερσὶ συμμαχῶν μεγίστην παρέχει βοήθειαν· ἢ τὸ διδύμῃ χερὶ τῇ τοῦ Ἱέρωνος· ἀμφοτέραις γὰρ ταῖς χερσὶ τὰς τοῦ ἅρματος ἡνίας κατεῖχεν, ἵνα λέγῃ, ὅτι τεχνικῶς καὶ καλλίστως πρὸς τὸν δρόμον τὸ ἅρμα ὁ Ἑρμῆς καὶ ἡ Ἄρτεμις ἐλάσαι παρέσχον. ὁ ἔφορος τῶν ἀγώνων. [5]

P 2 19g λαμπρόν. —τὴν ἐκ τῆς νίκης τιμήν. τετορευμένον.

P 2 20g —ἅρμα. τὰ τοῖς χαλινοῖς πειθόμενα πρὸς τὴν κίνησιν.

P 2 22g δύναμιν. —τὸ τῶν ἵππων, ἤτοι τοὺς ἵππους περιφραστικῶς. Τὸ ἅρματα πεισιχάλινα καὶ τὸ ἵππειον σθένος ταὐτόν ἐστιν· ἅρματα γὰρ πεισιχάλινα ἡ μετὰ τῶν ἵππων ἅμαξα.

P 2 21-22 οὐ γὰρ οἷόν τε μόνῃ τῇ ἁμάξῃ τοῖς χαλινοῖς πείθεσθαι μὴ ἵππων οὐσῶν. ἔχει δὲ τὸ ἐν τὴν δύναμιν πρὸς τὸ καταζευγνύ ῃ. Εὐρυβίαν θεὸν τὸν Ποσειδῶ λέγει· πρῶτος γὰρ οὗτος ἅρμα παρέσχε Πέλοπι· διὸ καὶ εἰκότως ἂν βοηθὸς καλοῖτο τοῖς ἅρμασιν. [5]

P 2 23g τὸν ἐν τῇ τριαίνῃ κινοῦντα τὴν γῆν. —μεγαλοδύναμον. —ἐπικαλούμενος. —τὸν Ποσειδῶ. ἐποίησεν.

P 2 25g εἰς ὅν ἐστι καλῶς αὐχήσασθαι τὸν ἔχοντα. ἀμοιβήν.

P 2 26g —τῶν αὐτῶν. Κινύραν τὸν τῶν Κυπρίων λέγει βασιλέα, ὃν ἐν τῷ λόγῳ διὰ τοῦτο παρέλαβε, διότι καὶ ὁ τοῦ Ἱέρωνος πατὴρ Δεινομένης τὸ ἀνέκαθεν Κύπριος ἦν.

P 2 27 τὸ δὲ κελαδέοντι εἶπεν ἢ ὡς ἀρχηγέτην τῆς νήσου, ἢ ὡς βασιλέα αὐτῆς εὐδαιμονέστατον καὶ μείζω τῶν πρὸ αὐτοῦ γενόμενον. ὑμνοῦσι. [5]

P 2 27g —τὸν τῶν Κυπρίων βασιλέα. Germ.

P 2 28 Ὅντινα τὸν τῶν Κυπρίων βασιλέα· οὗ καὶ Ὅμηρος μέμνηται. υἱὸς δὲ Εὐρυμέδοντος καὶ Παφίας νύμφης· ἐγένετο δὲ ἱερεὺς τῆς Κυπρίας Ἀφροδίτης. πλειστάκις.

P 2 28g —οἱ ὕμνοι. —Κινύραν. ὁ χρυσόθριξ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

P 2 29g —προθύμως. ἢ ὡς τοξικὸν ἢ ὡς μουσικόν.

P 2 31g κτίλον] φίλον. —αὐτῇ γὰρ ἀφιέρωται ἡ Κύπρος. —φέρει ἑαυτήν. ποταπή; ἀμειπτική.

P 2 33g —ἔργων] προϋπαρξάντων. Pal.

P 2 34 Ἡ Ἐπιζεφυρία Λοκρὶς ἐπολιορκεῖτο ὑπὸ τῶν ἐχθρῶν· ὧν ἀπελασθέντων τῇ δυνάμει Ἱέρωνος προσεγένετο ταῖς Λοκρίσι παρθένοις βλέπειν στερεῶς, ἀσφαλῶς, ἤγουν ἀφόβως, πρὸ τοῦ τῷ φόβῳ τῶν ἐχθρῶν ἔνθα κἀκεῖσε συχνῶς τοὺς ὀφθαλμοὺς περιφερούσαις. ὄπισθεν ἐρχομένη τῶν ἔργων ἤτοι ὕστερον.

P 2 32-34 Χάρις φίλω ν ] τὸ φίλων ἢ πρὸς τὸ ποίτινος συναπτέον ἢ πρὸς τὸ ἔργω ν , ἵν’ ᾖ τὸ μὲν φίλων ἀρσενικόν, τὸ δὲ ἔργων οὐδέτερον, οὕτως· ἄγει δὲ καὶ φέρει ἑαυτὴν ἡ χάρις ἀντὶ ἔργων προϋπαρξάντων. ὀπιζομένα δὲ ὄπισθεν ἐρχομένη, ποταπή; ποίτινος καὶ ἀμειπτικὴ τῶν φίλων τῶν δι’ ὧν ἐποίησαν ἔσεσθαι ταύτην παρασκευασάντων. ἢ οὕτως. ἄγει δὲ ἑαυτὴν ἡ χάρις ἀντὶ ἔργων φίλων ὀπιζομένη καὶ ὄπισθεν ἐρχομένη ποίτινος καὶ ἀμειπτική· τουτέστιν ἡ γινομένη χάρις προϋπαρξάντων τινῶν ἔργων χάρις ἐστί· τοῦτο δὲ λέγει διὰ τὸ ἐλευθερωθῆναι τοὺς Ἐπιζεφυρίους Λοκροὺς ὑπ’ αὐτοῦ πολεμίων ἐπιθέσεως καὶ νῦν τοῦτον θαυμάζειν ὡς σωτῆρα. Ἀναξίλας γὰρ καὶ Κλεόφρων ὁ τούτου παῖς τύραννοι ὄντες, ὁ μὲν ἐν Ῥηγίῳ, Ἀναξίλας δὲ ἐν Μεσσήνῃ, πόλεμον τοῖς Ἐπιζεφυρίοις Λοκροῖς ἠπείλησαν. μαθὼν οὖν Ἱέρων καὶ πέμψας πρὸς αὐτοὺς τὸν κηδεστὴν αὐτοῦ Χρόμιον, ἐπέσχεν αὐτοὺς τῆς ὁρμῆς. τοῦ Δεινομένους.

P 2 34g —Ἱέρων. ἐκτὸς τῶν δόμων· οὕτω γὰρ ἦν ἔθος πανηγυρίζειν.

P 2 36g ἤγουν αἱ Λοκρίδες γυναῖκες. —θαυμάζει καὶ ὑμνεῖ. τῶν τοῦ πολέμου.

P 2 37g — μόχθων. —ἐν οἷς οὐκ ἦν ἀπαλλαγὴν μηχανήσασθαι. τὴν σὴν ἀρχήν.

P 2 38g —ἰδοῦσα. —βέβαιον. ἤτοι ταῖς τοῦ Διὸς προσταγαῖς.

P 2 40 Φαντὶ ταῦτ α ] τοῦτο τὸ ταῦτα πρὸς τὸ τὸν εὐεργέτην συνάπτεται. τὸ γὰρ τὸν εὐεργέτην ἀγαναῖς ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι, ἑρμηνεία ἐστὶ τοῦ ταῦτ α . φασί.

P 2 41g ταχυτάτῳ. ἀεὶ περιφερόμενον.

P 2 43 Αὕτη ἡ αἰτιατικὴ τὸ εὐεργέταν πρὸς τὸ ἐποιχομένους συντάσσεται οὕτως. ἐπὶ τὸν εὐεργέτην οἰχομένους καὶ πορευομένους ἐν ἀμοιβαῖς ἀγαναῖς καὶ λαμπραῖς τίνεσθαι καὶ ἀνταποδιδόναι αὐτῷ. λαμπραῖς.

P 2 43g —ἐν. πορευομένους.

P 2 44g —ἀνταποδιδόναι καὶ ἀντιχαρίζεσθαι αὐτῷ. Germ.

P 2 39-44 Ἐν ταῖς ἐφετμαῖς δὲ καὶ ταῖς ἐντολαῖς τῶν θεῶν φασι τὸν Ἰξίονα παντᾶ καὶ πανταχοῦ κυλινδόμενον ἐν τροχῷ πτερόεντι καὶ ταχεῖ λέγειν τοῖς βροτοῖς ταῦτα, ὅτι πρέπον ἐστὶ τίνεσθαι τοὺς ἐποιχομένους τὸν εὐεργέτην ἐν ἀμοιβαῖς ἀγαναῖς. Τὸ εὐμενέσι λέγει, ἐπειδὴ φονεύσας τὸν πενθερὸν αὐτοῦ ὑπὸ μόνου τοῦ Διὸς ἐκαθάρθη καὶ τιμῆς ἠξίωται, ὡς προϊόντες ἐροῦμεν τὴν ἱστορίαν.

P 2 45g τοῦτο. —βέβαιον ἐξ ὧν αὐτὸς ἔπαθεν. —ποταποῖς; τῷ Διῒ καὶ τῇ Ἥρᾳ.

P 2 47g λαβών. —ζωήν. ποταπόν; πολυχρόνιον.

P 2 48g —ἣν παρ’ αὐτοῖς ἠξιώθη εὐδαιμονίαν. μανίας γὰρ ἦν τὸ τοιαῦτα πράττειν.

P 2 49g —ἐν. ἐπεθύμησε.

P 2 50g —Ἥραν. —κοῖται. ἐκτήσαντο.

P 2 51g —τὴν πολλὴν εὐφροσύνην ἔχοντος, ἢ τοῦ πολλῶν ἀγαθῶν ὄντος αἰτίου, ἢ τοῦ κατὰ πολὺ καὶ ἄγαν θαυμαζομένου. Τὸ αὐάταν ἐστὶν Αἰολικόν· ἐκεῖνοι γάρ, ὅταν ᾖ λέξις δύο φωνήεντα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔχουσα ἐγγὺς καὶ μὴ σύμφωνον μέσον, προστιθέασι τὸ υ , τὸ ἀὴρ αὐὴρ καὶ τὸ ἄως αὔως λέγοντες.

P 2 52 ἐπεὶ οὖν οὐ μόνον ἄτ η , ἀλλὰ καὶ ἀάτη εὑρίσκεται ἀντὶ τοῦ μεγάλη βλάβη (ἐπιτατικὸν γάρ ἐστι τὸ α ) διὰ τοῦτο προστεθέντος τοῦ υ αὐάτη γέγονεν. τὸν Ἰξίονα.

P 2 52g —ἡ πρὸς τὴν Ἥραν. —βλάβην. — μεγάλην· λέγω δὴ τὴν τοῦ τροχοῦ κόλασιν. ἐνέβαλε.

P 2 52-53 Germ. Ἀλλά νι ν ] ὁ νοῦς· ἀλλά νιν καὶ αὐτὸν τὸν Ἰξίονα ἡ ὕβρις καὶ ἡ κακὴ βουλὴ καὶ προαίρεσις εἰς ἄτην μεγάλην ἐνέβαλεν. ταχέως.

P 2 53bisg —προσήκοντα τῇ ὕβρει. παράδοξον καὶ παρηλλαγμένον.

P 2 54g —πόνον ἤτοι κόλασιν. —περὶ τῶν δύο ἁμαρτιῶν Ἰξίονος. ἁμαρτίαι, ὃς ἐρεῖ· τοῦτο δὲ καθολικῶς καὶ οὐ περὶ μόνου τοῦ Ἰξίονος λέγων συνάπτει εἰς τὸν περὶ τοῦτον λόγον.

P 2 56g πόνους καὶ κολάσεις φέρουσαι. — ὑπάρχουσι. —τοῦτο μέν. ὁ Ἰξίων.

P 2 57g —συγγενικόν, τὸ τοῦ πενθεροῦ αὐτοῦ. οὐδεὶς γὰρ ἄλλος ἐμφύλιον αἷμα πρὸ αὐτοῦ ἐποίησεν.

P 2 58g —χωρίς. —ἀλλὰ μετὰ μηχανῆς. ἐπέβαλε.

P 2 59g —τοῖς ἀνθρώποις. τοῖς μεγάλους τοὺς ἐνοικοῦντας ἔχουσιν.

P 2 61g οἴκοις. τὴν σύζυγον Ἥραν.

P 2 62g —ἐρωτικῶς ἐπεχείρει. Ἱστορία περὶ τοῦ φόνο υ , ὃν Ἰξίων ἐποίησε ν .

P 2 57-62 Ἰξίων Διάντην τὴν Δηιονέως θυγατέρα γήμας, ἐπειδὴ ἀπῃτεῖτο παρ’ αὐτοῦ τὰ ὀφειλόμενα τοῖς τῶν κορῶν πατράσι δίδοσθαι παρὰ τῶν νυμφίων, τοιόνδε τι ἐμηχανήσατο. βαθὺ γὰρ ὄρυγμα ποιησάμενος καὶ πῦρ ἐμβαλὼν σχίνων φορυτὸν ἐπέθηκε, καλέσας αὐτὸν δῆθεν εἰς δεῖπνον. καὶ ὃς παραγενόμενος καὶ τῷ βόθρῳ ἀπροόπτως ἐμπεπτωκὼς ὑπὸ τοῦ ἐν αὐτῷ πυρὸς διεφθάρη. μηδενὸς δὲ μήτε ἀνθρώπου διὰ τὸ μῦσος ὑποδεχομένου Ἰξίονα, μόνος ὁ Ζεὺς εὐμενὴς αὐτῷ καταστὰς ἐκάθηρέ τε τοῦ φόνου καὶ ὁμοδίαιτον ἐποιήσατο. διάγων οὖν μετ’ αὐτοῦ Ἥραν πειρᾶν ἤρξατο. ἡ δὲ ἱστορία πᾶσα πολλάκις ἐγράφη. διὸ νῦν παρεῖται. ὥσπερ δέ φαμεν οὐ μόνον πειρῶμαι τὸ ἀπάτειραν ποιοῦμαι, ἀλλὰ καὶ πειρῶ, οὕτω καὶ πειρῶ τὸ συννεύω οὐ μόνον πειρῶ, ἀλλὰ καὶ πειρῶμαι. πρέπει.

P 2 63g —εἰς. Παντὸς ὁρᾶν μέτρο ν ] Πάντα ἄνθρωπον καὶ τοῦ μὲν ἁρμόζοντος αὐτῷ ἐπιθυμεῖν, τοῦ δ’ ὑπὲρ αὐτὸν μὴ ἐφίεσθαι.

P 2 64 καὶ μαρτυρεῖ ἡ παροιμία φάσκουσα «μὴ ὑπὲρ τὰ ἐσκαμμένα πήδα» καὶ «τὴν κατὰ σαυτὸν ἔλα» καὶ «γνῶθι σαυτόν» καὶ «τοῖς ἀνεφίκτοις μὴ ἐπιχείρει». πράγματος.

P 2 64g —πάντα ἄνθρωπον. γάμοι.

P 2 65g ἔξω τοῦ ἁρμόζοντος γενόμενοι. —δυστυχίαν. αἰφνίδιον.

P 2 66g —τοὺς αὐταῖς χρησαμένους. —πρός. τὸν Ἰξίονα.

P 2 67g —ἀφίκοντο αἱ παράτροποι εὐναί, ἤτοι καὶ οὗτος αὐταῖς περιπέπτωκεν Ἥρας ἐπιθυμήσας. — συνεκοιτάσθη. Germ.

P 2 65-67 Παράτροπο ι ] ὁ νοῦς· αἱ εὐναὶ δὲ αἱ μοιχίδιοι καὶ αἱ τοῦ δέοντος παρατετραμμέναι εἰς κακότητα καὶ βλάβην ἀθρόως ἐνέβαλον πάντα ἄνθρωπον, αἵτινες καὶ πρὸς τοῦτον ἦλθον. οὐ γὰρ Ἥρᾳ ἐμίχθη ὡς ᾤετο, ἀλλὰ νεφέλῃ.

P 2 68g —Ἥρᾳ γὰρ ἐδόκει μίγνυσθαι. —ζητῶν. —ἀναίσθητος. Τὸ εἶδος ἢ διὰ τὴν νεφέλην νοητέον ἢ διὰ τὴν Ἥραν.

P 2 69 κρεῖττον δὲ διὰ τὴν νεφέλην. κατὰ τό.

P 2 69g —ἐξοχωτάτῃ. ἥρμοζε, καὶ ὡμοιοῦτο ἡ νεφέλη.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

P 2 70g —τῶν θεαινῶν. τῇ Ἥρᾳ.

P 2 71g —νεφέλην. — ἀπάτην, ἄγρευσιν. ἐποίησαν.

P 2 72g —μηχαναί. —ὡς πρὸς τὴν αὐτοῦ δόκησιν· ᾤετο γὰρ Ἥρᾳ μίγνυσθαι. βλάβην· φωραθεὶς γὰρ ἐντεῦθεν Ἥρας ἐρῶν κεκόλασται.

P 2 73g —τέσσαρας κνήμας ἔχοντα. κατεσκεύασεν ἐξ ὧν ἐφωράθη.

P 2 74g —τὸν τροχὸν ἐν ᾧπερ ἐδέθη. ἴδιον.

P 2 75g —κόλασιν. —ὁ Ἰξίων. — ἐξ ὧν οὐ δύναται φυγεῖν. τῷ τροχῷ ἐν ᾧ περιδέδεται.

P 2 77g τὸν πολυθρύλλητον. τὸ χρὴ τοὺς εὐεργέτας καλλίστοις ἀμείβεσθαι.

P 2 78g —τῶν τῆς συνουσίας. —ἐγέννησεν. υἱόν.

P 2 79g —μέγαν καὶ παλαμναῖον. τίμιον· ἀλλὰ ἄγριον καὶ οὐ τοῖς τῶν θεῶν νόμοις πειθόμενον, ἀλλ' αὐτόβουλον καὶ ἰδιογνώμονα.

P 2 82g αὐτόν. —ὠνόμασεν ἡ νεφέλη. —τρέφουσα καὶ αὐξάνουσα. ταῖς ἐν Μαγνησίᾳ πόλει Θετταλίας, τῇ καλουμένῃ νῦν Πέτρᾳ.

P 2 84g συνεγένετο. ὄρους Θετταλικοῦ.

P 2 85g —τοῖς πρόποσι. —ἐκ τῆς τοιαύτης μίξεως. τῷ Κενταύρῳ καὶ ταῖς ἵπποις.

P 2 87g ὅμοιοι. —τὸ τὰ πρὸς τὸ κάτω συναπτέον, ἤγουν τὰ κάτω μέν. —ἀπὸ μητρός. τὰ ὑπεράνω.

P 2 88g —ἀντὶ τοῦ πατρός. Germ.

P 2 85-88 Ἐκ δ ' ἐγένοντο στρατὸ ς ] ἐξεγένοντο δὲ στρατὸς θαυμαστὸς Κενταύρων ἀμφοτέροις τοῖς γεγεννηκόσιν ὁμοῖοι. ἔσχον δὲ εἰς ἓν συμβεβλημένας τὰς δύο φύσεις, καὶ τὰ μὲν κάτω ἐμφερεῖς ἦσαν ταῖς μητράσιν, τὰ δὲ ἄνω τοῖς πατράσιν. Germ. Οἷον καὶ παροιμία· ἵππος μὲν ἐρεύγεται ἄνδρα, ἀνὴρ δ' ἐξαπέπερδεν ἵππον. Τὸ οἱ ἢ ἀντὶ τοῦ τῇ νεφέλῃ νοητέον, οὕτως· ἄνευ Χαρίτων τέκεν ὁ Ἰξίων οἱ καὶ αὐτῇ γόνον ὑπερφίαλον, μόνῃ αὐτῇ μόνον· οὔτε γὰρ ἄλλη νεφέλη ἄνθρωπον ἔτεκε, καὶ μόνος οὗτος ταύτης ἐγένετο.

P 2 78-88 ἢ τὸ οἱ ἀντὶ τοῦ αὐτῷ τῷ Ἰξίονι, οὕτω μόνη ἡ νεφέλη ἄνευ Χαρίτων τέκεν αὐτῷ τῷ Ἰξίονι, γόνον. ἰστέον δέ, ὅτι οὐ διφυὴς ἄνθρωπος, ὥς τινές φασιν, ἐκ τῆς νεφέλης ἐγένετο, ἀλλ' ἄγριός τις καὶ ὄρειος, ὃς μιγνύμενος ταῖς ἐν τῷ Πηλίῳ, Θετταλικῷ ὄρει, ἵπποις, τὸ τῶν Ἱπποκενταύρων γένος ἐποίησεν. Ὅτι δέ ἐστι τοῦτο, μαρτυρεῖ καὶ Πίνδαρος ἐνταυθοῖ, λέγων ἐκ τῆς τοιαύτης μίξεως στρατὸν γεγονέναι δίμορφον, ἐοικότα μὲν τοῖς κάτω μέρεσι ταῖς μητράσιν αὐτῶν ἵπποις, τοῖς δὲ ἄνω τῷ πατρὶ αὐτῶν Κενταύρῳ. ὥστε εἰ ὁ Κένταυρος διφυὴς ἦν, οὐκ ἂν τοῦτο ἔλεγε Πίνδαρος. ἤγουν Βουλαῖς.

P 2 89g —ὅτι θεῶν βουλαῖς πάντα γίνεται. σημεῖον καὶ παράδοξον.

P 2 90g —τελεῖ. Germ.

P 2 89-90 Ὁ θεὸς ἅπαν τὸ τέκμαρ καὶ τὸ διανόημα, ὅπερ διανοηθῇ ἐπὶ ταῖς ἐλπίδεσσι καὶ ταῖς φρεσὶ καὶ ἐπὶ ταῖς διανοίαις αὐτοῦ, ἀνύει καὶ πληροῖ. διὸ καὶ ἐντίθησιν, ὅτι τὰ ἀδύνατα παρὰ ἀνθρώποις δυνατὰ τῷ θεῷ. οἱ λέγοντες τὸ ἐλπίδεσσιν ἀντὶ τοῦ γνώμαις ἀμαθεῖς· τὸ δέ ἐστι τοιοῦτον.

P 2 89-90bis δέον γὰρ εἰπεῖν βουλαῖς, ἐλπίδεσσιν εἶπεν, ἐπειδὴ ὃ βούλεταί τις ποιῆσαι, καὶ ἐλπίζει τοῦτο τελέσαι. θεὸς ἅπαν τέκμαρ καὶ σημεῖον ἀνύεται καὶ τελειοῖ ἐπὶ ταῖς ἐλπίδεσσι· τουτέστιν ἅπαν τέρας καὶ παράδοξον εἰ βουληθείη θεὸς ἐργάσασθαι, ῥᾷστα τοῦτο ποιεῖ. τοῦτο δὲ εἶπε διὰ τὸ παραδόξως ὑπὸ Διὸς πεποιῆσθαι τὴν νεφέλην ἐμφερῆ τῇ Ἥρᾳ. ὅστις.

P 2 91g —πτερωτόν. ἀετόν.

P 2 92g —καταλαμβάνει καὶ οὐκ ἐκφεύγει αὐτὸν πετόμενος. —θαλάσσιον. παρέρχεται ἤγουν νικᾷ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

P 2 94g μεγαλαύχων. —κατέβαλεν. ἄλλοις.

P 2 96g δόξαν. —ἀθάνατον καὶ μηδέποτε γηράσκον. —πρέπον ἐστί. Δάκος ἀδινό ν ] ἤγουν οὐ δεῖ με κατήγορον εἶναι.

P 2 97 τοῦτο δὲ λέγει, διότι τὴν περὶ τοῦ Ἰξίονος δυστυχίαν διῄει. τρῶσιν.

P 2 97g —δαψιλές. ἤτοι μεταγενέστερος Ἀρχιλόχου.

P 2 99g ἐν ἀπορίᾳ τοῦ ζῆν. τὸν ψόγοις χαίροντα.

P 2 100g —τοῖς ἐκ τῆς βαρύτητος τῶν αὐτοῦ λόγων γινομένοις αὐτῷ παρὰ τῶν ἄλλων ἀνθρώπων. μίσεσι καὶ ἀποστροφαῖς.

P 2 101g —τρεφόμενον. Germ.

P 2 98-101 Ἑκὰς γὰρ ἐὼν τὰ πολλὰ εἶδον ἐν ἀμηχανίᾳ τὸν Ἀρχίλοχον τυγχάνοντα, πιαινόμενον καὶ ἐναβρυνόμενον ἐν βαρυλόγοις ἔχθεσιν. ἢ οὕτως. ἑκὰς γὰρ ἐὼν ἐγὼ τὰ πολλὰ εἶδον ἐν ἀμηχανίᾳ ἐμαυτὸν ψογερόν, πιαινόμενον ἐν βαρυλόγοις ἔχθεσιν ὡς τὸν Ἀρχίλοχον. Τοῦτο λέγει, ὅτι τὸν Ἀρχίλοχον πρὸ ἐμοῦ ὄντα οἶδα ἀπορίαν τοῦ βίου ἔχοντα· πάντες γὰρ αὐτὸν ἐμίσουν ὡς κατήγορον καὶ μόνῳ τῷ παρὰ πάντων ἐπιαίνετο μίσει.

P 2 102g ἐπιτυχίᾳ. —εὐτυχίας. ἐστί.

P 2 104g σὺ δέ, ὦ Ἱέρων. —ἀληθῶς. —τὸ πλουτεῖν ἢ τὸν πότμον. —μεγαλοδώρῳ, εὐεργετικῇ. Τὸ πλουτεῖν πρὸς τὸ σοφίας συναπτέον, οὕτω.

P 2 101-104 τὸ πλουτεῖν σοφίας σὺν τύχῃ καὶ ἐπιτυχίᾳ πότμου καὶ εὐτυχίας ἄριστόν ἐστιν, ἤγουν ὅστις σοφὸς ὢν εὐτυχεῖ, οὗτος ἄριστος. τοῦτο δὲ λέγει διὰ τὸν Ἀρχίλοχον σοφὸν ὄντα καὶ πενίᾳ κατεχόμενον. οὐ μόνον δὲ πλουτῶ τόδε φάμεν, ἀλλὰ καὶ πλουτῷ τοῦδε· καὶ μαρτυροῦσιν ἄλλοι τε πολλοὶ καὶ Λιβάνιος λέγων (Epist. ed. Wolf. 1738 p. 185)· τοιγαροῦν ἐν ἀπορίᾳ χρημάτων Πλουτοῦμεν ῥημάτων. ἢ τὸ σοφίας πρὸς τὸ πότμου συναπτέον, οὕτως. ἄριστον δὲ ὑπάρχει τὸ πλουτεῖν σὺν τύχῃ καὶ ἐπιτυχίᾳ πότμου καὶ εὐτυχίας σοφίας, ἤγουν εὐτυχήσας σοφίαν καὶ πλοῦτον ἄριστος· ὥστε πρὸς μὲν τὸ ἄνω τὸ νὶν ἀντὶ τοῦ αὐτὸν, τὸν πότμον, λέγε, πρὸς δὲ τὸ κάτω ἀντὶ τοῦ αὐτό, τὸ πλουτεῖν. ἐκ τούτου προτρέπει αὐτὸν εἰς εὐεργεσίαν αὐτοῦ.

P 2 105g —παρέχειν· ἤγουν σὺ πλουτίζειν τοὺς ἄλλους δύνασαι. παροχεῦ, εὐεργετικέ.

P 2 106g —βασιλεῦ. Τὸ εὐστεφάνων ἀγυιᾶν οὐκ ἔστιν ἀντὶ τοῦ τῶν εὐτοίχων, ὥς τινές φασιν· ἀλλ’ εἰώθασιν Ἕλληνες ἐπειδὴ συνεχέσι πανηγύρεσιν ἠγλαΐζοντο, τοὺς ἐν ταῖς πόλεσι στενωποὺς στεφάνοις ἐκ κλάδων κοσμεῖν.

P 2 107 ὅτι δέ ἐστι τοῦτο, μαρτυρεῖ Λιβάνιος ἐν τῷ πρὸς Ἰουλιανὸν ἐπιταφίῳ φάσκων (I. p. 535 ed. Reiske)· στέφανόν τινα κλάδων· πολλοὺς δὲ ἐκ καλωδίων τεταμένων εἰς κίονας ἐκ τοίχων ἐξαρτῶσιν οἱ δῆμοι μετεώρους. τούτων εἷς τῶν στεφάνων, οἷς καλλωπίζομεν τὰς πόλεις, ἐκλυθεὶς τοῦ δεσμοῦ, καταβαίνων ἦν ἐν τῇ τοῦ βασιλέως κεφαλῇ, καὶ ἥρμοσεν. πόλεων, περιφραστικῶς.

P 2 108g μαχίμου λαοῦ. κτήμασι καὶ πλούτω.

P 2 109g —ἐν δόξῃ. εἰς τήν.

P 2 111g τῶν πρό σου. —κρείττονά σου. μωρᾷ.

P 2 112g —διανοίᾳ. — διϊσχυρίζεται τοῦτο. —ματαίᾳ· οὐ γάρ τις ἐγένετο πλουσιώτερος καὶ ἐντιμότερός σου. Germ.

P 2 108-112 Εἰ δέ τις λέγει ἕτερόν τινα γενέσθαι ὑπὲρ τῶν πάροιθεν καὶ πρὸ τούτου ἀνὰ τὴν Ἑλλάδα ὑπέρτερον καὶ κρείττονα τοῦ Ἱέρωνος ἐν κτεάτεσι καὶ ἐν πλούτῳ καὶ ἐν τιμῇ. παλαιμονεῖ καὶ

ματαιολογεῖ ἐν πραπίδι καὶ ἐν φρενὶ κούφῃ χαύνῃ καὶ σαθρᾷ, κενεᾷ, ματαίᾳ καὶ ψευδεῖ. Τοῦτο λέγει, ὅτι ἀνελεύσομαι τῷ λόγῳ εἰς τὴν σὴν νεότητα καὶ εἴπω ταύτην ἄριστα τοὺς πολέμους μεταχειρίσασθαι τε καὶ κατορθοῦν.

P 2 113 λέγει οὖν εὐανθέα στόλον τὸ ἀναδραμεῖν πρὸς αὐτὴν ἐν τῷ λόγῳ. κάλλιστον καὶ ἐπαινετόν.

P 2 113g —ἀνέλθω. πορείαν.

P 2 114g —τῇ σῇ. ὑμνῶν.

P 2 115g —τῇ. βοηθεῖ.

P 2 116g —τόλμα. —ἐκ τοῦ θράσους. τὴν μεγάλην ἣν ἔχεις.

P 2 118g εἰς τοὺς πολέμους, ὅτε νέος ἦσθα. ἱππικῷ στρατῷ.

P 2 120g μαχόμενον. αἱ σαί.

P 2 122g γεροντικαί. —ἄφοβον. —λόγον. πρός.

P 2 124g θαυμάζειν αὐτάς. Germ.

P 2 121-124 Αἱ βουλαὶ δὲ σοῦ αἱ πρεσβύτεραι καί τοι ἀκμαίου ὄντος παρέχουσιν ἐμοὶ ἔπος ἀκίνδυνον πρὸς πάντα λόγον ὥστε ἐπαινεῖν. ἢ ἄλλως αἱ βουλαὶ δὲ σοῦ πρεσβύτεραι ὑπάρχουσιν ἤδη. τίνι ὑπάρχουσιν; ἐμοὶ τῷ παρέχοντι ἔπος ἀκίνδυνον πρὸς πάντα λόγον ὥστε ἐπαινεῖν. Τὸ νεότητι θράσος ἀρήγει τοῦτο λέγει, ὅτι οὐδείς ἐστιν ἐν νεότητι ἕτερος ἔπαινος ἢ θρασύνεσθαί τε καὶ κατατολμᾶν τοὺς πολέμους.

P 2 115-124 πολλοὶ γὰρ νέοι ὄντες καὶ δοκοῦντες ἄριστα ἂν πρὸς τὴν μάχην ἀρκέσειν, πρὸς μόνην τὴν ταύτης ἀκοὴν καταπλήττονται. τοῦτο δὲ εἶπε διὰ τὸν Ἱέρωνα, ὡς ἐν τῇ νεότητι ἄμαχον ἐν πολέμοις ὄντα. τὸ δὲ δεινῶν πολέμων (116) ἢ ὅτι πάντες οἱ πόλεμοι δεινοί εἰσιν, ἢ δεινῶν ἀντὶ τοῦ μεγάλων καὶ φοβερῶν τὸ δὲ βουλαὶ πρεσβύτεραι (121) κατὰ ἄμφων νοητέον, ἢ ὅτι πρεσβυτικὴν φρόνεσιν εἶχεν Ἱέρων, ἡνίκα νέος ἦν, ἢ ὅτι νέος ὢν ἐμάχετο, νῦν δὲ πρεσβύτης τυγχάνων ὀρθῶς καὶ ἄριστα βουλεύεται. σύναπτε οὖν τὸ βουλαὶ δὲ πρεσβύτερα ι , εἰ μὲν βούλει, πρὸς τὸ ποτὶ πάντα λόγο ν , εἰ δὲ μή, τὸ ἐπαινεῖν πρὸς τὸ ποτὶ πάντα λόγον ἐχέτω τὴν δύναμιν· πρεσβύτεραι δὲ βουλαὶ αἱ σαὶ πρὸς πάντα λόγον, ἤτοι πρὸς πᾶσαν βουλὴν καὶ δημηγορίαν παρέχοντι καὶ διδόασιν ἐμὸν ἔπος ἀκίνδυνον ἐπαινεῖν καὶ θαυμάζειν αὐτάς, ἤγουν ἄριστος ὢν περὶ τὸ βουλεύεσθαι, ἀκινδύνως καὶ ἀφόβως ἐπαινεῖν σε παρέχεις μοι· οὐ γάρ ἐστί μοι δέος μὴ δόξω ψευδῆ λέγειν. ἢ οὕτω. πρεσβύτεραι δὲ βουλαὶ αἱ σαὶ παρέχοντι ἐμοὶ ἔπος ἀκίνδυνον ἐπαινεῖν καὶ θαυμάζειν αὐτὰς πρὸς πάντα λόγον, ἤτοι πρὸς πᾶσαν βουλὴν καὶ δημηγορίαν, ὡς ὀρθῶς καὶ ἄριστα γίνονται. εὕρηται δὲ καὶ ἐμόν (122). κρεῖττον δέ ἐστι τὸ ἐμοί πρὸς τὸ μέτρον. ἢ σύναπτε τὸ ἀκίνδυνον πρὸς τὸ ποτὶ πάντα λόγο ν , οὕτως· ἐμοὶ ἔπος παρέχουσιν ἀκίνδυνον καὶ ἄφοβον πρὸς πάντα λόγον, τουτέστι τοιαῦταί εἰσὶν, ὥσθ’ ὅσα ἂν εἴπω περὶ αὐτῶν, οὐ φοβηθήσομαι μή μέ τις αἰτιάσηται, ὡς εἰκῇ τοὺς λόγους ποιοῦμαι. τὸ νῦν λεγόμενον.

P 2 125g —ὡς Φοινίκων ἐμπορίαν καὶ πραγματείαν· ἐμπορικὸν γὰρ τὸ τῶν Φοινίκων γένος. λευκῆς.

P 2 126g —θαλάσσης. —σοί. Pal.

P 2 127 Καστόρειο ν ] ὡς ἀπό τινος Κάστορος τοῦτο ἐφευρόντος. —§. ὅπερ τότε μὲν ἀπεστάλη τῷ Ἱέρωνι μετὰ τοῦ παρόντος εἴδους, νῦν δὲ οὐχ εὑρίσκεται. ὃ Κάστωρ πρῶτος εὗρεν.

P 2 128g Θηβαϊκαῖς; ἐξ Αἰολέων γὰρ οἱ Θηβαῖοι. ἐπίσκεψαι καὶ δοκίμασον, εἰ ἄριστόν ἐστι.

P 2 129g —τῆς ἑπτὰ κτύπους διὰ τῶν ἑπτὰ χορδῶν ἀποτελούσης. τῆς κιθάρας.

P 2 130g —ἀντόμενος] διὰ τὸ μέτρον· — ἤτοι ἐντείνων τὰς χορδὰς καὶ ᾄδων αὐτό. Germ.

P 2 127-130

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τὸ δὲ Καστόρειον μέλος τὸ συντεταγμένον ἐν Αἰολίδεσσι χορδαῖς εἰς χάριν σοῦ ἀντώμενος καὶ ἀπαντήσας διὰ τῆς φόρμιγγος τῆς ἑπτακτύπου θέλων ἄθρησον. μαθὼν τὸ μέλος οἷόν ἐστι, γένοιο οἷος ἐσσί. Ἰστέον, ὅτι δύο ὕμνους ὁ Πίνδαρος Ἱέρωνι πέμπων, τόν τε νῦν λεγόμενον καὶ ἕτερον Καστόρειον μέλος ἔχοντα, ὡς αὐτός φησι, τούτου μὲν μισθὸν ἔλαβε πρώην, διὸ καὶ λέγει κατὰ Φοίνισσαν ἐμπολάν, τουτέστιν ὥσπερ οἱ Φοίνικες τὰς ἐμπορίας ποιοῦνται, οὕτω καὶ αὐτὸς μισθὸν λαβὼν παρά σου, τοῦτον ἐποίησά σοι.

P 2 125-130 ἢ τὸ κατὰ Φοίνισσαν ἐμπολάν νοητέον, ἀντὶ τοῦ πέμπω σοι τοῦτον, ἵνα μισθὸν λάβω ἐμπορευόμενος τὸν ὕμνον καθάπερ οἱ Φοίνικες τὰ σφῶν αὐτῶν πράγματα. τὸ δὲ ἐν Αἰολίδεσσι καὶ Θηβαϊκαῖς χορδαῖς Καστόρειον μέλος, τὴν χάριν καὶ ἀρετὴν τῆς ἑπτακτύπου καὶ ἑπταχόρδου φόρμιγγος θέλων καὶ ἀποδεχόμενος, ἄθρησον καὶ ἐπίσκεψαι, εἰ ἄριστόν ἐστιν, ἀντόμενος καὶ συναντώμενος, ἤγουν ἐντείνων τὰς τῆς μουσικῆς χορδάς. τοῦτο δὲ τὸ μέλος τὸ Καστόρειον τῷ μὲν φαινομένῳ εἰς χάριν αὐτῷ ἔπεμψε, τῇ δ’ ἀληθείᾳ εἰς μισθοῦ δόσιν αὐτὸν προτρέπεται ἐκ τοῦ λέγειν ἄθρησον καὶ ἐπίσκεψαι, οἷος ἐγὼ ποιητής. τοῦτο δὲ λέγει διὰ Βακχυλίδην εὐδοκιμοῦντα παρὰ Ἱέρωνι. ἔστι δὲ ἡ ἀρχὴ τούτου τοῦ μέλους αὕτη· σύνες ὅτι λέγω, ζαθέων Ἱέρων ἐπώνυμε. Καστόρειον δὲ εἴρηται, ἐπειδὴ ὁ τοῦ Τυνδάρεω Κάστωρ πρῶτος τοῦτο εὗρεν. ἔστι δὲ ἐνοπλίου ὀρχήσεως μέλος. Οἷος ἐσσ ί ] ὑπάρχεις ἐν τῇ φύσει, ἤγουν ἐκ φύσεως ἔχων ἄριστα κρίνειν, κρῖνε καὶ τοῦτο καὶ μὴ ὑπό τινος ἀπατηθῇς.

P 2 131 τοῦτο δὲ λέγει διὰ Βακχυλίδην. εἰς τὴν περὶ τούτου ἐπίσκεψιν τοιοῦτος καὶ μὴ μεταβληθῇς.

P 2 131g —ὑπάρχεις ἐν τῇ φύσει. —διεξιὼν τοῦτο τὸ μέλος. ὁ πίθηκος.

P 2 132g —ἐν. Pal.

P 2 131-133 Ἤγουν καλοὶ μὲν δοκοῦσιν εἶναι οἱ ἐμὲ ψέγοντες Βακχυλίδης καὶ οἱ ἕτεροι τοῖς μὴ συνετοῖς, ὡς πίθηκες τοῖς παισίν. ἀλλ’ οὐχὶ καὶ παρὰ συνετοῖς. οὓς μὴ δέχοιο, εἰ θέλεις συνετὸς εἶναι κατ’ ἐμοῦ λέγοντας. Καλός τοι πίθω ν ] ἤγουν ὁ πίθηκος ὡραῖος δοκεῖ τοῖς παισί, τοῖς δὲ ἀνδράσιν οὔ. ὥστε καὶ ὁ Βακχυλίδης πίθηκος ὢν τοῖς λόγοις μὴ ἀπάτωσε φρένας ἀγαθὰς ἔχοντα. εὐδαιμόνησε κριτὴς τῶν ἐν Ἅιδου ὤν.

P 2 135 Καρπὸν ἀμώμητο ν ] ἤγουν ἄριστα καὶ ὡς ἐχρῆν περὶ τῶν πραγμάτων ἐλογίζετο· ὥστε καὶ αὐτὸς οὕτω ποιῶν τῆς αὐτῆς ἐκείνῳ ἀξιωθήσῃ τιμῆς. ἤτοι γνῶσιν.

P 2 135g —ἄψογον. ἤγουν ἐν Ἅιδου δικάζων οὐκ ἀπατᾶται περὶ τὰς κρίσεις, πρὸς χάριν ταύτας ποιούμενος καὶ παραλογιζόμενος ὑπό τινων.

P 2 137g ἀπατᾶται. — ἤγουν ἐν τῇ ψυχῇ. ὁποῖα, ἤτοι τὸ ἀπατᾶν.

P 2 138g —τῶν κρύφα κατηγόρων. —μηχαναῖς. —ἀκολουθεῖ. ἀνθρώπων.

P 2 139g —εἰσὶν οἱ κρύφα κατήγοροι· οὐ γὰρ ὁρᾷ τις αὐτοὺς ἵνα καὶ ἀμύναιτο. καὶ τοῖς κατηγορουμένοις καὶ πρὸς οὓς τούτων κατηγοροῦσιν.

P 2 140g —ὑποβολεῖς διαβολιῶν. Ἀμφοτέροις διαβολιᾶ ν ] καὶ τοῖς κατηγορουμένοις καὶ πρὸς οὓς τούτων κατηγοροῦσι.

P 2 139-140 τοῖς μὲν γάρ φασιν, ὡς οἱ δεῖνες ὑβρίζουσί σε καὶ διαβολὴν τούτων πρὸς αὐτοὺς ποιοῦνται. τοῖς δέ, ἃ πρὸς ἐκείνους κατ’ αὐτῶν ἔλεγον, ταῦτα πάλιν κατ’ ἐκείνων πρὸς αὐτοὺς διεξέρχονται. τὸ δὲ ὑποφάτιες ἀντὶ τοῦ ὑποβολεῖς διαβολιῶν. Τὸ ὀργαῖς ἀτενὲς τοῦτο λέγει ἀντὶ τοῦ ὅταν ὁρμήσωσι κατά τινων ψιθύρους λόγους διεξιέναι, ἀτενὲς καὶ ἀμετάβλητον πρᾶγμά εἰσιν ἐν ταῖς ὀργαῖς καὶ ταῖς ὁρμαῖς τῶν διαβολιῶν· ἀεὶ γὰρ προχωροῦσιν ἐν αὐταῖς καὶ οὐδέ ποτε τῆς κακίας παύονται.

P 2 141 τὸ δὲ ἀλωπέκων ἴκελοι ἀντὶ τοῦ παμμήχανοι καὶ πανοῦργοι, καθάπερ ἀλώπηξ. ὁρμαῖς ἤτοι ταῖς διαβολαῖς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

P 2 141g —πρᾶγμά ἐστιν· οἱ κρύφα κατά τινων λέγοντες. —ὅμοιοι. τὸ λάθρα κατά τινος φέρεσθαι.

P 2 143g ἐπικερδές. —ὑπάρχει τῷ ποιοῦντι. Τί μάλα τοῦτ ο ] τοῦτο δὲ τὸ λάθρα κατά τινος φέρεσθαι, τί μάλα τελέθει καὶ ὑπάρχει τῷ ποιοῦντι κερδαλέον ἐν κέρδει; ἀντὶ τοῦ οὐδὲν κέρδος τῷ τοῦτο ποιοῦντι περιγίνεται πλὴν τοῦ κακὸς εἶναι.

P 2 142-143 ὥσπερ δέ φαμεν ἐν φόβῳ ταρβεῖ, οὕτω καὶ κερδαλέον ἐν κέρδει. θαλάσσιον.

P 2 145g τὸ τῆς θαλάσσης. —τοῦ ἐν τῷ δικτύῳ μολίβδου. ταῖς τῶν ἄλλων κατηγορίαις.

P 2 146g — ὁ ἐν τῷ δικτύῳ. τὴν ἐπιφάνειαν.

P 2 147g —ἐστί. —θαλάσσης. Germ.

P 2 144-147 Ἀβάπτιστός εἰμ ι ] ὁ δὲ νοῦς ἀβάπτιστος γάρ εἰμι ὡς; ἅτε καὶ καθὰ σκευῆς καὶ σαγήνης καὶ δι’ ἑτέρας κατασκευῆς τῶν φελλῶν ἐχούσης πόνον ἐνάλιον ὑπὲρ τὸ βαθὺ ἕρκος τῆς ἅλμης. λέγει γὰρ τὰς μολίβδους τὰς κατηγορίας. Ἀβάπτιστός εἰμ ι] εἰμὶ γὰρ ἀβάπτιστος, ταῖς τῶν ἄλλων κατηγορίαις, ὥσπερ ὁ ἐν τῷ δικτύῳ φελλός ἐστιν ὑπὲρ τὸ ἕρκος καὶ τὴν ἐπιφάνειαν τῆς ἅλμης, ἑτέρας σκευῆς, ἤτοι τοῦ ἐν τῷ δικτύῳ μολίβδου, ἐχούσης τὸ βαθὺ τῆς θαλάσσης, ἅτε καὶ καθὰ πόνον θαλάσσιον, τουτέστιν ἐντὸς τῆς θαλάσσης ὥσπερ πονούσης· λέγει δέ, ὅτι τὰ κατ’ ἐμοῦ παρὰ τῶν ἄλλων λεγόμενα οὐδέν μοι λυμαίνεται διὰ τὸ μὴ τούτοις ἐνέχεσθαι· ὑπέρκειμαι γὰρ πασῶν κατηγοριῶν δίκην τοῦ ἐν τῷ δικτύῳ φελλοῦ ἐπάνω τῆς θαλάσσης ἐπιφανείας διὰ τὸ κοῦφον φερομένου, καθελκομένου δὲ τοῦ μολίβδου εἰς τὸ βαθὺ τῆς θαλάσσης καὶ κατασπῶντος τὸ δίκτυον.

P 2 148g λόγον. —ῥίψαι ἤτοι εἰπεῖν. ἰσχυρὸν καὶ πιστόν.

P 2 149g —ἀνδράσι. πανοῦργον.

P 2 150g —πολίτην. —εἰ καὶ οὐδὲν ὁ κατὰ τῶν ἀγαθῶν λόγος ἰσχύει. κολακευτικῶς καὶ δολίως ὑπερχόμενος.

P 2 151g —πρός. —τοὺς ἀκούοντας τὴν τῶν ἀγαθῶν κατηγορίαν. λίαν.

P 2 152g —μηχανοῤῥαφεῖ κατὰ τῶν ἀγαθῶν. Ἀδύνατα δ ’ ἔπο ς ] ἀδύνατα δὲ καὶ ἀδύνατον ὑπάρχει ἐκβαλεῖν καὶ ῥίψαι ἤτοι εἰπεῖν τὸν δόλιον ἀστὸν κραταιὸν καὶ ἰσχυρὸν καὶ πιστὸν ἔπος ἐν τοῖς ἀγαθοῖς· τουτέστιν ὅσα ἂν πονηρὸς κατ’ ἀγαθοῦ ἐρεῖ, οὐ πιστεύεται, τῆς αὐτοῦ ἀρετῆς ἀνίσχυρον τὴν κατηγορίαν ποιούσης.

P 2 148-152 ὅμως δέ, εἰ καὶ οὐδὲν ὁ αὐτοῦ λόγος ἰσχύει, σαίνων καὶ κολακευτικῶς καὶ δολίως ἄγαν ὑπερχόμενος πρὸς πάντας. πάγχυ καὶ λίαν διαπλέκει καὶ μηχανὰς ῥάπτει· τουτέστιν εἰ καὶ ὅσα κατ’ ἀγαθῶν λέγει οὐ πιστεύεται, ἀλλὰ τοῦ μηχανοῤῥαφεῖν οὐκ ἀφίσταται, δολίως κολακεύων τοὺς ἀκούοντας, ἵνα δοκῶν αὐτοῖς προσφιλὴς πιστεύηται. τὸ δὲ ἄγαν πρὸς τὸ σαίνων σύναπτε· τὸ δὲ πάγχυ πρὸς τὸ διαπλέκε ι , καὶ μὴ λέγε ἐκ παραλλήλου, ὥσπερ τινές. αὐτῷ, τῷ πανούργῳ.

P 2 153g —κοινωνῶν. —ἀναιδείας τῆς προσούσης αὐτῷ ὥστε τὰ αὐτὰ καὶ αὐτὸς ποιεῖν. —τὸν ἐμόν. ἐμέ.

P 2 154g —πρός. —τὸν ἐμόν. —καθά. αὐτοῦ.

P 2 155g —τρόπον. —ὑποδραμοῦμαι καὶ κρύφα τι κατ’ αὐτῶν μηχανήσομαι. τὰ αὐτὸν βλάψοντα.

P 2 156g —ἤτοι μηχανώμενος κατ’ αὐτοῦ. —πανουργίαις καὶ μηχαναῖς κακαῖς. Φίλον εἴη φιλε ῖ ] λέγει, ὅτι ὁ μὲν φιλῶν με ὑπ’ ἐμοῦ φιληθήσεται, πρὸς δὲ τὸν ἐχθρόν μου ὥσπερ λύκος ἔσομαι καὶ παντοίας ἐργάσομαι λάθρα κατ’ αὐτοῦ μηχανάς.

P 2 153-156 ἐπεὶ δὲ ὑποθεύσομαι εἶπεν, ἐτήρησε τὴν τροπὴν πρὸς τὸ πατῶν καὶ τὸ ὁδοῖς κατ’ ἐπαναστροφὴν λέγων ἐν ὁδοῖς σκολιαῖς. Pal.

P 2 157

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὅτι τρεῖς νόμοι τὸ παλαιόν· βασιλεία, δημοκρατία, ἀριστοκρατία. βασιλεία ὅτε ἦρχε μόνος ὁ βασιλεύς, δημοκρατία ὅτε ἦρχεν ὁ δῆμος, ἀριστοκρατία ὅτε ἦρχον οἱ ἄριστοι τοῦ λαοῦ ἤγουν σοφώτεροι τρεῖς ἢ καὶ τέσσαρες. εἰς πᾶσαν πολιτείαν.

P 2 157g —ἀληθής. ἤγουν ἰσχύει καὶ κρείττων τῶν πονηρῶν ἐστιν.

P 2 159g ἐν μοναρχίᾳ. — χὡπόταν] λάμβανε κἀντεῦθεν τὸ τηρέοντι κατὰ συνεκδοχήν. ὁ σφοδρὸς καὶ πολὺς δῆμος· λέγει δὲ τὴν δημοκρατίαν.

P 2 161g φυλάσσουσιν, ἤγουν ἐν τῇ ὀλιγαρχίᾳ. Ἐς πάντα δὲ νομό ν ] τρεῖς εἰσι πολιτεῖαι, βασιλεία, δημοκρατία, ἀριστοκρατία.

P 2 157-161 φησὶν οὖν, ὡς ἐν ταύταις ταῖς τρισὶ πολιτείαις ὁ ἀληθὴς ἀνὴρ διαλάμπει καὶ μεῖζον τῶν πονηρευομένων ἰσχύει. καὶ γὰρ οὗτος εἰπών τι κατ' αὐτῶν πιστεύεται, ἐκεῖνοι δὲ διαβάλλοντες αὐτὸν οὐ δύνανται βλάψαι. τοῦτο δὲ λέγει, ἐπειδὴ ἄνω εἶπεν· ἀδύνατα δ' ἔπος ἐκ βαλεῖν κραταιὸν ἐν ἀγαθοῖς δόλιον ἀστόν. λάβρον δὲ στρατόν λέγει τὸν σφοδρὸν καὶ πολὺν δῆμον ὃς ὑπὲρ τῆς αὐτοῦ πατρίδος μάχεται, μὴ ὄντος αὐτῇ βασιλέως, ἀλλ' αὐτὸς αὐτῆς ἄρχων. τὸ δὲ σοφοὶ λέγει, ἐπειδὴ ἐν τῇ ὀλιγαρχίᾳ οἱ ῥήτορες τὸν δῆμον ἄγουσι, καθάπερ ἦσαν ἐν Ἀθήναις νῦν μὲν Θεμιστοκλῆς καὶ Περικλῆς νῦν δὲ Μιλτιάδης καὶ Κίμων, ἄλλοτε δὲ Δημοσθένης, Αἰσχίνης, Ὑπερείδης, Ἀντίφων καὶ ἕτεροι. πρὸς τὴν τύχην μὴ μάχεσθαι.

P 2 163g ὑψοῖ. — ποτέ. ποτέ.

P 2 164g —πάλιν. μεγάλην δόξαν.

P 2 161-165 Χρὴ δὲ πρὸς θεό ν ] Χρὴ πρὸς τὴν τύχην μὴ μάχεσθαι· ἐπειδὴ γὰρ αὕτη τοὺς μὲν εὐτυχεῖς, τοὺς δὲ δυστυχεῖς ποιεῖ, ὁ τούτοις μαχόμενος αὐτῇ μάχεται. διὸ καὶ Βακχυλίδῃ νῦν εὐτυχοῦντι οὐ δίκαιόν ἐστι μάχεσθαι. ἤγουν τὰ μεταβάλλεσθαι τὰ ἀνθρώπινα.

P 2 166g — εὐφραίνει ἐν τῷ ἀποδέχεσθαι ταῦτα. ἐξεχόμενοι καὶ αἰωρούμενοι.

P 2 168g ἑτεροῤῥεποῦς. —ἐνέβαλον. —τραῦμα, πληγήν. τῇ αὐτῶν.

P 2 170g τῷ λογισμῷ. —βουλεύονται. —ἐκείνων. Germ.

P 2 166-170 Ἀνέλκοντες ἑαυτοὺς καὶ παραβιάζοντες περισχεῖν τὰ μεγάλα καὶ μὴ εὐποροῦντες, ἐνέπηξαν τῇ ἑαυτῶν καρδίᾳ τραῦμα ὀδύνης ἐμποιητικόν, πρόσθε (ὅπερ δηλοῖ πρὸ τοῦ) ἀπορῆσαι τοῦ περισχεῖν τῇ διανοίᾳ λελαξευμένα ἐξ ὑποσάθρου τινὸς εἴδωλα λογισμῶν κερδαινόντων ἐπιζήμια. ἢ οὕτως. ὡς ἀπό τινος δὲ στάθμης περισσῆς ἑλκόμενοι ἐνέπηξαν τῇ ἑαυτῶν καρδίᾳ πρόσθεν ἕλκος ὀδυνηρὸν πρὶν ὅσα ἐν φροντίδι μητίονται τυχεῖν. Pal.

P 2 165-170 Ἀλλ' οὐδὲ οὕτως ἤγουν μὴ φιλονεικῶν αὐτοῖς τοῖς κατ' ἐμοῦ δύναμαι θεραπεῦσαι αὐτούς ... στάθμης τραχείας ἑλκόμενοι ἐνέπηξαν τὸ ἕλκος τὸ ὀδυνηρὸν ἤγουν βέλος τῆς κακίας τῇ ἰδίᾳ καρδίᾳ πρότερον πρὶν καὶ πρὸ τοῦ τυχεῖν ὅσα βούλονται ἤγουν τρῶσαι ἡμᾶς. Ἀλλ' οὐδὲ ταῦτα νόον γ' ἰαίνει] ἐπειδὴ ἐάν τινι καλὸν δοκῇ τι, εὐφραίνει αὐτὸν τοῦτο, διὰ τοῦτο λέγει τὸ ἰαίνει νόον ἀντὶ τοῦ οὐ καλῶς ταῦτα δοκοῦσι τοῖς φθονεροῖς, ὥστε τὸν νοῦν αὐτῶν εὐφραίνειν καὶ παύειν τῆς κακουργίας· εἰ γὰρ ἀπεδέχοντο ταῦτα, οὐκ ἂν ἦσαν τοιοῦτοι, εἰδότες, ὡς μεταβολὴν τῶν ἀνθρωπίνων ἐχόντων εἰ καὶ αὐτοὶ νῦν εὐτυχοῦσιν, ἀλλ' οὐκ εἰς ἅπαν.

P 2 166-170bis δέον δὲ εἰπεῖν, δοκοῦντες δὲ ἕλκεσθαι ἐκ στάθμης τινὸς περισσῆς καὶ ἑτεροῤῥεποῦς, ἤτοι δοκοῦντες ἀεὶ μετ' αὐτῶν ἔσεσθαι τὴν τύχην καὶ οὐ μεταπεσεῖσθαι πρὸς ἕτερον, οὕτω δέον εἰπεῖν, ἑλκόμενοι στάθμας τινὸς εἶπεν, ὅπερ ἐκεῖνοι ὑπολαμβάνουσιν ὡς ὁμολογούμενον οὗτος εἰπών. στάθμην δὲ λέγουσι τὸ ἄνω τῆς πλάστιγγος, ἀπὸ τούτου δὲ καταχρηστικῶς καὶ ὅλην τὴν πλάστιγγα στάθμην φασί. περισσῆς δὲ λέγει, ἐπειδὴ ἡ πλέοντι τῆς ἄλλης ἔχουσα πλάστιγξ τῷ βάρει καθέλκεται· λέγει δέ, ὅτι οἱ πονηροὶ δοκοῦντες ἀεὶ εὐδαιμόνως διάξειν, ἐπιχειροῦσι βλάπτειν, οὓς ἂν ἐθέλωσιν· ἀθρόον δὲ μεταβληθέντες τῇ τύχῃ, ἐκείνους μὲν οὐδὲν ἐζημίωσαν,

αὐτοὶ δ’ ἐξελεγχθέντες παρὰ πάντων κατεγελάσθησαν, ὃ καὶ Βακχυλίδης πείσεται. τὰ αὐτῶν κακά.

P 2 171g —ἀβαρῶς καὶ ὑπομονητικῶς. ποταπόν; ἐπάνω τοῦ αὐχένος.

P 2 173 Ζυγὸν ἀρήγε ι ] βοηθεῖ, ἤγουν μεγάλη βοήθειά ἐστιν, ἐάν τις ἔχῃ ἐχθρὸν εὐτυχοῦντα, ὑπομένειν τὰ παρ’ ἐκείνου ἐπιόντα αὐτῷ κακά. τοῦτο εἴρηται ἐκ μεταφορᾶς τῶν βοῶν.

P 2 173g —βοηθεῖ. —πρός. λακτίζειν.

P 2 174g —ἐστίν. ἐπικίνδυνος.

P 2 175g —ὁδός. Ὀλισθηρὸς οἶμο ς ] τὸ γὰρ ἀντιφερίζειν τοῖς κρείττοσι βλάβη καθίσταται.

P 2 175 ἔστι δὲ παροιμία τὸ πρὸς κέντρα λακτίζειν ἐκ μεταφορᾶς τῶν βοῶν· ἐκεῖνοι γὰρ ὄπισθεν κεντούμενοι λακτίζουσι πρὸς τὸ κέντρον καὶ ἔτι μᾶλλον πλήττονται. Οὐ χρὴ γράφειν ᾄδοντα, ἀλλ’ ἁδόντα.

P 2 175bis τοῦτο γὰρ ἁρμόζει τῷ μέτρῳ. ἀρέσκοντα.

P 2 176g ἀνδράσι. —συνεῖναι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org